Ἔστι καὶ οὕτως εἰπεῖν. αἱ ἀντωνυμίαι τοῖς πύσμασιν ἀνθυπαγόμεναι B γνῶσιν πρώτην ἐπαγγέλλονται (τίς ἔγραψεν; ἐγώ ἢ ὅδε), τὰ δὲ ἄρθρα δευτέραν γνῶσιν σημαίνει, ἄνθρωπος ἦλθεν, ὁ ἄνθρωπος ἦλθεν· πλοῖον ἦλθε, τὸ πλοῖον ἦλθε, τὸ καὶ πάλαι γινωσκόμενον. πῶς οὖν δυνατὸν τὸ ἄρθρον προτάσσεσθαι τῆς πρώτης δείξεως; ἀκωλύτως γὰρ ὑποταγήσεται, ἀναπολοῦντα ἐπὶ τὴν προκειμένην δεῖξιν, ἐμὲ ὃν ἐτίμησας. — Μαρτυροῦσι τῷ λόγῳ αἱ παραγωγοί. δεικνύουσαι μὲν γὰρ τὸ κτῆμα ἀπρόσληπτοί εἰσιν ἄρθρων, ἐμός εἶ, ἡμέτερος εἶ· C ὑπὲρ δὲ ἀπόντος τοῦ κτήματος ἀναπολοῦσιν ἐπὶ τὴν προκειμένην γνῶσιν, ὁ ἐμός ἐστι φίλος, ὁ ἡμέτερός ἐστιν οἰκέτης. τούτῳ τῷ λόγῳ τὸ ὦ ἐπὶ κλητικῆς δείκνυται, ὡς οὐ τῆς ἐννοίας τῶν ἄρθρων ἔχεται.

Ῥητέον δὲ καὶ ὑπὲρ τῶν ὑποτακτικῶν, ὡς ταῖς κτητικαῖς οὐ συντάσσεται. Ἔφαμεν δὴ τὸ ἄρθρον παραλαμβανόμενον γνῶσιν προϊοῦσαν 17 A ἐπαγγέλλεσθαι, τὰ δὲ κτητικὰ ἐλλειπῆ ἐστὶ τοῦ ἐφ' ὃ φέρεται ἡ κτῆσις προσώπου· τὸ γὰρ Ἀριστάρχειος καὶ ἐμός ἄγνωστα κατὰ τὴν κτῆσιν. πῶς οὖν τὸ γνῶσιν ἐπαγγελλόμενον ἐπὶ τὴν ἐλλειπῆ προσώπου δεῖξιν ἀνενεχθήσεται;

Ἐπιστατέον δὲ κἀκείνῳ τῷ λόγῳ, εἰ ὅλως τῶν προτακτικῶν ἄρ-

Argum. 1 Articulis referendi, personalibus demonstrandi notio subiecta est. Quare articuli personalibus non praeponuntur. — 8 Poteris etiam sic dicere. Pronomina primariae cognitionis vim habent, articuli secundariae, i. e. rei iam antea notae memoriam redintegrant. Quare praeponi pronomini non possunt, possunt postponi, ut repetant id quod pronomen demonstravit. Cuius rei testimonio sunt possessiva. — 19 Possessiva autem cur postpositivum articulum non recipiant, haec est causa, quod articulus antecedentem cognitionem indicat, in possessivis autem eius qui possidetur persona non cognoscitur; eius igitur cognitio articulo revocari non potest. — 25 Articulus possessivis praepositus non ad possessorem, quem priore vocis parte designant, sed ad rem possessam pertinet; itaque ad eam dirigitur articuli forma.

Discr. script. 1. κλῆσις b, κλισις A | 3. post παραθεσθαι parvum spatium in A | 6. ἐγώ b, εγω ος εποιησα A | 7. post προυφεστωσαν parvum spatium in A | 8. εστιν A | 9. ὅδε b, οσδε A | 11. ηλθεν bis in A | 12—13. ἀκωλύτως] fol. 149 v. | 13. ἀναπολοῦντα (vel ἀναπολοῦν) RSkrzeczka, ἀναπολοῦν τὰ b | προ in προκειμενην evan. in A | 15. litterae ληπτ in voce απροσληπτοι in fine versus evan. in A | 16. γνωσ' abbr. in A | 17. εστιν A | 18. κλητικῆς b, κλιτικης A | post εχεται spatium in A | 19—20. συντασσεται A, συντάσσονται b | 21 ελλειπη A, ἐλλιπῆ b | εστιν A | 23. ελλειπη A, ἐλλιπῆ b | 24. post ανενεχθησεται spatium in A

θρων ἐπιδεκτικαί εἰcιν αἱ ἀντωνυμίαι, τουτέςτιν ἐν τῷ ὁ ἐμός εἰ τὸ ὁ
B τῆς ἀντωνυμίας ἐςτὶν ἢ τοῦ ὑπακουομένου κτήματος. (Τὸ δὴ ἐντὸς
πρόcωπον νοούμενον, τουτέςτι τὸ τοῦ κτήτορος, ἡ ἀντωνυμία ἐπαγ-
γέλλεται, εἴγε τὴν τῶν πρώτων προςώπων μετάβαςιν ὁρίζει· τὸ δὲ ἐκτός,
τουτέςτι τὸ κτῆμα, οὐκέτι. ἐμός γὰρ καὶ cός, καὶ ζητοῦμεν τίς; οἶκος ἢ
δοῦλος ἢ ἵππος; ἀόριςτον οὖν τὸ τοιοῦτον.) καὶ τοῦτο δῆλον ἐκ τοῦ τὰ
ἄρθρα ςυνοικειοῦςθαι τοῖς κτήμαςιν, εἴγε τὸ ἡμέτερος, πληθυνόμενον κατὰ
C τὸ ἐντός, ἑνικὸν ἄρθρον προςπαραλαμβάνει, ὅτι καὶ τὸ κτῆμα ἑνικόν, καὶ
ἀνάπαλιν τὸ ἐμοί, ἑνικὸν ὂν κατὰ τὸν κτήτορα, πληθυντικὸν δὲ κατὰ τὸ
κτῆμα, πληθυντικὸν ἄρθρον λαμβάνει· καὶ καθόλου ἐπὶ πάντων ταὐτὸν
ἂν γένοιτο. — Πρὸς τούτοις τὸ ⟨ὁ⟩ ἐμὸς πατήρ μεταλαμβάνεται εἰς τὸ
ὁ πατήρ μου· ὁμόλογος οὖν ἡ ἐπὶ τὸ κτῆμα ἀναφορὰ τοῦ ἄρθρου.

Διαψεύδεςθαι δέ φαςι τὸν λόγον· εἶναι γὰρ ἴδιον ἄρθρον τῆς ἀντωνυ-
18 A μίας καὶ ἴδιον τοῦ κτήματος. «τὸ γοῦν ὁ πατὴρ ὁ ἐμὸς φιλοςοφεῖ
ἑκατέρῳ ἀπένειμε τὸ ἄρθρον, ὅπερ οὐκ ἂν παρηκολούθει, εἰ μὴ καὶ ἡ
ἀντωνυμία εἶχε τὸ ἄρθρον. ἐπεὶ εἰ ταὐτὸν ἦν ὁ ἐμὸς πατήρ καὶ ὁ πατὴρ
ὁ ἐμός, κἂν πάντως μετατιθέμενον τὸ αὐτὸ ςημαινόμενον ἐφύλαττεν,
ὅπερ οὐ φυλάςςει· ὁ πατὴρ ⟨γὰρ ὁ⟩ ἐμὸς τουτέςτιν οὐκ ἄλλου, ἐν δὲ
τῷ ἑτέρῳ οὐκ ἄλλος.»

Οὐ πάνυ δὲ ἰςχυρὰ τὰ λεγόμενα. οὐ γάρ, ἐπεὶ μετατεθέντα τὰ
B ὀνόματα μετήλλαττε τὰ ςημαινόμενα, εὐθέως καὶ οὐ τῶν ὀνομάτων τὰ
ἄρθρα. ὁμολογούμενόν ἐςτιν ἐν τῷ ὁ ἐχθὲς ἄνθρωπος, τοῦ ἐχθὲς
ἀνθρώπου, ὁ νῦν ἄνθρωπος, τοῦ νῦν ἀνθρώπου, ὡς τὰ ἄρθρα
τῶν ὀνομάτων καὶ οὐ τῶν χρονικῶν ἐπιρρημάτων, εἴγε καὶ ςυςχηματί-
ζονται καὶ εἰς τοὺς ἀριθμοὺς καὶ τὰς πτώςεις. ἀλλὰ ταῦτα μετατεθέντα
διακρούεται τὸ ςημαινόμενον· τὸ γὰρ χθὲς ὁ ἄνθρωπος ἢ νῦν ὁ Πτο-
C λεμαῖος καὶ τὰ παραπλήςια οὐκέτι πλῆθος ἐπαγγέλλονται, ἀλλ' ἕνα καὶ
τὸν αὐτόν, καιροῦ μόνον μεταβολὴν ἀναδεξάμενον. τί οὖν τὸ παρά-
δοξον, εἰ καὶ τὸ ὁ ἐμὸς πατήρ διαφέρει τοῦ ὁ πατὴρ ὁ ἐμός;

Argvm. 13 Id fuerunt qui negarent et articulum etiam ad possessivum pertinere censerent. — 20 At falluntur illi. Nam articulum etiam ad possessivum pertinere, colligi non potest ea ex re, quod possessivo transposito sententia mutatur. Idem enim fieri solet, ubi adverbia loco moventur.

Discr. script.. 2. ὑπακουομένου b, επακουομενου A | 3. τουτεςτιν A | ἡ ἀντωνυμία GUhlig, τὴν ἀντωνυμίαν A b, τῇ ἀντωνυμίᾳ JGuttentag | 5. τουτεςτιν A | 11. ὁ ἐμὸς b, εμος A | 12. ἀναφορὰ b, διαφορα A | 13. φαςιν A | τον λογον in rasura A^1 | 15. ἀπένειμε b, απενεικεν A | 16. ειχεν A | 17. litterae ττεν vocis εφυλαττεν in rasura A^1 | 18. ὁ πατήρ] fol. 150 r. | γὰρ ὁ b, evan. in A | 19. ἄλλος b, αλλως A | 22. post αρθρα parvum spatium in A | 24—25. ςυςχηματιζονται A, ςυςχηματίζεται b | 25. καὶ post ςυςχηματιζονται ut ex praecedente syllaba enatum delendum putat b in var. lect., inter ἀλλὰ et ταῦτα μετατεθέντα inserendum censet RSchneider

«Ἀλλὰ καὶ τὰ δύο ἄρθρα ὡμολόγηcεν, ὅτι καὶ τῆς ἀντωνυμίας ἐcτὶ τὸ ἄρθρον.» Καὶ τοῦτο εὐαπόλυτον, εἴγε ἀπειράκις κατὰ μιᾶς εὐθείας δύο ἄρθρα παραλαμβάνεται. φαμὲν γοῦν ὁ δοῦλος ὁ τοῦ Ἀριστάρχου, ὁ παῖς ὁ τοῦ βαςιλέως, καὶ δῆλον ὡς [κατὰ] τῆς εὐθείας τὰ δύο ἄρθρα· 19 A ἡ γὰρ γενικὴ ἀπέλαβε τὸ ἴδιον. ἦν δὲ τὸ μὲν κατ᾽ ἀρχὴν ἀναφορὰν δηλοῦν, τὸ δὲ ἑξῆς ὡς οὐχ ὁ ἄλλου. — ἀμέλει γέ τοι ἔςτι, μεταλαμβάνοντα ἐπὶ τρίτου προςώπου γενικὴν πτῶςιν, φάναι ὁ πατὴρ ὁ ἐκείνου, ὁ φίλος ὁ τούτου, τοῦ «ὁ» πάλιν ἀναφερομένου ἐπὶ τὸ «ὁ πατήρ». πόθεν γὰρ ἔτι ἐπὶ τὸ ἐκείνου καὶ τούτου, εἴγε καὶ ἀςύναρθροι καὶ κατὰ γενικῆς πτώςεως; — πρὸς τούτοις ἐδείχθη, ὡς τὰ ἄρθρα ἀποφεύγει τὰς δείξεις. πῶς οὖν ἐν τῷ ἐντὸς προςώπῳ, δεικτικῷ ὄντι, ὅπερ ἐςτίν, ὡς προείρηται, ἡ ἀντω- B νυμία, ἄρθρον ἔτι προςελεύςεται, ὅτε οὐδὲ τῷ ἐκτὸς ὑπακουομένῳ, ὅτε ἐπὶ δείξεως λαμβάνεται, ἐμὸς εἶ φίλος, ἡμέτερος ὑπάρχεις οἰκέτης;

Χρὴ ἄρα καλεῖν, καθάπερ καὶ ὁ Τρύφων, πρωτοτύπους τήν τε ἐγώ καὶ τὰς ὑπολοίπους, ὅτι οὐκ ἀπ᾽ ἄλλων· παραγωγοὺς δὲ καὶ κτητικὰς τὴν ἡμέτερος καὶ νωίτερος, ὅτι ἀπὸ τῶν πρωτοτύπων τὴν γένεςιν C ἔχουςι, κτῆςίν τε δηλοῦςιν, ἀπὸ γενικῶν παραγόμεναι καὶ εἰς γενικὴν μεταλαμβανόμεναι, καθάπερ καὶ τὰ κτητικὰ τῶν ὀνομάτων.

Οὐχ ὑγιές τε λέγειν, ὅτι τὰ ἄρθρα οὐ προςτίθεται ταῖς ἀντωνυμίαις, ὅτι ἐν τοῖς γένεςιν ἀδιάςτολοί εἰςιν (ἐκ γὰρ τοῦ ἐναντίου ἐχρῆν, ἵνα διαςταλῇ τὸ γένος, ταῖς τε τὸ γένος διαςτελλούςαις ἔδει μὴ προςτίθεςθαι)· ἀρκετὴ γὰρ ἡ δεῖξις, δηλοῦςα τὸ γένος. — πρὸς τούτοις ἰδοὺ 20 A γένος cημαίνει ἡ ἐκεῖνος καὶ οὗτος, καὶ ἄρθρον οὐκ ἐπιδέχονται. — οὐδὲ γὰρ ἕνεκα διαςτολῆς παραλαμβάνεται, ἐπεὶ οὐδὲ αὐτὰ διαςτέλλει, ςυνεμπεςόντα τοῖς γένεςι· τὸ γὰρ τῶν ἄρθρον τῶν τριῶν γενῶν ἐςτι παραςτατικόν, τό τε τοῦ ἀρρενικὸν καὶ οὐδέτερον. ὡς ἐδείχθη οὖν, ἀναφορικὰ ὄντα τὰς ςυντάξεις ἀποφεύγει.

Argum. 1 Neque quidquam ex ea re efficitur, quod alter articulus nomini, alter possessivo praeponitur; nam saepissime duo articuli ad unum nominativum pertinent. Quorum prior anaphoram, posterior rem non alius esse indicat. — 19 Verum non est, articulum pronominibus (personalibus) ideo non addi, quod haec genus non distinguant Nam crederes potius, ut genera discernerentur, articulum apponendum esse. Sed omnino articuli non ponuntur, ut genus patefiat.

Discr. script. 1. οτι και A, ὅτι b | 3. γοῦν b, ουν A | 4. κατὰ eicit RSchneider | 5. απελαβεν A | 6. εςτιν A | 7—8. ὁ τούτου b, ο εκεινου A | 8. ἔτι RSkrzeczka, ὅτι Ab, τὸ ὅ GDronke | 9. αςυναρθροι A, ςύναρθροι b | 10. εδειχθη A, ἀπεδείχθη b | 14. Χρὴ ἄρα — 18. ὀνομάτων hinc tollenda et p. 17, 17 post ἐμὸς παῖς inserenda esse censet RSchneider; post ἀποφεύγει l. 27 collocat GUhlig | 17. εχουςιν A | 21. διαςτελλούςαις] fol. 150 v. | 24. παραλαμβάνεται Ab, παραλαμβανονται in A esse contendit b in var. lect. | 25. γενεςιν A | εςτιν A | 26. ἀῤῥενικὸν et οὐδέτερον b in var. lect., ἀῤῥενικῶν et οὐδετέρων Ab in textu

Διπροσώπους τὰς κτητικὰς ὁ Δράκων ἐκάλει, «καθὸ δύο πρόσωπα B νοεῖται, τοῦ τε κτήτορος καὶ τοῦ ὑπακουομένου κτήματος· μονοπροσώπους δὲ ἢ ἁπλᾶς τὰς πρωτοτύπους· ἅπαξ γὰρ ἑνικαί τε δυϊκαί τε πληθυντικαί τε νοοῦνται, αἱ δὲ δὶς ἑνικαὶ ἐν τῷ ἐμός, δὶς δυϊκαὶ ἐν τῷ νωιτέρω, δὶς πληθυντικαὶ ἐν τῷ ἡμέτεροι. καὶ καθόλου ἐπὶ τῶν ἀριθμῶν ποικίλαι εἰσί». — Καὶ ἐν ἄλλοις δὲ ὁρῶνται διαφέρουσαι. αἱ πρωτότυποι καὶ ἐγκλίνονται, αἱ δὲ οὔ. ἀκολουθίας ἔχονται αἱ κτητικαὶ κατὰ κλίσιν καὶ ἀριθμὸν C ἐν τοῖς τέλεσιν, αἱ δὲ πρωτότυποι οὐκέτι. αὐτοτελεῖς μετὰ ῥημάτων αἱ πρωτότυποι τῆς εὐθείας, ἐκεῖνος γράφει, ἔγραφον ἐγώ, αἱ δὲ οὔ. καὶ ταῖς μὲν τοῦ αὐτοῦ προσώπου συνταχθήσεται ῥῆμα κατ' εὐθεῖαν, σὺ γράφεις, ἐκεῖνος γράφει, ταῖς δὲ καὶ μεταβατικῶς, ἐμὸς γράφει, ἐμός ἐστι. καὶ αἱ μὲν τὸ γένος κατὰ πᾶν πρόσωπον δηλοῦσι τοῦ κτήματος, αἱ δὲ πρωτότυποι κατὰ πρῶτον καὶ δεύτερον γένους ἀπαρέμφατοι· αἱ γὰρ κατὰ τὸ τρίτον οὐκέτι, αἵ γε συνήθεις· αὐτός γὰρ καὶ ἐκεῖνος. καὶ αἱ μὲν ταῖς εὐθείαις ἀνθυπάγονται, αἱ δὲ κτητικαὶ [καὶ] ἀντὶ γενικῆς 21 A τῶν κτησαμένων· ἀντὶ γὰρ τοῦ Ἀπολλώνιος — ἐγώ, ἀντὶ δὲ τοῦ Ἀπολλωνίου παῖς — ἐμὸς παῖς.

Ὃν τρόπον ἐπὶ τῶν ἀριθμῶν ἡ μετὰ τὸν δυϊκὸν αὔξησις πληθυντικὴ καλεῖται, Αἴας γὰρ καὶ Αἴαντε καὶ Αἴαντες, καὶ μάχομαι καὶ μαχόμεθον καὶ μαχόμεθα, ἐγώ τε καὶ νῶι καὶ ἡμεῖς, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῶν προσώπων τὸ μετὰ τὸ δεύτερον τρίτον καλεῖται, κἂν ἐν πλείοσι νοῆται προσώποις· γράφει γὰρ καὶ περιπατεῖ. παρὸν B δὲ καὶ ἐπὶ τῶν ἀριθμῶν πιστώσασθαι τὸν λόγον καὶ ἐκ τῆς φωνῆς, ὡς οὐκ ἄλλο τι ἐπενοήθη σχῆμα φωνῆς μετὰ τὸ δυϊκὸν ἢ μόνον τὸ

Argum. 1 Draco possessiva διπροσώπους, personalia μονοπροσώπους appellavit. Quod improbandum est. Nam sunt sane duae personae in possessivis, una in personalibus; sed ab ea re nomen invenire non possunt, quippe in qua cardo non versetur. — 19 De personis. Plures quam tres personae esse non possunt. Nam ut omnis numerus, qui ultra dualem progreditur, pluralis dicitur: ita omnis persona. quae secundam excipit, appellatur tertia. Et in prima quidem secundaque persona pronominum una forma satis est, sed in tertia complures exstant, ut personae accuratius definiantur.

Testim. 9 Prisc. XII, 10 p. 582, 6 Hertz *et primitivorum quidem nominativi, si cum verbis iunguntur, perfecti sunt: 'ego scribo', 'tu vides', 'ille facit'; possessiva vero transitiva sunt semper: 'meus scribit', 'tuus dicit'.*

Discr. script. 2. κτητωρος A[1], ω in ο mut. A[x] | 6. ειϲιν A | 7. κλίσιν b, κτηϲιν in κλιϲιν mut. A[1] | 9. και ταιϲ — 11. εμοϲ εϲτιν A, desunt b | 14. αἵ γε συνήθεις b, αϲυνηθειϲ A | 15. καὶ ἀντὶ A b, καὶ delevit RSkrzeczka | 19. επι in ras. A[1] | τὸν δυϊκὸν b. των δυικων A | 20—21. μαχόμεθον καὶ μαχόμεθα b, μαχεϲθον και μαχομεϲθα A, 'Quod perinde est ac si mox ponas: ἐγώ τε καὶ σφῶϊ καὶ ἄμμες' b in var. lect. | 23. κἂν ἐν πλείοσι νοῆται b, και εν πλειοϲι νοειται A | 25. ἐπενοήθη b, επηνοηθη A | μετὰ] fol. 151 r. | μετα iteratum in A

πληθυντικόν· τὸ γὰρ λέγουσιν οἱ ἄνθρωποι ἢ ἡμεῖς ἐπὶ παντὸς
ἀριθμοῦ τάσσομεν. — ἐπὶ μέντοι τῶν ἀντωνυμιῶν κατὰ τρίτα καὶ
πλείονες αἱ φωναὶ ἐσχηματίσθησαν, εἴγε ἐκεῖνος, ὅδε, οὗτος, αὐτός,
ὁδί, ὁ δεῖνα. καὶ μήποτε εὐλόγως. εἰ γὰρ παρὰ τὰ ἄλλα μέρη
τοῦ λόγου ἐν προσώποις ὥρισται, ὀρθῶς ἄρα καὶ ἡ ἐν τοῖς τρίτοις
προσώποις διαφορὰ διήρθρωται, δείξει μὲν ὡς οὗτος, ἀπουσίᾳ δὲ ὡς C
αὐτός, καὶ ἔτι ἐν διαστήματι ⟨ὡς ἐκεῖνος⟩· τὸ μὲν γὰρ οὗτος ἐγγύτητα
σημαίνει προσώπου, τὸ δὲ ἐκεῖνος διάστημα. — ἀλλὰ μὴν καὶ τῶν
κτητικῶν πλείονα τρίτα ἔστιν ἐπιδεῖξαι. ἐν γὰρ τῷ ἐμός ἐστι πρώτου
πρὸς τρίτον, καὶ ἔτι ἐν τῷ σός ἐστι δευτέρου πρὸς τρίτον· καὶ σαφὲς
ὡς ἐν τῷ ὅς δύο τρίτα, ἐξ ὧν τὸ κτῆμα κἂν μὴ ὁρίζηται, οὐ μάχεται·
ἐδείκνυτο γὰρ ὡς οὐκ ἀντωνυμία· καὶ ἐπὶ πληθυντικῶν ⟨ἐν τῷ⟩ σφέ- 22 A
τεροι πολλὰ τρίτα.

Ἡ μὲν ἐν τοῖς ὀνόμασι παραγωγὴ εἶδος καλεῖται· εἴδει γὰρ παραπλήσιόν τι παραδέχεται κατὰ τὴν ἑτεροίωσιν τοῦ τέλους, δι' οὗ γνωρίζεται. ἡ δὲ ἐν τοῖς ῥήμασι καὶ ἀντωνυμίαις μετάβασις πρόσωπον· ἐπιτήδειον γὰρ τοῦτο δεῖξιν σωματικὴν καὶ ψυχικὴν διάθεσιν παραστῆσαι. ὀρθῶς οὖν ἡ διορίζουσα λέξις τὰ προκείμενα πρόσωπον ἐκλήθη.

Ὅπερ ῥητέον ἐν μὲν τῇ περὶ ἑαυτοῦ ἀποφάσει, πρῶτον, εἴγε καὶ B
ἡ ἐν τοῖς ἑξῆς προσώποις ἀπόφασις ἐξ αὐτοῦ γίνεται· ἐν δὲ τῇ πρὸς
ὃν ὁ λόγος ὑπὲρ αὐτοῦ, δεύτερον· ἐν δὲ τῇ μήτε προσφωνούσῃ μήτε
προσφωνουμένῃ, τρίτον.

Argum. 14 Forma nominum derivata 'species' dicitur. Mutatio autem in verbis pronominibusque facta 'persona' vel 'os' appellatur, quod nomen aptum est, quo et hoc indicetur, quid rationis intercedat inter loquentem et ea, de quibus loquitur; et illud, qua animi affectione aliquid proferatur ab eo, qui loquitur. — 19 Quid sit prima, secunda, tertia persona.

Testim. 19 Choerob. Can. 477, 3 *Ἀπολλώνιος .. λέγων, .. ὅτι πρῶτον μέν ἐστι πρόσωπον, ἀφ' οὗ ὁ λόγος καὶ περὶ ἐμοῦ τοῦ προσφωνοῦντος, δεύτερον δέ ἐστι πρόσωπον, πρὸς ὃν ὁ λόγος καὶ περὶ αὐτοῦ τοῦ προσφωνουμένου, τρίτον δέ ἐστι πρόσωπον, περὶ οὗ ὁ λόγος μήτε προσφωνοῦντος μήτε προσφωνουμένου.* ibid. 478, 1—24. Prisc. XII, 13 p. 584, 11 Hertz *Personae pronominum sunt tres, prima, secunda, tertia. prima est, cum ipsa, quae loquitur, de se pronuntiat; secunda, cum de ea, ad quam directo sermone loquitur; tertia, cum de ea, quae nec loquitur nec ad se directum accipit sermonem.*

Discr. script. 1. οἱ ἄνθρωποι Ab, 'Corr. ἢ ἄνθρωποι' b in var. lect. | ⟨λέγομεν⟩ ante ἡμεῖς inserit GUhlig | 3. εἴγε ἐκεῖνος Ab, 'Hoc quoque vitiatum sic corrige: ἤ τε ἐκεῖνος' b in var. lect. | 4. δεῖνα b, δινα A | 6. οὗτος RSkrzeczka, ἐκεῖνος Ab | 7. διαστήματι ὡς ἐκεῖνος RSkrzeczka, διαστήματι Ab | 9. et 10. εστιν A | 12. ἐν τῷ inserit RSchneider | 16. ρημασιν A | 18. pro λέξις scribendum esse μετάβασις suspicatur RSkrzeczka | 20. ἐν δὲ τῇ πρὸς ὅν RSkrzeczka, ἐν δὲ τῷ πρὸς ὅν Ab, 'Fortasse: ἐν δὲ τῇ περὶ τοῦ πρὸς ὅν' b in var. lect. | 21. ἐν δὲ τῇ μήτε προσφωνούσῃ μήτε προσφωνουμένῃ τρίτον Ab, ἐν δὲ τῇ περί του μήτε προσφωνοῦντος μήτε προσφωνουμένου τρίτον PSchmieder

Οὐ γὰρ ὑγιὲς τὸ λέγειν, ὅτι πρῶτον πρόσωπον τὸ ἀποφαινόμενον, καὶ ἔτι δεύτερον τὸ πρὸς ὃν ὁ λόγος, καὶ [τὸ] τρίτον ⟨τὸ⟩ περί τινος. — εἰ γὰρ τὸ πρῶτον πρόσωπον τὰς τρεῖς φωνὰς ἀποφαίνεται, ἐγώ, σύ, C ἐκεῖνος, δῆλον ὡς καὶ πρῶτον τὸ λέγον εἰρήσεται, καὶ ἔτι [τὸ] δεύτερον καὶ [τὸ] τρίτον. — ἀλλὰ μὴν καὶ τὸ σύ πρὸς ὃν ὁ λόγος· τί δέ; οὐχὶ καὶ τὸ ἐκεῖνος λέγεται πρός τινα; — ὑπέρ ⟨τέ⟩ τινος πᾶν τι πρόσωπόν [τε] ἐστι· πῶς οὖν περί τινος μόνον τὸ τρίτον, κοινῆς οὔσης τῆς λέξεως κατὰ πάσης οὐσίας;

Τὰ γοῦν πληθυντικὰ τοῦ πρώτου προσώπου ἐμπεριεκτικὰ δύναται εἶναι καὶ παντὸς προσώπου, ἅπερ τινά ἐστι. [πῶς οὖν μόνα τὰ τρίτα 23 A περί τινος;] Δεῖ γὰρ νοεῖν ὡς ἡ ἐν τοῖς ἑνικοῖς προσώποις ἐκφορὰ εἰλικρινῶς πρῶτον ἐπαγγέλλεται πρόσωπον, καὶ ἔτι ἡ ἐπὶ τοῦ δευτέρου δεύτερον· τὸ δὲ ἐπὶ δυϊκοῦ ἢ πληθυντικοῦ σύλληψιν ἀναδέχεται ἑτέρων προσώπων. καὶ τὸ μὲν πρῶτον ἢ μετὰ δευτέρων ἢ τρίτων, ἢ καὶ μετὰ δευτέρων καὶ τρίτων. ὁ γὰρ ἀποφαινόμενος περὶ ἑαυτοῦ καὶ πολιτῶν ἀπόντων, ἡμεῖς ἠριστεύσαμεν, σύλληψιν πεποίηται τρίτων μετὰ πρώτου· ὁ δὲ παρόντων, ἡμεῖς αἴτιοι ἐγενόμεθα, πρώτου καὶ δευ- B τέρων, εἴγε πρὸς αὐτοὺς ἀποφαίνεται ὑπὲρ αὐτῶν. ὁ δὲ λέγων ὑπὲρ ἀπόντων πολιτῶν πρὸς πολίτας, ἡμεῖς τῆς μάχης αἴτιοί ἐσμεν, καὶ δευτέρων σύλληψιν ποιεῖται, ἐν ᾧ πρὸς αὐτοὺς ἀποφαίνεται, καὶ τρίτων, ἐν ᾧ ὑπὲρ ἀπόντων διαλέγεται, ὅπερ ἴδιον ἦν τρίτου. τὸ δὲ δεύτερον ἢ [καὶ] δευτέρων σύλληψιν ἢ ⟨δευτέρων⟩ καὶ τρίτων. πρὸς μὲν γὰρ πάντας παρόντας ἡ ἀπόστασις δευτέρων σύλληψις, πρὸς δέ τινας μὲν ἀπόντας, C τινὰς δὲ παρόντας, ὡς εἰ Ἀλέξανδρος πρὸς τοὺς Ἀθηναίων πρέσβεις, ὑμεῖς οἱ Ἀθηναῖοι, δευτέρων καὶ τρίτων. τὸ γὰρ τρίτον πάντοτε ἐν τρίτοις νοεῖται.

Argum. 1 Male primam dicunt esse eam quae loquatur; nam 'nos' has tres voces 'ego tu ille' complectitur. Nec recte secunda dicitur, quae ad aliquem spectet: nam etiam tertia ad aliquem spectat; nec tertia, de qua agatur; id enim de omni persona dici potest. — 11 Pluralis primae pers. omnes personas complectitur; pluralis secundae aut secundas cum secundis aut secundas cum tertiis: definitiones igitur proprie in unum singularem quadrant; tertiae vero pluralis nihil continet nisi tertias personas.

Discr. script. 2. τρίτον τὸ περί τινος RSchneider, τὸ τρίτον περί τινος Ab τὸ τρίτον ⟨τὸ⟩ περί τινος RSkrzeczka | 4. post ἐκεῖνος inserendum esse ⟨λέγω λέγεις λέγει⟩ censet PSchmieder | πρῶτον τὸ λέγον Ab, τὸ πρῶτον λέγον RSkrzeczka | 4—5. τὸ δεύτερον καὶ τὸ τρίτον] 'Expungendi forsan sunt articuli' b in var. lect. | 6. πρός τινα; RSkrzeczka, πρός τινα b | ὑπέρ τέ τινος πᾶν τι πρόσωπόν ἐστι. (vel ὑπέρ τέ τινος πᾶν πρόσωπόν ἐστι.) RSkrzeczka, ὑπέρ τινος πᾶν τε πρόσωπόν τε ἐστι; Ab, πᾶν τι πρόσωπόν γε ὑπέρ τινος. JGuttentag | 7. εστιν A | 10. εστιν A | 10—11. πῶς — τινος delet RSkrzeczka | 11. ἑνικοῖς] fol. 151 v. | 17—18. δευτέρου Ab, δευτέρων RSkrzeczka | 21. ἀπόντων b, απωντων A | 22. ἢ δευτέρων σύλληψιν ἢ δευτέρων RSkrzeczka, ἢ καὶ δευτέρων σύλληψιν ἢ Ab

Ἔτι γε μὴν ἐπὶ δυϊκοῦ cύλληψιc γενήcεται, ἀλλ' οὐκέτι ἐν τριcὶ προcώποιc, ἀλλ' ἐν δυcί· πόθεν γὰρ τὸ δυάδοc παραcτατικὸν cύλληψιν τριῶν ποιήcεται; καὶ πρώτου μὲν πρὸc τρίτον,

νῶι δ', ἐγὼ Cθένελόc τε (I 48),

πρὸc δὲ δεύτερον,

πρίν γ' ἐπὶ νὼ τῷδ' ἀνδρί (Ε 219)· 24 A

καὶ ἐπὶ δευτέρου δευτέρων,

γυιώcειν μὲν cφῶιν ὑφ' ἅρμαcι (Θ 416),

δευτέρου δὲ καὶ τρίτου,

cφῶι μὲν αὖθι (Μ 366).

ἐξηγήcεται γὰρ αὐτὸc πρὸc παρόντα μὲν τὸν Αἴαντα, ἀπόντα δὲ τὸν Λυκομήδη,

cὺ καὶ κρατερὸc Λυκομήδηc (Μ 366).

Χρὴ μέντοι κἀκεῖνο προcειληφέναι, ὅτι, κἂν πλῆθοc ἀποφαίνηται, οὐ διαπίπτει πάντωc ὁ λόγοc. πάλιν γὰρ ἕκαcτοc τῶν φωνούντων B cύλληψιν ποιεῖται τῶν cὺν αὐτῷ ἀποφαινομένων· ἕκαcτοc γὰρ τῶν ἐν πλήθει μοῖρα τοῦ ὅλου. αἱ γοῦν ἐπαφαὶ τῶν ὑπερμεγέθων cωμάτων ἀπὸ βραχέοc τινὸc μέρουc τὸ ὅλον cῶμα δηλοῦcιν.

Ὁ δὲ λόγοc ἅπαc cυντείνει καὶ ἐπὶ τὰ ῥήματα, τῶν προcτακτικῶν εὐλόγωc ὑπεcταλμένων. εἰ γὰρ κεχώριcται τὸ προcτάccον τοῦ προcταccομένου, πρῶτον δέ ἐcτι τὸ ὑπὲρ αὐτοῦ ἀποφαινόμενον, δῆλον ὅτι περιccὸν ζητεῖν τὸ τούτων πρῶτον πρόcωπον. δεῖ μέντοι νοεῖν, ὅτι τὸ C

χαζώμεθ' ἐφ' ἵππων (Ε 249),

τό τ'

ἄνδραc κτείνωμεν (Ζ 70),

καὶ τὰ παραπλήcια ἠθικώτερον ἀναπεφώνηται, τῶν ὑποτιθεμένων καὶ

Argum. 1 Eodem modo dualis binas pers. complectitur. — 14 Multis simul loquentibus cum unus quisque plurali utitur, eos qui simul vociferantur complectitur. — 19 Totus hic de personis locus etiam ad verba pertinet. Imperativi prima pers. iure carent; in coniunctivo adhortativo alios monentes nos una complectimur.

Testim. 14 Prisc. XII, 14 p. 585, 7 Hertz *quid igitur, quod multi simul loquentes dicunt, 'nos fecimus'? non est supra dicto contrarium: unusquisque enim loquentium conceptionem facit eorum, qui una secum loquuntur, quippe cum unusquisque pars est totius, qui si velit ceteros indicare secum loquentes, necessario secundae vel tertiae eos attribuit personae.*

Discr. script. 6. τῷδ' b, τον A | 8. γυιώcειν b, γυιωcει A | 11. προc παροντα A, παρόντα b | 13. cὺ καὶ b, cυ και ο A | 14. αποφαινηται A, παρεμφαίνηται b, 'Addendum fortasse, quod expressit Priscianus, *nos fecimus*' idem in var. lect. | 19. και επι A, κἀπὶ b | 21. εcτιν A | 24 τοτ' A, τό τε b | 25. κτείνωμεν] fol. 152 r. | 26. ὑποτιθεμένων καὶ ἑαυτοὺc cυλλαμβανόντων conicit RSkrzeczka, ὑποτιθεμενων εαυτουc και cυλλαμβανοντων A, 'Fortasse ὑποτιθεμένων ἑαυτοῖc καὶ ἄλλουc (sic corr. in iud. mendorum pro ἀλλήλουc) cυλλαμβανόντων' b in var. lect.

ἑαυτοὺς συλλαμβανόντων· οὐ γὰρ ἄντικρυς προστακτικαὶ αἱ τοιαῦται
25 A ἐκφοραί.

Ἐχομένως σκεπτέον καὶ περὶ τῶν κατὰ κλητικὴν προσώπων, τίνα τέ ἐστιν ἐν πρωτοτύποις, τίνα τε ἐν κτητικαῖς. Εἰ κλητική ἐστι κλῆσις τῶν πέλας, ὀρθῶς οὔτε τὰ πρῶτα κλητικὴν ἔχει τῶν πρωτοτύπων (καὶ γὰρ περὶ αὐτῶν τὸν λόγον ποιεῖται) οὔτε τὰ τρίτα, ἐπεὶ ἢ ἄπεστιν ἀναφορικῶς λεγόμενα, ὡς αὐτός καὶ ἐκεῖνος,

κεῖνος ἀνήρ, ὅτ' ἐμεῖο κυνώπιδος εἵνεκ' Ἀχαιοί (δ 145),

B ἢ δείκνυται ἐν διαστάσει, ὡς ἐν τῷ [οὗτος] ἐκεῖνος. ὅπερ οὐ προσίεται ἡ κλητική. καὶ τούτου πίστις τὸ τὴν μὲν οὗτος καὶ ἐπὶ κλήσεως τάσσεσθαι, καθὸ πλησιάζει. ὦ οὗτος, ἦ οἰῇ στρατείαν ἐσσείσθαι; Σώφρων (fr. 23 Ahrens). Κρατῖνος ἐν Δραπέτισιν (com. gr. II p. 51 Mein.)·

οὗτος, καθεύδεις; B. οὐκ ἀναστήσεις βοῶν·

Ἀριστοφάνης ἐν Σφηξίν (v. 1)·

οὗτος, τί πάσχεις; ὦ κακόδαιμον Ξανθία.

C Ἄλλοι δέ τινες ὑπέλαβον ὠλιγωρῆσθαι, ἐπεὶ ἐπὶ κλητικῆς ἐτέθη. «δέον γάρ», φασι, «τὴν σύ παρειλῆφθαι· ἐχρῆν τε εἰς ε λήγειν; καθὸ τὰ τοιάδε τῶν πτωτικῶν εἰς ε λήγει κατὰ τὴν κλητικήν· ἔτι γε μὴν τὸ παρὰ Σώφρονι καὶ ἄρθρον προσέλαβεν ἐν τῷ ὦ οὗτος.» Πάνυ δὲ εὔηθες τὸ τοιοῦτον. δι' οὗ γὰρ λόγου κανονίζεται τὸ ἐκεῖνος καὶ ἔτι τὸ πόσος καὶ ποῖος ἀμοιρεῖν κλητικῆς, διὰ τούτου κατασκευάζεται ὡς
26 A τὸ οὗτος ὀρθῶς ἐπὶ κλητικῆς τετάξεται. κλητικὴ γὰρ κλῆσις τοῦ πέλας, πέλας δέ ἐστι τὸ οὗτος, κλητικῆς ἄρα τεύξεται. — προαλὲς δὲ καὶ τὸ ὦ ἄρθρον παραδέχεσθαι· ἐκπίπτει γὰρ τῆς τῶν ἄρθρων ἐννοίας. ἄλλως τε διδομένης τῆς κλητικῆς δοθήσεται καὶ τὸ ὦ. — ἴσως δὲ καὶ Ἀττικῷ ἔθει εἰς ος ἔληξεν ἐπὶ κλητικῆς ὁμοίως τῷ

δὸς φίλος (ρ 415).

ἄλλως τε ἐδείχθησαν πολλάκις ἀνακόλουθοι αἱ ἀντωνυμίαι.

B Ἐπί γε μὴν τῶν κτητικῶν ἀκωλύτως ἐπὶ τοῦ πρώτου· οὐδὲν γὰρ ἦν ἐμποδών, ὥστε τὸν κεκτημένον τὸ κτῆμα προσφωνεῖν,

---

ARGUM. 3 Vocativo compellantur, quae prope sunt; itaque personalia et primae vocativo carent, et tertiae praeter οὗτος; nam οὗτος ea demonstrat quae in propinquo sunt, cum cetera tertiae aut relationis vim habeant aut ad ea spectent quae remota sunt. — 29 Possessivis primae personae vocativus tribuendus est; secundae abrogandus, non eis de causis, quae aliis visae sunt:

DISCR. SCRIPT. 3. κλητικὴν b, κλιτικη A^1, in κλητικη mut. A^x | 4. ει ex η corr. A^1 | εστιν A | κλῆσις A^xb, κλισις A^1 | 5—6. καὶ γὰρ GUhlig, οὐ γὰρ Ab | 9. οὗτος expungit RSkrzeczka | 11. ἦ οἰῇ HLAhrens, η οιη A ut 72 C 7, οἴῃ b | στρατείαν b, στρατιαν A | ἐσσείσθαι HLAhrens, ἐσσεῖσθαι b | 13. οὗτος b, ουτως A | B. οὐκ ἀναστήσεις βοῶν GKoen, ουκ αναστησεις βοτων A, οὐκ ἀναστήσει Βάτων; ThBergk, 'οὗτος καθεύδεις; οὐκ ἀναστήσει;' βοῶν CGCobet | 15. οὗτος b, ουτως A | 16. ὠλιγωρῆσθαι b, ωλιγορησθαι A | 21. πόσος b, οποσος A, sed in ποσος mut. A^1 | 22. κλητικῆς b et A, quem κλησεως habere falso dicit b in var. lect. | 23. εστιν A | κλητικῆς b, κλησεως A | 29. ι in voce επι in rasura A^1

ὦ πάτερ ἡμέτερε Κρονίδη (α 45),
παῖδες ἐμοί (γ 475),
ὤ'μαὶ τἀπιόντος ἄγκυραι (Callimachi fr. 97 Schneider)·

οὐκέτι μέντοι ἐπὶ δευτέρου, ⟨οὐ⟩ καθάπερ τινὲς ᾠήθηcαν διὰ τὸ τὸν ἀριθμὸν διάφορον εἶναι. «ἑνικὸν μὲν γὰρ τὸ κατὰ τὸ τέλος, τουτέςτι τὸ κτῆμα, πληθυντικόν δὲ τὸ κατὰ τὸ ἄρχον, ὅ ἐςτι τοῦ κτήτορος. πῶς γάρ φαςι πληθυντικὸν καὶ ἑνικὸν ὑφ' ἓν κεκλήςεται; εἰ γοῦν ἰcάριθμα C γένοιτο κατ' ἀμφότερα, ςυςτήςεται.»

Πρῶτον οὐδεμία χρῆςις· ἔπειτα οὐδὲ λόγος ἀπαιτεῖ. εἰ γὰρ αἱ κλήςεις οὐ πρὸς κεχωριςμένα πρόςωπα, τὰ δὲ τῶν κτητόρων κεχώριςται τῶν κτημάτων, πῶς οὐχὶ μάτην τὰ τῆς φωνῆς παραληφθήςεται, οὐ δυνάμενα παραληφθῆναι; ἀμέλει τὰ τοῦ πρώτου, ἀναδεξάμενα τὸν 27 A λόγον, καὶ τὴν χρῆςιν ἐπέδειξεν.

Εἰ τὰ τρίτα τῶν κτητικῶν ἀντωνυμιῶν ᾠκείωται τοῖς κτητικοῖς ὀνόμαςι, καθὸ ἀμφότερα δύο τρίτων παραςτατικά, τοῦ τε κτήτορος καὶ τοῦ κτήματος, οὐδὲν δὲ τὸ κωλῦον φάναι Ἀριςτάρχειε, οὐδὲ τὸ ςφέτερε ἄρα ἀπόβλητον.

Εἰ τὸ ἡμέτερε κλητικῆς, καὶ τὸ τούτου ἑνικὸν ὑπάρχει, ὅπερ καὶ ἐςχηματίςθη παρὰ τῷ ποιητῇ,

γαμβρὸς ἐμὸς θύγατέρ τε (τ 406)·

ὃν τρόπον ἀντὶ τοῦ γαμβρέ, οὕτως [ἂν] ἀντὶ τοῦ ἐμέ. ὅπερ ἴςως ἄηθες, B ἐπεὶ οὔτε ςύνηθες παρὰ τῷ ποιητῇ, ςολοικιςμοῦ τε ὑπόφαςιν ἐποιεῖτο διὰ τὸ τῇ ἐμέ αἰτιατικῇ ὁμοφωνεῖν.

Ἀκολούθως ςκεπτέον ὑπὲρ τῆς ςυντάξεως τῶν ἀντωνυμιῶν, τὸ πρῶτον πότε ταῖς εὐθείαις αὐτῶν τὰ ῥήματα ςυνταγήςεται, καὶ πότε

Argum. 9 sed ex his potius: primum ὑμέτερε ὑμέτεροι vocativi non sunt in usu; deinde uno vocativo non possunt diversae personae (possessoris et rei possessae) compellari. — 14 In tertiae pers. possessivis cum duae sint tertiae personae, vocativus admitti potest. — 18 In prima pers. ἐμός etiam vocativi loco usurpatur, ne cum ἐμέ accusativo confundatur. — 25 De syntaxi pronominum. Cum obliquis eorum casibus usque construuntur verba; ex his enim quae provenit actio, ad obliquos casus transit.

Discr. script. 3. cf. synt. 220, 2, ὦ ἐμαὶ τοῦ ἀπιόντος ἄγκυραι A b, ὦ 'μαὶ τοῦ 'πιόντος ἄ. RBentley, ὦ 'μαὶ τἀπιόντος ἄ. AMeineke ThBergk OSchneider | 4. οὐ καθάπερ b, καθαπερ A | 5 τουτεςτιν A | 6. τὸ ἄρχον] fol. 152 v. | εςτιν A | κτητωρος A | 7. φαςιν A | κεκλήςεται RSkrzeczka, κεκλίςεται A b, in A ι ante c correctum, sed quid ante fuerit non liquet | εἰ γοῦν b, η γουν A | 10. κτητωρων A | 12. παραληφθῆναι b, παραλήφθηςεται A, puncta posuit A[1] | 14. οικειωται A | 15. ονομαςιν A | κτητωρος A | 18. κλητικῆς A* b, κλιτικης A[1] | 21. τρόπον ἀντὶ RSchneider, τρόπον ἀπὸ A b | 'Sententia fere poscit: ὃν γὰρ τρόπον γαμβρὸς εἶπεν ἀντὶ τοῦ γαμβρέ, οὕτως ἐμός ἀντὶ τοῦ ἐμέ' b in var. lect. | ἂν b, in A non liquet utrum αν ex ην an ην ex αν factum sit; delet GUhlig | 22. ςύνηθες GUhlig, ςυνεχὲς A b | 25. in marg. περι της ςυνταξεως αντωνυμιων maiusc. A

οὔ. — ταῖϲ μὲν γὰρ πλαγίοιϲ πάντοτε, ἐπεὶ αἱ ἀπὸ τῶν ῥημάτων δι-
αθέϲειϲ ἐπί τινα πλάγιον φέρονται ἢ ὀνόματοϲ ἢ ἀντωνυμίαϲ ἢ μετοχῆϲ,
C Τρύφωνι ἔδωκαϲ, ἐμοὶ ἐλάληϲαϲ, ἐτίμηϲαϲ τὸν νικήϲαντα·
τῆϲ γὰρ τοιαύτηϲ ϲυντάξεωϲ οὐκ οὔϲηϲ, οὐδ' ἡ ἐπὶ πρόϲωπον μετά-
βαϲιϲ νοεῖται.

Τινὲϲ μὲν οὖν ὑπέλαβον ἐντελεϲτέραν εἶναι τὴν μετὰ ῥημάτων καὶ
ἀντωνυμιῶν φράϲιν, εἴγε ἐπ' ἐνίων ϲυντάξεων, ὑφαιρουμένων τῶν
ἀντωνυμιῶν, ἐνδεῆ τὰ τοῦ λόγου γίνεται. ἐντελὲϲ μὲν γὰρ τὸ ἐγὼ
⟨μὲν⟩ παρεγενόμην, ϲὺ δ' οὐ παρέτυχεϲ, ἐλλειπὲϲ δὲ τὸ πα-
28 A ρεγενόμην μέν, οὐ παρέτυχεϲ δέ. — Ἐγὼ δὲ οὐκ οἶμαι τὰϲ
τοιαύταϲ φράϲειϲ ἐλλιπεῖϲ εἶναι τῶν ἀντωνυμιῶν, ὅπου διὰ ῥημάτων
κατὰ τὸ πρῶτον πρόϲωπον καὶ δεύτερον ἡ τῶν ῥημάτων παράθεϲιϲ
ἀναπληροῖ τὴν τῶν προϲώπων μετάβαϲιν, περιϲϲὸν μέντοι τὴν παρά-
θεϲιν ὑπολαμβάνω, εἰ μὴ διαϲτολῆϲ ὁ λόγοϲ χρῄζοι. τὸ γὰρ

ᾔομεν ἀχνύμενοι (κ 570)

καὶ τὸ

ἤμβροτεϲ οὐδ' ἔτυχεϲ (Ε 287)

B καὶ ϲχεδὸν ὅλη ἡ χρῆϲιϲ τοῦ βίου, πλήρηϲ οὖϲα τῆϲ τοιαύτηϲ ϲυντά-
ξεωϲ, δόξειεν ἂν ἐλλείπειν. πέφυκε γὰρ ἡ μὲν τῶν ῥημάτων ἐκφορὰ
μετὰ προϲώπου τοῦ κατὰ τὴν εὐθεῖαν καὶ πρᾶγμα δηλοῦν, ἡ δὲ τῶν
ἀντωνυμιῶν αὐτὸ μόνον πρόϲωπον καί, εἰ δέοι, διαϲτολήν. ὅταν οὖν
τὰ ῥήματα παρατεθῇ, περιϲϲόν ἐϲτι τὰϲ ἀντωνυμίαϲ λαμβάνειν τῆϲ
εὐθείαϲ, εἴγε, δι' ὃ παρετίθεντο, ἐπληροῦτο διὰ τῶν ῥημάτων. τοῦ
C μέντοι λόγου δεομένου ἀντιδιαϲτολῆϲ, καὶ τῶν ῥημάτων μὴ δυναμένων
ἔτι τοῦτο ἀναπληρῶϲαι, ἐξ ἀνάγκηϲ παραλαμβάνονται αἵ τε κατὰ ⟨τὸ⟩
πρῶτον καὶ αἱ κατὰ τὸ δεύτερον, ἡμεῖϲ κατέβημεν, ἐγὼ ἐθεαϲά-
μην, καὶ ἐπὶ τῶν ὀνομάτων. τούτῳ δὲ τῷ λόγῳ κἀκεῖνο ἀϲύϲτατον
καθειϲτήκει· αἱρομένων γὰρ τῶν ἀντωνυμιῶν διαϲτολῆϲ εἶχε χρείαν ἡ
ϲυμπλοκὴ τῆϲ φράϲεωϲ, ἐγὼ μὲν παρεγενόμην, ϲὺ δὲ ⟨οὐ⟩ πα-
ρέτυχεϲ.

Argvm. 6 Nominativo pronominis cum verbo coniuncto quidam statuunt pleniorem fieri orationem. Qua in re prima et secunda pers. a tertia seiungendae sunt. Nos censemus in prima et secunda pers. superflua esse pronomina, praeterquam ubi personae, quod inter se opponuntur, distinguendae sunt.

Discr. script. 8—9. ἐγὼ μὲν b, εγω A | 9. litterae ομ in παρεγενομην corr. A[1], quid ante fuerit non cernitur | ελλειπεϲ A, ἐλλιπὲϲ b | 11. ἐλλιπεῖϲ Ab, ⟨οὐκ⟩ ἐλλιπεῖϲ GUhlig | 18 τοῦ βίου] fol. 153 r. | 19. ἐλλείπειν b, ελλιπειν A | πεφυκεν A | 20. μετὰ προϲώπου τοῦ κατὰ τὴν εὐθεῖαν καὶ πρᾶγμα Ab, μετὰ πράγματοϲ καὶ πρόϲωπον τὸ κατὰ τὴν εὐθεῖαν GUhlig | 22 εϲτιν A | 23. επληρουτο A, ἀνεπληροῦτο b | 25—26. τὸ πρῶτον b, πρωτον A | 27. pro ὀνομάτων GUhlig conicit ὁμοίων | 28. καθιϲτηκει A[1], ι in ει mut. A[x] | ειχεν A | 29. ϲυμπλοκὴ b in var. lect., ϲυϲτολὴ Ab in textu | 29—30. ἐγὼ μὲν παρεγενόμην, ϲὺ δὲ οὐ παρέτυχεϲ b, εγω μεν παρεγενομην ϲυ δε περιετυχεϲ A, ἐν τῷ παρεγενόμην μέν, οὐ παρέτυχεϲ δέ GDronke

Ἐπὶ τρίτου οὐ συντείνει τὰ τοῦ λόγου. πάντοτε γὰρ δεῖ τῷ τρίτῳ 29 A
τὴν ἀντωνυμίαν ἢ τὸ ὄνομα ἐπιφέρεσθαι, δι' οὗ τὸ λειπόμενον ἀναπληρωθήσεται. γράφει γάρ· τίς ἐπιζητοῦμεν, καὶ ἐν διαστήματι ἐκεῖνος, ἐν δὲ ἐγγύτητι οὗτος, ἢ ἐν ἀναφορᾷ αὐτός, ἢ ἐν ὀνόματι περιπατεῖ Σωκράτης. οὐκ ἀντίκειται τὸ ὕει ἢ βροντᾷ ἢ ἀστράπτει, αὐτοτελῆ ὄντα· ὑπακούεται γὰρ πάντως ὁ Ζεύς, εἴγε αὐτοῦ ταῦτα ἴδια.

Χρὴ δὲ γινώσκειν, ὅτι ἐπὶ τῶν τοιούτων φράσεων λείπουσιν αἱ ἀντωνυμίαι, B

αὐτὸς ἑκὼν οἱ δῶκα (δ 649),
αὐτὸς νῦν ἴδε πῶμα (θ 443).

εἰ γὰρ ἡ αὐτός ταῖς ἀντιδιαστελλομέναις συντάσσεται, τὰ δὲ ῥήματα οὐ διασταλτικά, ἀπόλυτα δὲ πρόσωπα σημαίνει, πῶς οὐχὶ ἐξ ἀνάγκης τὸ τῆς ἀντωνυμίας πρόσωπον ἐνδεῖ, ἐν ᾧ ἦν ἀντιδιασταλτικὴ ἐκφορά;

Διδασκόμεθα δὴ ἐντεῦθεν ὡς φυσικῷ τινι λόγῳ αἱ ἐγκλιτικαὶ τῆς εὐθείας ἐσιγήθησαν, πάσης φράσεως μεταβατικὸν ἐν προσώποις ἐχούσης τὸ ῥῆμα, ὅπερ ἦν δυνάμει ἐγκλινομένη ἀντωνυμία. — Πρός γε μὴν C
τοῖς εἰρημένοις, οὐδ' αἱ ἀνθυποφερόμεναι τοῖς πύσμασιν ἐκτός εἰσιν ἀντιδιαστολῆς. εἰ γὰρ ὧδέ τις ἀποφαίνοιτο, τίς ἔγραψε, τίς διετάξατο, φαμὲν ἐγώ, ἐξαιροῦντες τῆς κατὰ τὸ πύσμα ἀορίστου προφορᾶς τὸ δεδρακὸς πρόσωπον.

Ὡς μὲν οὖν τὸ ῥῆμα τὰς ἐγκλιτικὰς τῆς εὐθείας παρωθεῖται, εἴρηται· 30 A
νῦν δὲ ῥητέον ὡς καὶ αὐταὶ τὰ ὀνόματα ἀποθλίβουσιν ἀντ' αὐτῶν παραλαμβανόμεναι. τὰς μὲν οὖν ἄλλας πτώσεις ἐν προσώποις τρίτοις νοεῖσθαι, μόνην δὲ τὴν κλητικὴν ἐν δευτέρῳ, ὡς ἐν τῷ ὦ σὺ Ἀρίσταρχε. ὁ οὖν ὑπὲρ ἑαυτοῦ ἀποφαινόμενος ἢ πρός τινα ἀπερειδόμενος τὸν λόγον ὑπὲρ αὐτοῦ τοῦ προσφωνουμένου ἠδυνάτει προσχρῆ-

---

Argum. 1 Tertiae vero verbi personae quoniam infinitae sunt, usque pronomen aut nomen addendum est; in his 'pluit tonat' Iupiter subauditur. — 7 Desideratur pronomen, ubi αὐτός recto casu cum verbo construitur; verbum enim absolutas pers. indicat, αὐτός discretis apponitur. — 14 Enclitica igitur nominativi pronomina iure non exstant; ea enim suapte natura absolutas pers. designarent, quas verba ipsa per se significant. — Pronomina in responsis prolata discreta sunt — 22 Nomina tertiae pers. sunt, praeter vocativum, qui secundae tribuitur. Prima igitur et secunda pronominibus vindicatur, tertia nominibus, sed nomina ubi cum verbis substantivis construuntur, etiam ad primam et secundam pertinent. In tertia pronomina non usurpantur nisi demonstrandi causa.

Discr. script. 13. ἀντιδιασταλτικὴ b, ανταδιασταλτικη A | 17. in A ανθυπεφερομεναι fuisse videtur, ανθυποφερομεναι corr. A' | 18. post εγραφε ν eras. in A | 23. καὶ αὐταὶ RSchneider, καὶ αὐτὰ Ab | ἀντ' αὐτῶν] fol. 153 v. | 24. ante τὰς μὲν οὖν lacunam maioris ambitus statuit GDronke | litterae σπτω vocum αλλασπτωσεις evan. in A | 25. ικην litterae vocis κλητικην evan. in A | 26. post Ἀρίσταρχε intercidisse δῆλον vel προείρηται suspicatur RSkrzeczka | 26—27. ἀπερειδόμενος b, επερειδομενος A | 27. αὐτοῦ b, αυτου A (ε supra α)

cθαι τοῖc ὀνόμαϲιν, ὡc προείρηται, ἐπεὶ ἐν τρίτοιc προϲώποιc ἐνοεῖτο,
B χωρὶc εἰ μὴ τὰ τῆc ὑπάρξεωc ῥήματα ϲυντάττοιτο· (τηνικαῦτα γὰρ ἐπὶ πρώτου καὶ δευτέρου τὰ ὀνόματα ἐτάϲϲετο. καὶ μάλα εὐλόγωϲ· οὐ γὰρ ἔτι ἡ ἀντωνυμία τὸ ἰδίᾳ τινὶ παρηκολουθηκὸc ἠδύνατο παραϲτῆϲαι. φαμὲν γὰρ οὖν Ἀρίϲταρχοc λέγομαι, μακρὸc ὑπάρχω). ἀναγκαίωc οὖν αὗται παραλαμβάνονται κατὰ πρῶτον καὶ δεύτερον, κοινὴν προϲώπων μετάβαϲιν δηλοῦϲαι. ἐπὶ γὰρ τῶν τρίτων οὐκ ἐξ ἀνάγκηc παραληφθήϲονται· δυνατὸν γὰρ προϲχρῆϲθαι καὶ τοῖc ὀνόμαϲιν, ἐγὼ καὶ
C cὺ καὶ Ἀριϲτοφάνηc, χωρὶc εἰ μὴ δείξεωc δέοιτο ὁ λόγοc, καθάπερ ἐπὶ τοῦ

οὗτοc δ' Αἴαc ἐϲτὶ πελώριοc (Γ 229)·

οὐ γὰρ μόνον τῷ τὴν ποιότητα παριϲτάντι ἠρκέϲθη, ἀλλὰ καὶ δεῖξιν ἐπιζητοῦντοc τοῦ λόγου ἐπηνέγκατο ⟨τὸ⟩ ἀντωνυμικόν. ἄλλωc τε ἡ γνῶϲιc τῶν κυρίων ὀνομάτων οὐ δῆλοc ἅπαϲιν· ὅθεν ἐπὶ τὴν κοινῶc λαμβανομένην ἐπὶ παντὸc ἀντωνυμίαν καταδρομὴ γίνεται· οὐϲίαc γὰρ
31 A αὕτη μόνον παραϲτατική. διὸ καὶ ὁ Νέϲτωρ, οὐϲίαc μόνον ἀντιληπτικὸc γενόμενοc, οὐκέτι δὲ καὶ τῆc παρακολουθούϲηc ποιότητοc διὰ τὴν ἀδηλίαν τοῦ καταϲτήματοc, ὁρίζει μὲν τὸ ὑποκείμενον πρόϲωπον, ἀνακρίνει δὲ τὸ ποιόν,

τίc δ' οὗτοc κατὰ νῆαc (Κ 82)·

ὁ δὲ τὸ ἴδιον δηλοῖ,

γνώϲεαι Ἀτρείδην (Κ 88).

Ὡc μὲν οὖν καὶ ἐπὶ τρίτων πολλάκιc παραλαμβάνονται ἀντ' ὀνό-
B ματοc, ἐδείχθη. Ἴϲωc τιc ὡc μαχόμενα ταῦτα παραλήψεται

δεῦρ' ἴτω ἐκ πάντων πρόμοc ἔμμεναι Ἕκτορι δίῳ (Η 75),

καὶ τὸ

οὐκ ἂν μ' ἐρύϲαιτ' ἐξ οὐρανόθεν πεδίον δὲ
Ζῆν' ὕπατον μήϲτωρα (Θ 21)·

ἰδοὺ γὰρ ὑπὲρ ἑαυτῶν λέγοντεc ὀνόματι προϲχρῶνται, τοῦ λέγεϲθαι ἢ ὑπάρχειν μὴ ϲυντεταγμένων. Ἀλλ' οὐ τὰ ἐν ϲχήματι λαμβανόμενα, καὶ
C ταῦτα ὀλιγάκιc, κανὼν τῶν πλείϲτων. ἄλλωc τε ἔμφαϲιν ὑπεροχῆc τὰ τοιαῦτα ϲημαίνει. καὶ τὸ ἐπὶ Κύκλωποc δὲ λεγόμενον ἐπὶ τρίτου ἂν ἠκούετο,

Οὖτιν ἐγὼ πύματον ἔδομαι (ι 369),

Argvm. 23 Pauca sunt exempla, in quibus prima secundaque persona nomine aliquo, non pronomine, notantur ab iis, qui aut superbe loquuntur, aut aliud quid sibi volunt.

Discr. script. 1. ὡc προείρηται verba post ἐνοεῖτο collocanda esse censet JGuttentag | 3. ονοματα A, idem coniecerat RSkrzeczka, ῥήματα b | 11. εϲτιν A | 12. τῷ b, το A | παριϲτᾶν τι A | 13. ἐπηνέγκατο τὸ RSchneider, ἐπηνέγκατο Ab, ἐπήνεγκε τὸ JGuttentag | 23—24. ἀντ' ὀνόματοc b, αντωνοματοc A, sed ω in ο mut. | 27. μ' ἐρύϲαιτ' b, μερυϲετ' A, ἐρύϲαιτ' Homerus | 28. μήϲτωρα b, μηϲτορα A

εἰ μὴ ἀνθυπαλλαγῇ τῆς ἀντωνυμίας εἰς δεύτερον αὐτὸ ἐπέστρεψε,

τὸ δέ τοι ξεινήιον ἔσται (ι 370).

ὅμοιον γὰρ καὶ τὸ ἐπὶ Τηλεμάχου,

ὦ γέρον, οὐχ ἑκὰς οὗτος ἀνήρ,
ὃς λαὸν ἤγειρα (β 40. 41)·

πάλιν γὰρ πρώτου διὰ τὸ ἤγειρα. οὐκ ἄλογον δὲ τὸ τὴν τῶν ὀνο- 32 A
μάτων ἐκφορὰν ἐν τρίτοις νοεῖσθαι, ἐπεὶ αἱ ἴδιαι θέσεις τῶν ὀνομάτων
οὐ τὸν πρός τινα λόγον ἔχουσιν, ἀλλὰ τὸν περί τινος.

Αἱ ἀντωνυμίαι οὔτε ἀντὶ τῶν προσηγορικῶν ὀνομάτων, οὔτε ἀντὶ
ἐπιθετικῶν, εἴγε αἱ μὲν ὁρίζουσιν ἕν τι, τὸ δὲ προσηγορικὸν διήκει
κατὰ πλειόνων, ἄνθρωπος, ἵππος· τὸ δὲ ἐγώ εἰμι ὁ ταῦτα
δρῶν ἀντὶ ὀνόματος κυρίου τοῦ Τρύφων ἢ Δίων. ἀλλὰ μὴν τἀπιθε- B
τικὰ ἢ πηλικότητα ἢ ποσότητα ἢ διάθεσιν ψυχῆς δηλοῖ ἤ τι τοιοῦτον·
αἱ δὲ ἀντωνυμίαι οὐδενὸς τούτων παραστατικαί, μόνον δὲ οὐσίας.
ἀμέλει τὸ λευκός ἐστιν ἢ μέλας ἢ ἀγαθός εἰς ἀντωνυμίαν οὐ
μεταλαμβάνεται, τοῖς δὲ κυρίοις τὰ ἐπιθετικὰ συναρτᾶται, μακρός
ἐστι Τρύφων, λευκός ἐστι Δίων· φαμὲν δὲ ἐγὼ λευκός εἰμι,
ἀγαθὸς εἶ σύ· καὶ κατὰ τοῦτο οὖν ἀντὶ κυρίων δείκνυνται παραλαμ-
βανόμεναι. Ἔτι καὶ τὸ ἵππος με ἐλάκτισε, μεταλαμβανόμενον εἰς C
τὸ οὗτός με ἐλάκτισεν, οὐκέτι κοινότητα τοῦ ἵππου ἐπαγγέλλεται,
τὸν δὲ ἰδίως νοούμενον.

Ἐπεὶ δὲ καί τινες τῶν λέξεων ἀμφιβάλλονται, πότερον ἀντωνυμίαι
ἢ ὀνόματα, διά τινας ὁμοιότητας ἢ κοινὰς παρακολουθήσεις, καὶ περὶ
τούτου λεκτέον, ἵνα τἀκριβὲς τοῦ λόγου προσγινόμενον τὸ διστάζόμενον
κατὰ τάσδε τὰς λέξεις ἀποτρίψηται. 33 A

Τὰ γοῦν ἐγκλιτικὰ τῶν πτωτικῶν ἀντωνυμίας φασὶν εἶναι, τίμη-
σόν με,

κόψε γάρ αὐτόν (Μ 204),
οὐδέ τί μοι περίκειται (Ι 321)·

Argum. 9 Pronomina neque in adiectivorum neque in appellativorum locum substituuntur. Nam appellativum plura complectitur, adiectivum aut quantitatem aut qualitatem aut affectum animi significat: pronomina autem certam personam designant ut nomina propria, quorum locum occupant. — 23 De vocibus falso in pronominum numerum relatis. — 27 Τις et encliticum et orthotonumenon est nomen; pronomen esse ut comprobent, sex deinceps afferunt adversarii argumenta, partim e forma, partim e notione ducta.

Discr. script. 1. επεστρεψε A, ἔτρεψε b] fol. 154 r. | 2. εσται A Homerus, ἔστω b | 5. ἤγειρα Homerus (vid. quae sequuntur), ἄγειρα A b | 6. πρωτου A, πρῶτον b | 7. ἴδιαι θέσεις GUhlig, διαθέσεις Ab | 10. τὸ δὲ προσηγορικὸν b, ατο δε προσηγορικων A, 'Cod. οστο δε προσηγαρικων' b in var. lect. | 12—13. ταπιθετικα A, τὰ ἐπιθετικὰ b | 16. μεταλαμβάνεται b, μεταλαμβανονται A | 17. post utrumque εστι ν eras. in A | 19. post ελακτισε ν eras. in A | 22. inscriptio περι του τις ει αντωνυμια maiusc. A

«διὰ τοῦτο τὸ τις, ἐγκλιτικὸν ὄν, ἀντωνυμία, ἦλθέ τις ἄνθρωπος.
— τά τε εἰς c̄ λήγοντα ὀνόματα, μονοσύλλαβα ὄντα, ἐκτείνεται, Κρής,
θής, παῖς, θίς, εἷς, τὰ δὲ τῶν ἀντωνυμιῶν συστέλλεται, σός, ὅς,
B σφός. — αἱ εἰς ν̄ᾱ λήγουσαι αἰτιατικαὶ εἰς ν̄ λήγουσι κατὰ τὸν τοῦ
οὐδετέρου παρασχηματισμόν, μέλανα μέλαν, τάλανα τάλαν, τέ-
ρενα τέρεν, ἕνα ἕν. πῶς οὖν ἀπὸ τοῦ τινὰ οὐχὶ τίν, ἀλλὰ τί; τὸ
δ' ἀνακόλουθον ἐν ἀντωνυμίαις· τοιοῦτον οὖν καὶ τὸ προκείμενον. —
καὶ ἐκ τοῦ παρὰ Δωριεῦσι μὴ περισπᾶσθαι, καθὸ παιδῶν, παντῶν,
Τρωῶν. — οὐσίαν σημαίνουσιν αἱ ἀντωνυμίαι, τὰ δὲ ὀνόματα οὐσίαν
μετὰ ποιότητος· τὸ οὖν τίς, οὐσίας ὂν μόνον παραστατικόν, ἀντω-
C νυμία. — ἔτι ἀνταποδίδοται τῷ ποῦ τὸ ἐκεῖ, καὶ γίνεται ἓν μέρος
λόγου, τῷ ⟨τε⟩ πότε τὸ ὅτε· καὶ τῷ τίς οὖν τὸ ἐγώ· ταὐτὸν ἄρα.»

Ἐγὼ δ' οἶμαι πᾶσαν λέξιν μᾶλλον ἀντωνυμίαν παραδεχθῆναι ἤπερ
τὸ τίς καὶ τὰ τῆς τοιαύτης σημασίας ὀνόματα, λέγω δὲ τὸ ποῖος, πόσος.
τὸ γὰρ ἐναντιώτατον ταῖς ἀντωνυμίαις, ἀόριστά ἐστιν, αὐτῆς ὁριζούσης
34 A πρόσωπα. εἴτε γὰρ πυσματικῶς, εἴτε ἀποφαντικῶς λαμβάνοιτο, σαφὲς
ὅτι ἀόριστα. ὁ γὰρ πυνθανόμενος, ἐν ᾧ πυνθάνεται, ἀγνοεῖ, τὸ δ
ἀγνοούμενον οὐχ ὁριστόν· ὁ δὲ λέγων ἀποφαντικῶς ἦλθέ τις οὐκ
ἐπί τινα γνωριζόμενον ἀπερείδεται. πῶς οὖν οὐ παρέλκουσα ἡ ζήτησις;

«Ἀλλὰ τὸ τίς, ἀποφαντικὸν ὄν, ἐγκλίνεται.» Ἀλλ' οὐδεμία ἀντω-
νυμία, εὐθείας οὖσα, ἐγκλίνεται, τὸ δὲ τίς εὐθείας· πῶς οὖν ἀντω-
νυμία; ἄλλως τε οὐκ ἴδιον ἀντωνυμίας ἔγκλισις, ἀλλὰ καὶ ῥημάτων,
B ὡς τὸ ἐστίν, εἰσίν, καὶ συνδέσμων, ὁ πέρ, ὁ τέ, καὶ ἐπιρρημάτων, ὡς
τὸ ποτέ, πῶς. οὐκ ἐπεὶ οὖν ἐγκλίνεται τὸ τίς, ἀντωνυμία. — «Πῶς
οὖν οὐ τείνεται μονοσυλλαβοῦν ὡς τὰ ὀνόματα;» Τοῦτο φωνῆς κατηγό-
ρημα, οὐ τοῦ νοουμένου ἀπὸ τῆς φωνῆς. ἡ αὐχένος παράλογός ἐστιν,
ἀλλ' ὄνομα· τὸ πέποσχα ἡμάρτηται, ἀλλὰ ῥῆμα. ἴσως δὲ καὶ ἡ σύν-
τομος τῆς πεύσεως ἀνάκρισις τὸ μακρὸν ῑ παρῃτήσατο. — Εἰς ῑ δὲ
λήγει τὸ οὐδέτερον, καθότι τὰ συστελλόμενα τῶν διχρόνων ἀποβολῇ
C τοῦ c̄ τὸ οὐδέτερον ποιοῦσι, ταχύς ταχύ, ἥμισυς ἥμισυ, μέγας

Argvm. 13 At primum notio eius obstat, ne in pronominibus habeatur. — 20 Deinde adversariorum argumenta possunt refelli.

Discr. script. 1. post ηλθε eras. ν in A | 2. εκτεινεται in rasura A | 4. post ληγουσι ν eras. in A | 8. παρὰ b, μη παρα A. 'Excidisse videtur τὴν γενικήν. Mox pro typothetae vitiis repone παίδων, πάντων, Τρώων.' b in var. lect. Ceterum in A et videtur fuisse παιδῶν (accentus eras.) et est τρωῶν | post δωριευσι ν eras. in A | 9. οὐσίαν] fol. 154 v. | 11. ανταποδιδωται A | 12. 'τε abest a codice inter τῷ et πότε' b in var. lect. | 13. 'Nonne potius μᾶλλον δεῖν vel μᾶλλον ἄν?' b in var. lect. | 16. ἀποφαντικῶς GFSchoemann, ἀποφατικῶς Ab | 18. ο δε A, ὅ τε b | ἀποφαντικῶς GFSchoemann, ἀποφατικῶς Ab | 20. ἀποφαντικὸν RSchneider, ἀποφατικὸν Ab | 30. ποιουσιν A

μέγα, εὔχαρις εὔχαρι· τοιοῦτον οὖν καὶ τὸ τί. — Αἱ ἀντωνυμίαι
⟨αἱ⟩ ὀρθοτονούμεναι καὶ ἐγκλινόμεναι ⟨ἐγκλινόμεναι⟩ αὐτὸ μόνον δια-
κρίνουσι τὰ πρόσωπα, [καὶ] ὀρθοτονούμεναι ⟨διαστέλλουσι καὶ⟩ ἀντανα-
κλῶνται· τῷ δὲ τίς οὐ ταὐτὸν παρηκολούθει. οὐ γὰρ ἕνεκα διαστολῆς
τὸ τίς ὀξύνεται, ἀλλ' ἕνεκα πεύσεως. — Τῷ τίς τὸ ἐγώ ἀνθυπάγεται,
ἀλλὰ καὶ τὸ Ἀρίσταρχος, ἄλλα μυρία προσώπων δεικτικά. τὰ δὲ 35 A
πύσματα κατὰ ποσότητος, ὡς τὸ πόσος, καὶ ποιότητος, ὡς τὸ ποῖος,
καὶ πηλικότητος, ὡς τὸ πηλίκος, καὶ κατ' οὐσίας, ὡς τὸ τίς. καὶ οὐ
διὰ τοῦτο ἀντωνυμία.

Οὐκ ἔστιν εὔλογον κατατρέχοντας τῆς φωνῆς φάναι ὡς οὐδεμία
ἀντωνυμία εἰς ις ἢ εἰς νος ἢ εἰς να λήγει, ἢ περισσοσυλλαβεῖ κατὰ
γενικήν, ἐπεὶ ἕνεκά γε τούτου οὐδεμία ἀντωνυμία εἰς γω ἢ εἰς συ.
καὶ σχεδὸν ἐπὶ πασῶν τὸ αὐτὸ ἦν, καὶ οὐ πάντως οὐκ ἀντωνυμίαι. —
Εἰ δὲ χρή, ἐκεῖνο λεκτέον, ὡς αἱ γένους παραστατικαὶ ⟨καὶ⟩ ἀκοινώ- B
νητοι ὡς πρὸς τὰ θηλυκά, ἐκεῖνος ἐκείνη, αὐτός αὐτή· πῶς οὖν
ὁ τίς καὶ ἡ τίς; — τὸ οὐδείς συντάσσεται γενικῇ ἀντωνυμίας, οὐδεὶς
αὐτῶν, οὐδεὶς ἡμῶν· οὐκέτι τῷ τινῶν. — πρὸς τὴν πεῦσιν βαρύνεται
τὸ τίνων, ἐπεὶ τὰ πύσματα πρὸς πάντων Ἑλλήνων βαρύνεται, ὑπὲρ
μίαν συλλαβὴν ὄντα, ὑπεξαιρουμένου τοῦ ποδαπός διὰ τὸν τύπον. οὐ

Argum. 10 Τίς nomen esse non poteris ita comprobare, ut eius finem congruentem non esse dicas pronominum finibus; ipsa enim pronomina analogiam non sequuntur. Hoc potius dicendum, pronomina, quae genus exitu distinguunt, etiam femininum a masculino discernere, non discernere τίς vocem; οὐδείς coniungi cum genitivis pronominum, non coniungi cum τινῶν.

Discr. script. 1. litterae ρι in ευχαρις in rasura A¹ | post τὸ τί GUhlig suspicatur inserenda esse verba, quae nunc l. 17 πρὸς τὴν — p. 29, 3 ὀξυτονουμένης leguntur | 2—3. sic locum restituit RSchneider JGuttentagium maxime secutus, qui aut sic Αἱ ἀντωνυμίαι ὀρθοτονούμεναι καὶ ἐγκλινόμεναι, ἐγκλινόμεναι αὐτὸ μόνον διακρίνουσι τὰ πρόσωπα, καὶ ὀρθοτονούμεναι καὶ διαστέλλουσι, aut ita Αἱ ἀντωνυμίαι ὀρθοτονούμεναι καὶ ἐγκλινόμεναι ἐγκλινόμεναι αὐτὸ μόνον διαστέλλουσι τὰ πρόσωπα, καὶ ὀρθοτονούμεναι ἀντιδιαστέλλουσι καὶ ἀντανακλῶνται scribi vult, Αἱ αντωνυμίαι ὀρθοτονούμεναι καὶ ἐγκλινόμεναι αὐτὸ μόνον διαστέλλουσι τὰ πρόσωπα, καὶ ὀρθοτονούμεναι ἀντανακλῶνται Ab, Αἱ ἀντωνυμίαι ἐγκλινόμεναι αὐτὸ μόνον ὁρίζουσι τὰ πρόσωπα καὶ ὀρθοτονούμεναι διαστέλλουσι καὶ ἀντανακλῶνται GUhlig | 3. litterae αστελλου vocis διαστελλουσιν in rasura A¹ | 4. τῷ b, το A | 6. μυρία RSkrzeczka, μυρίων Ab | RSkrzeczka aut δέ particulam eiciendam aut lacunam maioris ambitus ante τὰ δὲ statuendam esse censet. | 7. litterae πυσμα vocis πυσματα in ras. A¹ | 8. πηλικοτητ (o supra) in ras. A¹ | litterae οπηλικος vocum το πηλικος in ras. A¹ | ου supra lin. add. A¹ | 10. supra της φωνης φαναι quaedam erasa in A | 11. ἀντωνυμία] fol. 155 r. | 13. ἀντωνυμίαι RSkrzeczka, ἀντωνυμία Ab | 14. παραστατικαὶ καὶ b, παραστατικαι A | 16. ὁ τίς καὶ ἡ τίς Ab, 'At scribendum ὅστις καὶ ἥτις' b in var. lect. | ἀντωνυμίας b, αντωνυμια A | 17. verba πρὸς τὴν — p. 29, 3 ὀξυτονουμένης GUhlig post τὸ τί l. 1 collocanda esse censet

πάντως οὖν οὐχὶ ὄνομα, ὅτι παρὰ Δωριεῦσιν ⟨οὐ⟩ περισπᾶται, καὶ
ἐπεὶ τινά ὀξυτόνως φαμὲν ἐπὶ τῆς ἀποφάσεως, καίτοι μηδεμιᾶς αἰτια-
C τικῆς εἰς ᾱ ληγούσης καὶ ὀξυτονουμένης. — Πῶς δὲ οὐχὶ κἀκεῖνο
γέλοιον; «ἡ γὰρ ῐ ἀντωνυμία προσέλαβέ», φασι, «τὸ τ̄, καὶ ἐγένετο τί,
τὰ δὲ τοιαῦτα τοῦ αὐτοῦ μέρους λόγου, οἷος τοῖος, ὥς τώς.»
Πρῶτον μὲν οὐ τῆς αὐτῆς ἐννοίας· εἶτα ἔδει τὸ τί τῶν τριῶν γενῶν
εἶναι παραστατικόν, ὥσπερ καὶ τὸ ῐ. ἢ εἴπερ τὸ τί οὐδέτερον μόνως,
πῶς οὐχὶ καὶ τῷ τίς τὸ δίχα τοῦ τ̄ παράκειται ἵς; τί δὲ τὰ μὲν ἀπὸ
36 A τοῦ τ̄ κλίσιν καὶ ἀριθμὸν ἀνεδέξατο, τινός, τινῶν, τὰ δὲ ἀπὸ τοῦ ῑ
οὐκέτι, τῶν τοιούτων κλινομένων; οἵου γὰρ καὶ τοίου.

Τὸ τηλικοῦτος καὶ τοιοῦτος τά τε τούτοις ὅμοια σύνθετα, ὥς
τινες ὑπέλαβον. σκεπτέον οὖν καὶ τίνα ἂν μέρη λόγου εἴη, εἴπερ
ἔγκειται τὸ οὗτος. Καὶ ὑπὲρ μὲν τῆς συνθέσεως τάδε τὰ κεφάλαια· «ὁ
τύπος τῆς φωνῆς, ἐν ᾧ τὰ ἐν διαλύσει φαμὲν τηλίκος οὗτος. — ἡ διὰ
τοῦ ῑ ἐπέκτασις, τηλικουτοσί, τοιουτοσί, ὅπερ ἐπ' ὀνομάτων οὐ
B συμβαίνει. — τὸ δεῖξιν ἀναδέχεσθαι· ἀφορῶντες γάρ φαμεν τηλι-
κοῦτος καὶ τοιοῦτος, τούτου μὴ παρακολουθοῦντος ὀνόμασι. — τῶν
τε οὐδετέρων ἡ εἰς ō κατάληξις, τηλικοῦτο· ὁμοίως γὰρ τῷ αὐτό
καὶ τοῦτο καὶ ἐκεῖνο.»

Ὑπὲρ δὲ τοῦ μὴ οὕτως ἔχειν τὰ τῆς συνθέσεως ῥητέον· πῶς τὸ
τηλίκος καὶ ἔτι τὸ τηλικόσδε, ἀσύνθετα ὄντα, τὸ αὐτὸ σημαίνει τῷ
τηλικοῦτος; πότε ἁπλοῦν συνθέτῳ ταὐτόν ἐστι; — δεύτερον, οὐχ ὑγιὲς
C τὸ λέγειν, ὅτι καὶ τὸ οὗτος ἔγκειται. τί γὰρ μᾶλλον ὄνομα ἐκ τοῦ
κατ' ἀρχὴν μέρους ἢ ἀντωνυμία ἐκ τοῦ κατὰ τὸ τέλος; ἐὰν γὰρ ἅπαξ

Argvm. 3 Falsum est quod dicunt, τί factum esse ex ῐ eamque ob rem eidem orationis parti tribuendum. — 11 Quidam τηλικοῦτος τοιοῦτος et cum οὗτος composita et nomina esse contendunt. Inesse οὗτος 1) ex forma apparere; 2) augeri illa ῑ littera suffixa; 3) adhiberi ad demonstrandas res; 4) neutra exire in ō. — 19 Quibus haec opponuntur: nunquam simplicia idem significant quod composita; est vero τηλίκος idem quod τηλικοῦτος. — Secum ipsi pugnant adversarii; nam cum ponunt esse οὗτος in illis vocibus, hoc simul statuunt, ea esse pronomina, non, ut ipsi censent, nomina; ex terminatione enim, cui orationis parti tribuenda sint vocabula, apparet.

Discr. script. 1. οὐ περισπᾶται b, περισπαται A | 4. προσελαβεν A | φασιν A | 8. τὸ δίχα b, τω διχα A | παρακειται A, πρόσκειται b | 11. inscriptio περι του τηλικουτος και τοιουτος ει αντωνυμιαι maiusc. A | 12 εἴπερ b, ηπερ A | 16. τούτου b, του του̅ A | ονομασιν A | 17. ἡ εἰς ō b, εις ῶ A | 18. τοῦτο b, τοιουτο A | 21. συνθέτῳ ταὐτόν] fol. 155 v. | post εστι ν eras. in A | 22. οτι και το ουτος A, ὡς τὸ τηλίκος καὶ τὸ οὗτος b 'Cod. ως . . . . και το ουτος' id. in var. lect., falso, nam nec ως, nec lacunae vestigium in codice est | τι γαρ μαλλον A, τί γὰρ οὐ μᾶλλον b | 23 litterae ην vocis αρχην evan. in A

δοθῇ ἐγκεῖcθαι τὸ οὗτος, δέδοται καὶ ἀντωνυμίαν εἶναι τὸ τηλικοῦτος·
τὰ γὰρ τέλη τῶν λέξεων ἐπικρατεῖ κατὰ τὰς cυνθέcεις. ῥῆμα γοῦν τὸ
δημαγωγῶ καὶ παιδαγωγῶ, καὶ ὄνομα τὸ εὐγενής, καὶ εἰ ἐξ ἐπιρρήματος
cύγκειται· καὶ ἐπ' ἄλλων μυρίων τὸ αὐτό. — ἄλλως τε καὶ ποίαν 37 A
ἔτι ἔμφασιν ἔχει τὸ τημοῦτος τῆς οὗτος ἀντωνυμίας, ἢ τὸ τηνικαῦτα
τοῦ αὐτά, ὅτε οὐδὲν πλέον τοῦ τηνίκα καὶ τῆμος cημαίνει; — πῶς δ'
οὐχὶ καὶ κοινά ἐστι κατὰ γένος καὶ προπαροξύνεται; τὰ γὰρ cύνθετα
τοιαῦτα κατὰ γένος καὶ κατὰ τόνον, ὑποστελλομένων τῶν παραλόγων.
ἀπὸ γοῦν τοῦ δοῦλος προπερισπωμένου τὸ cύνδουλος καὶ κοινὸν καὶ
προπαροξυνόμενον· ἐχρῆν ἄρα καὶ παρὰ τὴν οὗτος τὸ τηλικοῦτος προ-
παροξύνεcθαι. — «Ἀλλὰ δύο πρόσωπα δηλοῖ, τό τε δεικνύμενον καὶ B
ἐφ' ὃ ἀναφέρεται ἡ δεῖξις, ὅπερ οὐκ ἂν ἦν, εἰ μὴ cύνθετον καθει-
cτήκει.» Καὶ τοῦτο εὐαπόλυτον. ἰδοὺ γὰρ cύνθετοι λέξεις ἓν ἁπλοῦν
δηλοῦcιν, ὡς ἡ Θεόφραστος, καὶ ἁπλαῖ λέξεις πλείονα πρόσωπα.
Ἑκτόρειος γὰρ ὁ τοῦ Ἕκτορος υἱός· καὶ ἔτι τὸ ἱππεύς μετὰ τοῦ ἵππου
καὶ ἀνδρὸς καὶ τέχνην ἐπαγγέλλεται. καὶ ἄλλα πλείονα παραχθέντα
ὑπόφασιν παρέχει cυνθέcεως· τὸ μελιτηρόν τοῦ τηρεῖν, ὅπερ ὁμοίως C
παρῆκται τῷ καματηρόν καὶ αἱματηρόν· τὸ φαιδιμόεντες, ὅτι φαίδιμα
ἔντη, ὅπερ ἦν κλίcις ἁπλοῦ τοῦ φαιδιμόεις. — Πῶς δ' οὐχὶ καὶ ἡ δα-
cεῖα τοῦ οὗτος ἐφυλάccετο; τί δὲ οὐχὶ καὶ πρώτου καὶ δευτέρου ἀνα-
λογούcας ἔχει, ἅπερ καὶ cύγκειται; καὶ γὰρ ἡ ἐμαυτοῦ καὶ cαυτοῦ.
οὐcίαν μόνον cημαίνουcιν αἱ ἀντωνυμίαι, ταῦτα δὲ καὶ ποιότητα καὶ
τηλικότητα, τηλικοῦτος καὶ τοιοῦτος. — «Ἄλλως τε ⟨καὶ⟩ ὁμοιώcεως 38 A
ὄντα [τὰ] ὀνόματα τῶν ὑποκειμένων ἐδόκει δεῖξιν παριστάνειν.» Ὅπερ

Argum. 4 Quod in τημοῦτος et τηνικαῦτα vocibus pronominum οὗτος et αὐτά notiones non apparent, haec in illis non inesse constat: idem dici potest de τοιοῦτος et οὗτος. — 6 Τηλικοῦτος et τοιοῦτος si essent composita, duarum terminationum et proparoxytona essent. — 11 'At duas', inquiunt, 'indicant personas, quod fieri non posset, si composita non essent'. Sunt autem multa derivata, quae compositorum speciem prae se ferant. — 19 Si essent composita, asper spiritus servaretur. — Similia in prima secundaque exstarent composita. — 23 Quod dicunt, vocibus illis demonstrandi notionem subiectam esse ut pronominibus, falluntur. Diversa est enim demonstrandi vis, quae in illis vocibus est, ab ea, quam habent pronomina. Nam pronomina demonstrant unam rem, de qua sermo est, quacum et genere et numero congruunt; illae vero et eam, de qua agitur, et eam, quae respicitur; ab hac et genere et numero diversae esse possunt.

Discr. script. 4. μυριων A, idem coniecerat RSkrzeczka, μορίων b | 7. post ἐcτι eras. ν A | 12—13. καθιcτηκει A¹, ι in ει mut. A* | 15. υἱός GUhlig, ἵππος Ab | 21. ἅπερ RSkrzeczka, ὅπερ Ab, 'Fortasse εἴπερ καὶ cύγκειται' b in var. lect. | 23. τε καὶ b, τε A | 24. τὰ delet GUhlig

ἄγαν ἐςτὶ ληρῶδες. τὸ γὰρ δεικνύμενον δι' ἀντωνυμίας οὐκ ἐπ' ἄλλου ςυντείνει, αὐτὸ δὲ τὸ ὑποκείμενον καὶ κατὰ γένος καὶ κατὰ ἀριθμόν. ἀφορῶν γάρ τις εἰς λίμνην φήςει τηλικοῦτον εἶναι τὸν Νεῖλον. ἢ ἐπὶ πλήθους, τηλικοῦτοί μοί εἰςιν οἱ παῖδες ἀποβλέπων εἰς ἕν τι B μέγεθος τῶν ὑποκειμένων, ὅπερ ἐπὶ παντὸς γένους δύναται παραλαμβάνεςθαι. — «Ἀλλ' εἰς ο̅ λήγει τὸ οὐδέτερον.» Τοῦτο ἴδιον τῆς παραγωγῆς. ἴςως δὲ καὶ εἰς ο̅ν̅ λήγουςιν αἱ οὐδέτεραι ἐκφοραί. — Αἵ τε διὰ τοῦ ῑ ἐπεκτάςεις κατά τινος ὑποκειμένου καὶ ἀναφερομένου θέλουςι παραλαμβάνεςθαι· ἐκεινοςί γὰρ καὶ τουτοΐ. ὑπέκειτο δὲ ταῖς τοιαύταις φωναῖς τὸ ὁμοιωματικόν, ἐφ' ὃ ἀναφέρεται τὸ τηλικοῦτος. — Ἀμέλει τὸ ἴςος μεταλαμβάνεται εἰς τὸ τηλικοῦτος, ὅπερ ὄνομα· ὀνόματα ἄρα καὶ τὰ προκείμενα.

C Τῆς αὐτῆς ζητήςεως τυγχάνει τὸ ἡμεδαπός καὶ ὑμεδαπός, τοῦ δαπέδου ἢ ἐδάφους κατά τινας ἐγκειμένου. — Ἀλλ' ἐβαρύνετο ἂν ὁμοίως τοῖς τὸ ο̅ φυλάξαςιν οὐδετέροις, ἄςτεφος, εὔτειχος, δύςριγος, εἰ παρὰ τὸ ἔδαφος· εἰ δὲ παρὰ τὸ δάπεδον, ὁμοίως τῷ εὔτεκνος, εὔμετρος, εὐπρόςωπος. — ἀλλ' εἰ καὶ τὰ τοῦ τόνου παραπεμπτέα, εἴγε καὶ τὰ παρὰ τὸ ἔργον ςυντιθέμενα ὀξύνεται, 39 A μουςουργός, ἐλεφαντουργός, ὑπουργός, τὰ τοῦ γένους ἀντέκειτο· κοινὰ γὰρ ἔδει εἶναι ὁμοίως τοῖς ςυνθέτοις. — πρὸς οἷς καὶ τὰ

Argvm. 6 Cur neutrum in ο̅ exeat, derivatio causa est. — 7 Ex ῑ suffixa nihil colligitur. Ea sane augetur vis demonstrandi; sed alia est in his, alia in pronominibus. — 10 Pro τλικοῦτος dicimus ἴςος, quod nomen est; nomina igitur illa. — 12 Voces ἡμεδαπός ὑμεδαπός non sunt compositae; si essent, oportebat eas barytonas et communes esse; nec forma bene haberet; nec nominibus tribuerentur, nam primam et secundam personam indicant; nec pronominibus, nam terminatio, ex qua de merismo iudicatur, nomine constaret. Accedit quod pluralis nullius pronominis, singularis unius αὐτός componitur.

Testim. 1 Prisc. XIII, 33 p. 21, 15 *Hoc autem interest inter demonstrationem nominum et pronominum, quod id, quod demonstratur per pronomen, solum ostenditur per se nec ad alium pertinet extrinsecus, quod vero per nomen, non solum ipsorum, quae ostenduntur, sed etiam illorum, ad quos referuntur, demonstrationem habet, ut 'talis Pyrrhus apparet, qualis pater eius', et quod pronomina demonstrativa in eodem genere et numero manent, qui demonstratur, nomina vero demonstrativa possumus diversa ostendentes ad diversa referre, ut si aspicientes mare dicamus, talem esse Nilum.*

Discr. script. 1. post εςτι ν eras. in A | 3. ι vocis λίμνην in ras. A^{x} | 4—5. εἰς ἕν τι μέγεθος] 'Fortasse εἰς ἓν τὸ μέγεθος' b in var. lect. | 7. ἴςως δὲ καὶ] fol. 156 r. | 8. post θελουςι ν eras. in A | 11. margini ascripsit A^1 οπερ ονομα τουτεςτι το ιςος 13. inscriptio περι το ημεδαπος και υμεδαπος A maiusc. | καὶ ὑμεδαπός b, η υμεδαπος A | 14. δαπέδου b, πεδου A | 15. τὸ ο̅ b, το ω A | ἄςτεφος A b, quod servat ChALobeck, ἄξιφος RSkrzeczka | 16. δάπεδον b, πεδον A | 20. ἔδει RSkrzeczka, θέλει A b

τῆς γραφῆς ἀντέκειτο· ἐχρῆν γὰρ ἢ ἡμεδαπεδός διὰ τοῦ πεδ ἢ ἡμεδαφός διὰ τοῦ φ. — πρὸς τούτοις εἰς ἄπορον περιίσταται τὸ σχῆμα τῆς λέξεως· οὔτε γὰρ ὄνομα, ἐπεὶ πῶς πρώτου προσώπου καὶ δευτέρου δεικτικόν, ὅπερ ἐν ὀνόματι οὐ παρακολουθεῖ; οὔτε ἀντωνυμία, ἐπεὶ τὰ τέλη τῶν σχημάτων ἐπικρατεῖ, ὄνομα δὲ τὸ τέλος, ὄνομα ἄρα τὸ ἡμεδαπός. ἔτι οὐδεμία ἀντωνυμία μετ' ἄλλου μέρους λόγου συντίθεται ἢ B μόνη ἢ αὐτός. πληθυντικὴ δὲ οὐδεμία καθόλου· πῶς οὖν σύνθετον τὸ ἡμεδαπός;

Εἰρήσεται μὲν οὖν ἐντελῶς ἐν τῷ περὶ συνθέτων ἡ αἰτία τῆς ἀσυνθεσίας, καὶ νῦν ⟨δὲ⟩ διὰ βραχέος ῥηθήσεται. τὰ ὀνόματα δείξεώς ἐστιν ἀπαρέμφατα, αἱ δὲ ἀντωνυμίαι δείξεώς εἰσι παραστατικαί, ἀλλὰ μὴν καὶ προσώπων [τε] ὡρισμένων, ἀπολύτων τε καὶ διασταλτικῶν. τά τε συντιθέμενα τῶν λέξεων τὸ ἴδιον σημαινόμενον φυλάσσει, ἐάνπερ μὴ C συμβολικῶς λαμβάνηται, καθάπερ τὰ κύρια. ὀρθῶς ἄρα τὴν σύνθεσιν τῶν ἀντωνυμιῶν τὰ ὀνόματα παρῃτήσατο. — Ἐπεὶ κἀκ τῶν προκειμένων τὰ ὀνόματα μετελαμβάνετο, (τὸ παντοδαπός ἴσον τῷ παντοῖος, καὶ οὐδαμοῦ τὸ ἔδαφος,) δῆλον ὡς καὶ τὰ προκείμενα ἀσύνθετα. — Ἐλλειπῆ ὄντα τὰ πύσματα τοῦ ἐφ' ἃ ποθεῖ, ἀσύνθετα καθέστηκεν· αἱ δὲ συνθέσεις αὐτοτελεῖς θέλουσιν εἶναι. πῶς οὖν τὸ ποδαπός σύνθετον; — 40 A Παράγονται αἱ ἀντωνυμίαι. ἰδοὺ γὰρ νωίτερος καὶ ἡμέτερος. ἀκωλύτως ἄρα καὶ ταῦτα παρήχθη, ὁμοίως τῷ τηλεδαπός καὶ παντοδαπός.

«Ἀλλά», φασίν, «εἰ δοθείη τὸ ἡμεδαπός παρῆχθαι, δοθήσεται καὶ τὸ ἄλλος ἀντωνυμία, ἐπεὶ τὸ ἀλλοδαπός τῷ ἡμεδαπός καὶ ὑμεδαπός, ἀν-

Argum. 9 Cuius rei haec est causa: Nomina demonstrandi vim non habent, habent pronomina; vocabula autem compositione coniuncta suam quodque notionem servant: ergo nomina cum pronominibus componi non possunt. — In παντοδαπός vocis notione nullum ἔδαφος notionis vestigium apparet; itaque neque in hoc παντοδαπός, neque in illis ἡμεδαπός ὑμεδαπός vox ἔδαφος inesse potest. — Interrogativa composita esse non solent: qui potest ποδαπός? — Ne multa: sunt pronominalia derivata. — 22 'Sed', inquiunt, 'ἡμεδαπός ὑμεδαπός si sunt pronominalia derivata, etiam ἀλλοδαπός, quod eis in tertia respondet, a pronomine descendit, ut ἄλλος pronomen sit'. At in tertia persona etiam nomina in pronominum locum substituuntur. — Cum infinitus sit tertiarum pers. numerus, non potest omnium patria uno verbo designari, sed fieri potest ut primae aut secundae esse negetur; ad eam rem significandam ἀλλοδαπός aptum est.

Discr. script. 1. ἡμεδαπεδός b, ημεδαπος A, supra απος aliquid erasum | πεδ CWachsmuth, δ Ab | 4. δεικτικον A, δεκτικόν b | ἀντωνυμία b, ἀντωνυμιαι A | 10. καὶ νῦν δὲ b, και νυν A | 11. post εισι ν eras. in A | 12. προσώπων ὡρισμένων b, προσωπων τε ορισμενων A | 13. σημαινόμενον b, συντιθεμενον A | 14. margo A¹ συμβολικως τουτεστι κυριως | verba ὀρθῶς ἄρα — 15. παρῃτήσατο post διασταλτικῶν l. 12 collocanda esse censet RSkrzeczka | 15—16. Sic locum constituit RSchneider, παρῃτήσατο, ἐπεὶ κἀκ τῶν προκειμένων τὰ ὀνόματα παρελαμβάνετο. Τὸ Ab, παρῃτήσατο. Ἐπεὶ κἀκ τῶν προκειμένων ἃ ὀνόματα παρελαμβάνετο, τὸ, vel παρητησατο. Ἔπειτα κἀκ τῶν προκειμένων ὀνόματα παρελαμβάνετο, τὸ JGuttentag | 16. παρελαμβανετο punctis supra παρε positis A | 17. ελλειπη A, ἐλλιπῆ b | 18. τοῦ] fol. 156 v. | τοῦ ἐφ' ἃ ποθεῖ Ab, τοῦ ἐφ' οὗ πυνθάνεται RSkrzeczka | αι δε A, αἱ γὰρ b | 21. inscriptio περι του αλλος και αλλοδαπης maiusc. A

τωνυμικοῖc οὖcι, τρίτον καθεcτὸc cυμπαρήχθη· χρῆν γὰρ cφεδαπόc.» — Καὶ τοῦτο εὐαπόλυτον. πρῶτον ὡc οὐκ εἴ τι κατὰ τὸ τρίτον ἐπάγεται ταῖc ἀντωνυμίαιc, τοῦτο ἀντωνυμία· ἰδοὺ γὰρ καὶ τὰ ὀνόματα. — ἔπειτα ἐξ ἀνάγκηc τὸ ἀλλοδαπόc ἐπιφέρεται, οὐ καθὸ ἀντωνυμία, καθὸ δὲ τῶν ὑποκειμένων προcώπων ἀναιρετικὸν ὑπάρχον εἰc ἀόριcτον πρόcωπον μεθίcτηcιν· ἄλλοc γάρ, οὐκ ἐγώ· ἄλλοc, οὐ cύ· ἄλλοc, οὐκ Ἀρίcταρχοc. ἀναγκαίωc οὖν τὸ ἡμεδαπόc καὶ ὑμεδαπόc, τοῦ ὁριcμοῦ cτερούμενα, εἰc τὸ ἀλλοδαπόc περιίcτατο ἀόριcτον, τοῦ cφεδαπόc μὴ δυναμένου κατὰ τὸ τρίτον παραλαμβάνεcθαι, ἐπεὶ δυcέφικτον τὸ ὁρίcαι παντὸc ἀνθρώπου πόλιν· ἄπειρα δὲ τὰ τρίτα. cτέρηcιc ἄρα ἦν πρώτου καὶ δευτέρου τὸ ἀλλοδαπόc, ὥcπερ ἀρcενικοῦ καὶ θηλυκοῦ τὸ οὐδέτερον.

Ἀλλ' οὐδὲ κλητικήν φαcιν ἔχειν τὸ ἄλλοc, καθότι αἱ ἀντωνυμίαι, ἐκεῖνοc καὶ αὐτόc. — Καὶ τοῦτο ληρῶδεc. εἰ γὰρ ἡ κλητικὴ κλῆcιc τοῦ πέλαc, ὅπερ ἐcτὶ δεύτερον πρόcωπον, πῶc οὐχὶ βίαιον τὸ ἀφανιcτι-
41 A κὸν τῶν προcώπων ἐc δευτέρου προcώπου γένεcιν μεθίcταcθαι; — «Ἀλλὰ καὶ τὸ οὐδέτερον εἰc ō ἔληξε, καθότι τὸ αὐτό καὶ τὸ ἐκεῖνο ἀντωνυμίαι ὄντα.» Τοῦτο ἁμάρτημα φωνῆc, ὅπερ κατωρθοῦτο ἐν τῷ cυνθέτῳ, τὸ ὀφειλόμενον ν̄ προcλαμβάνον· ἔξαλλον γὰρ καὶ περίαλλον. — «Τὴν γενικὴν πληθυντικὴν περιcπῶcι Δωριεῖc, ἐπεὶ καὶ τὰc τοιαύταc τῶν ἀντωνυμιῶν· τουτῶν γὰρ καὶ τηνῶν, οἷc ὅμοιον καὶ τὸ ἀλλῶν». Ἀλλ' οὐκ εἴ τι ἐν διαλέκτοιc παρὰ τάcιν ὠλιγώρηται, τοῦτο καὶ τῆc
B ποιότητοc τῆc λέξεωc ἐcτέρηται· ἴcωc δὲ καὶ τὸ ἐλλειπὲc τῆc εὐθείαc ἀνεπλήρωcαν Δωριεῖc, ὡc ἀπὸ ὀξυτόνου εὐθείαc ἑνικῆc περιcπῶντεc.

Ἡ ἀντωνυμία ὁρίζει πρόcωπα, τὸ δὲ καὶ τὰ ὁριζόμενα ἀόριcτα

Argvm. 13. Neque ea ex re colligi potest ἄλλοc pronomen esse, quod vocativo caret. Nam ut omnes personas, ita secundam tollit, quae vocativo compellatur. — 'Neutrum exit in ō, ut aliorum pronominum.' At hoc vitium vocis, quod in compositis tollitur. — Nec maioris momenti est, Dorienses genetivum pluralem perispomenos proferre. — 25. Accedunt alia argumenta, quibus ἄλλοc pronomen non esse comprobetur: nomen est.

Testim. 18 Ep. Cr. 70, 21 *ἀλλὰ ō ὤφειλεν ἔχειν ἐν τῇ ἁπλότητι, ἀνέλαβεν ἐν τῇ συνθέσει, οἷον ἔξαλλον προσαλλον* (scr. *ἀλλοπρόσαλλον*). Cf. Choer. Can. 838, 10.

Discr. script. 1. ante χρῆν γὰρ enuntiatum intercidisse censet JGuttentag | 8. post εια eras. ν in A | supra περιιcτατο aliquid erasum in A | 10. δε A, γὰρ b | 13. κλητικήν b, κλιτικην A | 14. ει ex η factum in A | 15. εcτιν A | 17. εληξεν A | 18. ἀντωνυμίαι b, αντωνυμια A | 19. προcλαμβάνον Ab, προcλαμβάνοντι KEASchmidt | 20. περιcπωcιν A | 21. τουτῶν et αλλῶν A | 23. ελλειπεc A, ἐλλιπὲc b | 24. ἑνικῆc περιcπῶντεc] fol. 157 r.

καθίστηcιν, ἄλλοc, οὐκ ἐγώ. — αἱ ἀντωνυμίαι ἀντ' ὀνομάτων· Ἀρίσταρχοc ἐξηγήcατο καὶ αὐτὸc ἐθαυμάcθη ἓν καὶ τὸ αὐτὸ πρόcωπον, ἀλλ' οὐκέτι ἐν τῷ Ἀρίσταρχοc ἐξηγήcατο καὶ ἄλλοc ἐθαυμάcθη. — αἱ εἰc ο͞c λήγουcαι ἀντωνυμίαι μονοπρόcωποι, ὀρθο- C τονούμεναι μόνωc καὶ δεικτικαὶ οὖcαι, διὰ τοῦ ῑ ἐπεκτείνονται, χωρὶc τῆc αὐτόc· αὕτη γὰρ ἀναφορικὴ οὖcα οὔτε ἐπεκτείνεται οὔτε μόνωc ὀρθοτονεῖται· ἐκεινοcί γὰρ καὶ οὑτοcί δεικτικῶc, ἀναφορικῶc δὲ κατ' ἔγκλιcιν

κόψε γάρ αὐτον ἔχοντα (Μ 204).

τὸ δ' ἄλλοc οὐδενὶ τῶν λόγων ὑποπίπτει. — ἡ αὐτόc πάcῃ ἀντωνυμίᾳ ἐπιτάccεται, ἐγὼ αὐτόc, ἐκεῖνοc αὐτόc· οὐκέτι δὲ ἄλλοc 42 A αὐτόc. — αἱ cύνθετοι τῶν ἀντωνυμιῶν οὐ μεταβατικαί, ἐμαυτόν καὶ ἐμαυτῷ· τὸ δ' ἐπ' ἀλλήλουc ἐν μεταβάcει προcώπων. — μετὰ προθέcεωc οὐ cυντίθενται ἀντωνυμίαι· διάλληλοc δέ φαμεν. — αἱ γενικαὶ πληθυντικαὶ τῶν ἀντωνυμιῶν cυντάccονται μετὰ τοῦ οὐδείc χωρὶc ἄρθρου, τὰ δὲ ὀνόματα μετὰ ἄρθρου· οὐδεὶc τῶν ἄλλων παρεγένετο. — Παραιτητέον τὴν λοιπὴν ἐπιχείρηcιν ὑπὲρ τοῦ τὸν ⟨λόγον⟩ μὴ ἐπὶ πλέον προάγειν, τῶν cυνεκτικωτάτων κατειλημμένων. B

«Εἰ τὰ ἐν πρώτῳ προcώπῳ νοούμενα ἢ ἀντωνυμίαι εἰcὶν ἢ ῥήματα, cαφὲc ὅτι τὸ ὤμοι, πρώτου ὑπάρχον προcώπου, ἀντωνυμία ἂν γένοιτο καὶ οὐ ῥῆμα. καὶ ἐκ τῆc λέξεωc δὲ προφανὲc ὡc ἔcτι δοτικῆc.» — Ἀλλ' αἱ τοῦ πρώτου προcώπου καὶ δεύτερον καὶ τρίτον ἔχουcι, τὸ δὲ ὤμοι οὐκέτι. — αἱ ἀντωνυμίαι τὴν περιcπωμένην ὑπερκειμένην φυλάccουcι, πῶc μοι, καλῶc μοι· τὸ δὲ ὤμοι οὐκέτι τοῦ ὦ τὸν περι- C cπαcμὸν ἐφύλαξεν. — ἀπ' ἀντωνυμιῶν ῥήματα οὐ παράγεται· πῶc οὖν τὸ οἰμώζειν; δῆλον οὖν ὡc ἐπίρρημα· καὶ γὰρ παρὰ τὸ αἰαί αἰάζειν, λίαν λιάζειν.

Ἴcωc δόξει μάχεcθαι τὸ μὴ ἐπὶ πᾶν πρόcωπον cυντείνειν, καθάπερ τὰ ἄλλα ἐπιρρήματα, καλῶc γράφειc καὶ γράφει, Ἑλληνιcτὶ λέγειc καὶ λέγει. Ἀλλὰ τὰ cχετλιαcτικὰ τῶν ἐπιρρημάτων, ἐξ αὐτοπα-

---

Argum. 19 Ὤμοι pronominibus tribuunt, quod et primae sit personae nec verbum putari possit. At falluntur. Nam deficiunt reliquae personae. — Oportebat ὦμοι esse. — Ab eo derivatur verbum. — Est igitur adverbium. — 28 Cur uni primae addatur, haec est causa, quod adverbia, quae lamentandi causa proferuntur, suapte natura ab eo uno, qui loquitur, emittuntur.

Discr. script. 10. δ A, δὲ b | 10—11. αντωνυμια A¹, ι adiecit A* | 11. ἐπιτάccεται b, υποταccεται A | 13. επ αλληλουc A, ἀλλήλουc b | 17. ὑπὲρ τοῦ τὸν λόγον b, υπερ τουτον A | 18. inscriptio περι του ωιμοι maiusc. A | 20. ὤμοι b, ωιμοι A, ὤμοι ⟨ἢ οἴμοι⟩ scribendum esse suspicatur RSchneider | 21. λέξεωc Ab, λήξεωc JGuttentag | ω^c εcτιν A | 22. εχουcιν A | 23. ωιμοι A | 23—24. φυλαccουcιν A | 26. οἰμώζειν b, οιμωζει A | 28. δοξει A, δόξει τιcὶ b

43 A θείας ἐκπεμπόμενα, αὐτὸ μόνον τοῦ ὑποκρινομένου προσώπου τὸ λυπηρὸν παρίστησι, τὴν δ' ἐπὶ τὰ ἄλλα πρόσωπα μετάβασιν ἀπήρνηται. τοῦτο γὰρ ἦν καὶ τὸ δόξαν πρώτου προσώπου ἔμφασιν δηλοῦν. εὐήθεις οὖν οἱ σολοικισμὸν φάσκοντες ἐν τῷ

ὤμοι ἐγὼ δειλός (ε 299).

Συμβέβηκε τῶν ἀντωνυμιῶν ἃς μὲν ὀρθοτονεῖσθαι, τουτέστι τὸν κατὰ φύσιν τόνον ἔχειν, ἃς δὲ ἐγκλίνεσθαι, ὧν τὸ τέλος, λέγω δὴ τῶν
B ἐγκλινομένων, ἢ φύσει ὀξύνεται ἢ δυνάμει, ὡς τὰ περισπώμενα. ἐν αὐτοῖς γὰρ ἔχει ὀξεῖαν. ἥτις μεθίσταται κατὰ τὴν ἄρχουσαν συλλαβήν, ὡς ἐπὶ τῶν τετραχρόνων, ἥρπασέ τις ἥμων, ἢ κατὰ τὸ τέλος τῆς ὑπερκειμένης λέξεως, ὡς ἐπὶ τῶν ἐλάττονας χρόνους ἀναδεξαμένων, τοῦ τονικοῦ οὐκ ἐμποδίζοντος, ἀνθρώποις μοι,

τίς τάρ σφωε (Α 8).

Πρὸ τῆς οὖν κατὰ μέρος αὐτῶν ἐξετάσεως διαληπτέον καθολικώ-
C τερον περὶ τῆς διαφορᾶς τῶν ὀρθοτονουμένων πρὸς τὰς ἐγκλιτικάς, περί τε τῶν μόνως ὀρθοτονουμένων, καὶ διὰ τί, καὶ τῶν μόνως ἐγκλινομένων, τῶν τε εἰς ἄμφω τοὺς τόνους παραλαμβανομένων, καθ' οὓς τρόπους ὀρθοτονηθήσονται.

Αἱ μὲν οὖν ὀρθοτονούμεναι καὶ προτάσσονται καὶ ὑποτάσσονται, ἐμοὶ ἔδωκεν, ἔδωκεν ἐμοί· αἱ δὲ ἐγκλινόμεναι μόνως εἰσὶν ὑπο-
44 A τακτικαί. διαφέρει δὲ ὑποτακτικὸν ὑποτασσομένου, ᾗ τὸ μὲν πάντοτε ἐν ὑποταγῇ, τόν τε ἴδιον τόνον οὐκ ἔχει, τὸ δὲ ὑποτασσόμενον καὶ προτάσσεται, καὶ τὸν τόνον τὸν ἑαυτοῦ ἔχει (ἐμοὶ γὰρ ἔδωκας, ἔδωκας ἐμοί, λέγω δὲ δισυλλάβως· τὸ δ' ἔδωκέ μοι καὶ βαρύτονον καὶ μονοσύλλαβον καὶ οὐδέποτε πάντως προτακτικόν)· ὃν τρόπον καὶ ἐγ-

Argvm. 6 De accentu pronominum. Exponenda sunt haec: 1) Quid intersit inter orthotonumena et enclitica. 2) Quae sint usque orthotonumena, et qua de causa. 3) Quae semper inclinentur. 4) Ubi rectum tenorem servent ea quae utrumque accentum assumunt. — 20 Orthotonumena et praeponuntur et postponuntur; inclinata tantummodo postpositiva sunt. Differt autem postpositivum a postposito ea re, quod postpositivum semper subsequitur, postpositum est ubi praeponatur suumque habeat accentum. Eodem modo encliticum differt ab inclinato.

Discr. script. 1. ὑποκρινομένου b, αποκρινομενου A | 2. παριστησιν A | 3. τοῦτο γὰρ ἦν] fol. 157 v. | vocis δηλουν litterae ουν cerni non possunt, quod charta membranae illita est; b in var. lect. non recte enotavit δ . . . . | 5. ὦμοι A | inscriptio A maiusc. των εις το δ̄ το ᾱ αρχη του β̄ | 6. συμβεβηκεν A | τουτεστιν A 11. ἥμων b, ημων ως επι των A | 13. τοῦ τονικοῦ A b in textu, 'Fortasse, τοῦ τυπικοῦ' b in var. lect. | 17. καὶ τῶν b, και δια των A | 21. ἐγκλιτικαὶ KEASchmidt pro ἐγκλινόμεναι | εισι A | 24. ἐμοὶ γὰρ ἔδωκας, ἔδωκας ἐμοί] 'Aptius videbitur ἐμοὶ γὰρ ἔδωκεν, ἔδωκ' ἐμοί' b in var. lect. | 25. εδωκεν A | υ vocis βαρυτονον in ras. A^x | 26. ὃν b, ω A

κλινόμενον ἐγκλιτικοῦ. τὸ μὲν γὰρ ἐγκλινόμενον αὐτὸ μόνον κοιμίζει τὴν ὀξεῖαν,

αὐτὰρ ἐγὼ καὶ Τυδείδης (δ 280)·

τὸ δ' ἐγκλιτικὸν μετὰ τοῦ τὸν τόνον ἀποςβεννύειν καὶ τὴν ⟨πρὸ⟩
ἑαυτοῦ βαρεῖαν ὀξύνει, Ἀπολλώνιός μοι, ἐτίμηςάς με. — Ἀπό- B
λυτοι αἱ ἐγκλινόμεναι, αἱ δὲ πρός τι ἐν ὀρθοτονήςει λέγονται, δός ἐμοί, οὐκ ἀναςτρέφοντος τοῦ λόγου· οὐ γὰρ εἴ τι ὀρθοτονεῖται, τοῦτο καὶ πρός τι. τὸ

ὃς cφῶι προΐει (Α 336)

κατ' ὀρθὸν τόνον, καὶ τὸ νοούμενον ἀπόλυτον· ἴcον γάρ ἐcτι τῷ ὃς ὕμας. — Καὶ ἔτι αἱ μὲν ὀρθοτονούμεναι ἀντωνυμίαι καὶ ἀντὶ cυνθέτων·
τὸ γὰρ C

ἐμὲ λύcομαι (Κ 378)

ἀντὶ τοῦ ἐμαυτόν καὶ ⟨τὸ⟩

ἢ ὀλίγον οἷ παῖδα (Ε 800)

ἀντὶ τοῦ ἑαυτῷ· αἱ δὲ ἐγκλινόμεναι οὐδέποτε. — Καὶ αἱ μὲν cυντίθενταί ποτε, ἐμὲ αὐτόν — ἐμαυτόν,

νόcτον ἑταίροιcι διζήμενος ἠδ' ἐμοὶ αὐτῷ (ψ 253)

ἀντὶ τοῦ ἐμαυτῷ. μέγιcτον δὲ τεκμήριον τοῦ τὰς ὀρθοτονουμένας cυν- 45 A
τίθεcθαι ἡ διὰ τοῦ ε̅ γραφή· αἱ γὰρ ἐγκλινόμεναι κατὰ τὸ πρῶτον πρόcωπον ἑνικαὶ τὸ ε̅ ἀποβάλλουcιν. ἄλλως τε ἀδύνατόν ἐcτι μόριον ἐγκλιτικὸν cυντίθεcθαι. κατὰ τοῦτο οὖν ἐκωλύετο τὸ μοί, ἐγκλιτικὸν ὄν, cυντίθεcθαι· πρόδηλόν τε ἐντεῦθεν, ὡς τὸ ἑαυτῷ οὐκ ἀπὸ τῆς ἐγκλιτικῆς τὴν cύνθεcιν ἔcχεν, ἀλλ' ἀπὸ τῆς ὀρθοτονουμένης. (οὐκ ἐπεὶ δὲ παρὰ Ἀττικοῖς cυνθέcεως ἔτυχε τὸ πώποτε, εὐθέως καὶ ὁ λόγος
ψευδής· οὐ γὰρ τὸ ἐν παραλόγῳ cυνθέcει κανὼν τῶν πάντων γενή- B
cεται.) — Ἀλλὰ μὴν καὶ αἱ κτητικαὶ τὴν ἀπὸ τῶν ὀρθοτονουμένων παραγωγὴν εἰλήφαcι, καὶ πάλιν ἡ διὰ τοῦ ε̅ γραφὴ πιcτοῦται τὸν λόγον· ἀπὸ γὰρ τῆς ἐμοῦ τὸ ἐμός, οὐκέτι δὲ ἀπὸ τῆς μοῦ. ἄλλως τε οὐ ῥηταὶ κατ' ἰδίαν αἱ ἐγκλιτικαί· πῶς οὖν ἀπ' αὐτῶν παραγωγαί;

Argum. 5 Inclinata sunt absoluta, discretiva sunt orthotonumena, sed non omnia, quae sunt orthotonumena, discretiva sunt. — 11 Orthotonumena in compositorum (reflexivorum) locum substituuntur, inclinata nunquam. — 16 Ex orthotonumenis composita fiunt, non ex inclinatis. — 21 Omnino enclitica (praeter πώ et ποτέ in πώποτε) non componuntur. — 27 Etiam possessiva ab orthotonumenis derivantur.

Discr. script. 4—5. πρὸ ἑαυτοῦ b, εαυτου A | 6. ἐγκλιτικαὶ pro ἐγκλινόμεναι KEASchmidt | 9. ὃς Ab, ὃ Homerus | 10. τῷ b, το A | 14. καὶ τὸ b, και A | 16. ἐγκλιτικαὶ pro ἐγκλινόμεναι KEASchmidt | οὐδέποτε] fol. 158 r. | 20. ἐγκλιτικαὶ pro ἐγκλινόμεναι KEASchmidt | 21. εςτιν A | 22. μοί b, μου A | 23. ἑαυτῷ] 'Malim ἑαυτόν' b in var. lect. | 24. ἀλλ' b, αλλα A | 25. ετυχεν A | 28. ειληφαςιν A

Ὀρθοτονοῦνται μόνως αἱ τῆς εὐθείας. καὶ τούτου αἴτιον τὸ ἐν
τοῖς ῥήμασιν ἀναπληροῦσθαι τὸ τῶν ἐγκλινομένων εὔχρηστον, ὅ ἐστιν
C ἑνὸς μόνου προσώπου παραστατικόν, ὑπὲρ οὗ ἐντελέστερον εἴρηται ἐν
τοῖς προδιειλεγμένοις. Ἀλλὰ μὴν καὶ αἱ γένους παραστατικαὶ κατὰ πᾶ-
σαν πτῶσιν, ὑποστελλομένης τῆς αὐτός κατ᾽ αἰτιατικήν, ὑπὲρ ἧς εἰρή-
σεται κατὰ τὴν οἰκείαν τάξιν. Αἱ μέντοι ὑπολειπόμεναι, καθὸ δεικτικαί,
μόνως καὶ ὀρθοτονοῦνται, εἴγε καὶ ἡ δεῖξις ἐν διαστολῇ προσώπων
γιγνομένη οὔ ποτε ἀνίησι τὸν τόνον, μᾶλλον δὲ ῥώννυσιν. αἱ γοῦν
46 A διὰ τοῦ ῑ ἐπεκτεινόμεναι καὶ ἔτι τὴν δεῖξιν ἐπιτείνουσαι καὶ τὸ τέλος
ὀξύνουσιν, ἐκεινοσί, οὑτοσί. καὶ δῆλόν ἐστιν, ὡς ἕνεκα τῆς δεικτι-
κῆς ἐκφορᾶς ἡ τοιαύτη ἐπέκτασις, τῷ μὴ τὴν αὐτός ἐπεκτείνεσθαι,
καθὸ οὐδὲ ὅλως δεικτική.

Τούτῳ γὰρ τῷ λόγῳ καὶ αἱ μετὰ τῆς ἐπιταγματικῆς μόνως ὀρθο-
τονοῦνται· πάλιν γὰρ πλείων ἡ διαστολὴ τοῦ προσώπου· ἐμοῦ γὰρ
αὐτοῦ ὁρῶντος, ἐμὲ αὐτὸν ἔτυψε. Παραπεμπτέον γὰρ τοὺς ὑπο-
B λαμβάνοντας ἕνεκα γένους παρειλῆφθαι τὴν αὐτός, ἐπεὶ ἀδιάστολοί εἰσιν
αἱ πρωτότυποι γένους. πρῶτον γὰρ οὐ προσδέονται γένους, τῆς ἐν
αὐταῖς δείξεως συνεξηγουμένης τὸ γένος· ἔπειτα τί φήσουσιν ἐπὶ τοῦ
οὗτος αὐτός καὶ ἐκεῖνος αὐτός; οὐ γὰρ καὶ ἐνταυθοῖ ἀδιάστολον τὸ
γένος. — «Ἀλλ᾽ ἴσως ταῖς κατὰ τὸ τρίτον ἀδιαστόλοις γένους οὔσαις,
εὐλόγως συνταχθήσεται ἕνεκα γένους· οὐδὲ γὰρ ἔστι καὶ ἐπὶ τούτων
⟨λέγειν⟩, ὡς ἡ δεῖξις τὸ γένος ἐξηγεῖται· ἄπεστι γάρ.» Ἀλλ᾽ οὐδ᾽ ἐπὶ
C τούτων ἕνεκα γένους ἡ παράθεσις. ἀναφερόμεναι γὰρ ἐπί τι πρόσωπον
προεγνωσμένον αἱ κατὰ τὸ τρίτον παραλαμβάνονται· ἐν ᾧ δὲ ἔγνωσται,
ἐν τούτῳ οὐκ ἄδηλον τὸ γένος. οὐκ ἄρα οὐδὲ ταῖς κατὰ τὸ τρίτον
ἕνεκα γένους παρατίθεται. — Οὐκ ἀγνοῶν δὲ τὰς ἐγκλινομένας κατὰ
τὸ τρίτον μετὰ τῆς αὐτός ταῦτά φημι· ἐγκέκλιται γοῦν τὸ

ἀλλά οἱ αὐτῷ (δ 667)

47 A καὶ

Εὐρύαλος δέ ἑ αὐτόν (θ 396)·

Argvm. 1 Rectum tonum habent nominativi pronominum, et quaecunque pronomina per omnes casus terminatione genus exhibent, excepto αὐτός vocis accusativo. — 13 Recto tenore proferuntur, quae cum αὐτός appositivo coniunguntur. Id apponitur discernendae personae causa, non ut genus patefiat. Αὐτός ubi ad enclitica accedit, redundat.

Discr. script. 3. παραστατικόν RSkrzeczka, παραγωγο Ab in textu, 'Sensus postulat παράστασις vel aliquid simile' b in var. lect. | 6. ὑπολειπόμεναι b, υπολιπομεναι A | 7. καὶ ἡ] κ littera vocis και ex op facta | δεῖξις b, ενδειξις A | 8. γιγνομενη A, γινομένη b | 10—11. δεικτικῆς /// A, puncta ab A¹ | 11. τῷ μὴ b, το μη A | ἐπεκτείνεσθαι b, εκτεινεσθαι A | 14. πλείων b, πλειον A | 15. ετυψεν A | 18. αὐταῖς Ab in ind. mendorum, αὐτῆς b in textu | 21. συνταχθήσεται RSchneider, συνταχθήσονται Ab | εστιν A | 22. λέγειν b, om. A | 22. ὡς ἡ δεῖξις] fol. 158 v. | 27. τρίτον b, τριτον ταυτα A, sed ταυτα delet A¹

φήσει γάρ τις· «εἰ ταῖς ὀρθοτονουμέναις συντάσσεται ἕνεκα διαστολῆς, πῶς οὐκ ὀρθοτονουμέναις συντέτακται; λείπεται οὖν ὡς διὰ τὸ γένος.» Ἀλλὰ δειχθήσεται ὡς πολλάκις ὑπὸ ποιητικῆς ἀδείας παρέλκεται ἡ αὐτός,

κὰδ δέ μιν αὐτόν (Φ 318),

ἠέ μιν αὐτόν (Ω 472),

καθὸ καὶ ἐπ' ἄλλων λέξεων αἱ παρολκαί. ἔπειτα εἰρήσεται, ὡς καὶ τὰ B τῆς ἀναγνώσεως παράλογα, ὅταν ἐφιστάνωμεν ὑπὲρ τῶν κατὰ τὸ τρίτον, εἰ ὀρθοτονηθεῖσαι πάντως ἀντανακλασθήσονται.

Αἱ δυϊκαὶ τοῦ πρώτου καὶ δευτέρου πάσης πτώσεως ὀρθοτονοῦνται. Ὑπὲρ μὲν οὖν τῆς εὐθείας οὐ χρὴ παλιλλογεῖν, ὑπὲρ δὲ τῶν λειπομένων ἐκεῖνο ἂν αἴτιον εἴη, τὸ πᾶν μόριον ἐγκλιτικὸν ἤτοι ἀπὸ περισπωμένου ἢ ἀπὸ ὀξυτόνου ἐγκεκλίσθαι· ἀπὸ γὰρ βαρυτόνου ἀδύνατον· πῶς, ἦλθέ πως, Ἀρίσταρχός ποτε, ἄνθρωποί εἰσι· καὶ ἐπὶ C τῶν ὑπολειπομένων τὸ αὐτό. εὐλόγως οὖν διὰ τὴν ἐπὶ τέλους βαρύτητα ἡ ἔγκλισις οὐκ ἦν. καὶ γὰρ κατὰ τοῦτον τὸν λόγον ἡ ἐκεῖνος καὶ οὗτος πάλιν μόνως ὀρθοτονοῦνται, τῆς αὐτός ἀκωλύτως καὶ εἰς ἔγκλισιν ἐμπιπτούσης. — Οὐ μάχονται αἱ Ἰακῶς διῃρημέναι, λέγω δὲ τὴν ἐμέο καὶ ἡμέων καὶ τὰς συζύγους· οὐ γὰρ φύσει βαρυτονοῦνται, 48 A ἀπὸ δὲ περισπωμένων καὶ ἐντελεστέρων διῃρημέναι εἰσίν.

Αἱ τῷ ῑ πλεονάζουσαι μόνως ὀρθοτονοῦνται, ἐμεῖο, σεῖο, εἷο· ἀπὸ γὰρ ὀρθοτονουμένων τὸν πλεονασμὸν ἀνεδέξαντο τοῦ ῑ. ὅτι δὲ τὸ λεγόμενον ἀληθές, ⟨σαφὲς⟩ ἐντεῦθεν. πᾶν τὸ ἐν πλεονάσματι ἢ ἐλλείψει πολὺ πρότερον ἐν ὁλοκλήρῳ καθειστήκει· πόθεν γὰρ ἡ διάγνωσις τοῦ πάθους ἐμφανής, εἰ μὴ καὶ τὸ τοῦ ὁλοκλήρου σχῆμα ἐν τελειώσει ἐγιγνώσκετο; εἰ οὖν ἐντελεῖς αἱ ὀρθοτονούμεναι τῶν ἀντω- B νυμιῶν, καὶ ὁ ἀπὸ τούτων πλεονασμὸς οὐκέτι ἐπ' ἄλλων ἢ ἐπὶ τῶν ὀρθοτονουμένων.

⟨Ὁμοίως καὶ αἱ τῷ ε̄ πλεονάσασαι μόνως ὀρθοτονοῦνται, οὐκ ἄλλῃ αἰτίᾳ ἢ τῇ προειρημένῃ.⟩

Ὁμοίως καὶ αἱ σύνθετοι· καὶ γὰρ αὗται ἀντιδιασταλτικαί. τὸ γὰρ παρὰ τῇ οἰκίᾳ μου ἕστηκα ἐγκλινόμενον διαφέρει τοῦ παρὰ τῇ

Argum. 9 Recti tenoris sunt duales primae et secundae personae per omnes casus. Et nominativos quidem recto semper tenore proferri supra dictum est. Ceteri casus ideo non inclinantur, quod enclitica aut perispomena aut oxytona sunt: illi barytonos proferuntur. — 20 Rectum tenorem servant, quibus ῑ littera subfixa est. Nec mirum, nam etiam ea, ex quibus facta sunt, rectum tonum servant. 28 Eadem de causa quae ε̄ (in initio) abundantem habent (ἑοῦ ἑοῖ ἑέ), accentum deponere nequeunt.

Discr. script. 5. ἠέ A b, ἐν δέ Homerus | 8. ἀντανακλασθήσονται b, ανακλασθησονται A | 18. ἐμέο b, εμε A | 21. δὲ b, γαρ A | 22. σαφὲς b, om. A | 23. ὁλοκλήρῳ b, οκληρω A | καθειστήκει b, καθιστηκει A | 25. εγιγνωσκετο A, ἐγινώσκετο b | 28. Verba Ὁμοίως — 29. προειρημένῃ huc transposuit RSkrzeczka; post ὀρθοτονοῦνται p. 39, 4 leguntur in A b | 28. τῷ ε̄ b, το ε A | 29. προειρημενη A, εἰρημένῃ b | 31. μενον διαφέρει] fol. 159 r. | sub εγκλινο in extremo fol 158 v. aliquid erasum

ἐμαυτοῦ οἰκίᾳ, ἧ τὸ μὲν διαςτέλλει τὸ οὐ τῇ τούτου, τὸ δὲ ἀπόλυτον. καὶ καθὸ ἀδύνατον ἐγκλιτικὸν ςυντεθῆναι, διὸ καὶ παρὰ Ἀττικοῖς τὸ πώποτε ἐςημειοῦτο. ὑγιῶς οὖν καὶ ἀπ᾽ ὀρθοτονουμένων ἡ
C ςύνθεςις καὶ μόνως ὀρθοτονοῦνται.

[Ὁμοίως καὶ αἱ τῷ ε̄ πλεονάςαςαι μόνως ὀρθοτονοῦνται, οὐκ ἄλλῃ αἰτίᾳ ἢ τῇ προειρημένῃ.]

[Αἱ δυϊκαὶ πρώτου καὶ δευτέρου προςώπου ὀρθῆς πτώςεως οὐκ ἐγκλίνονται, φωνῇ τε καὶ δηλουμένῳ. δηλουμένῳ μέν, ὅτι οὐδεμία εὐθείας ἀντωνυμία ἐγκλίνεται· φωνῇ δέ, ὅτι πᾶςα ἀντωνυμία ἐγκλινο-
49 A μένη ὀξύτονός ἐςτιν ἢ περιςπωμένη. Cυνεμπεπτώκει δὲ τῇ ὀρθῇ ἡ αἰτιατική. Γενικὴ δὲ καὶ δοτικὴ οὐκ ἐγκλίνονται φωνῆς ἕνεκεν.]

Μόνως ἐγκλίνονται αἱ τοῦ τρίτου δυϊκαί, καὶ ἡ μίν, αἵ τε μονοςύλλαβοι ςφίν καὶ ςφέ, ἥ τε διὰ τοῦ τ̄ τοί.

Αἱ ὑπολειπόμεναι καὶ ὀρθοτονοῦνται καὶ ἐγκλίνονται. Αἱ μὲν οὖν ὀρθὸν τόνον εἰληχυῖαι τὸ πλέον ἕνεκα ςημαινομένου ὀρθοτονοῦνται, ἔςθ᾽ ὅτε δὲ ἡ ςύνταξις ἢ τόπος ἢ ποιητικὴ ἄδεια ὀρθοτονοῦςι τὰς ἀν-
B τωνυμίας· καὶ ἐπὶ μὲν ςυντάξεως

ἦ νύ cέ που δέος ἴςχει (Ε 812)·

τὸ γὰρ ποῦ ἐγκλιτικὸν αἴτιον τοῦ τὴν cέ ὀξύνεςθαι. ἐπὶ δὲ τόπου

ἐμὲ δ᾽ ἔγνω καὶ προςέειπεν (λ 91)·

ἀπολύτου γὰρ οὔςης τῆς ςημαςίας, καθὸ καὶ

ἔγνω δὲ ψυχή με ποδώκεος Αἰακίδαο (λ 471),

ὅμως διὰ τὸ ἄρχον ἡ ἀντωνυμία ὠρθοτονήθη, εἴγε ἀδύνατόν ἐςτιν ἐγ-
C κλινόμενόν τι ἀρκτικὸν θέςθαι· πῶς γὰρ ἔτι ἐγκλινόμενον τὸ μὴ δυνάμενον τὸν ἴδιον τόνον ἐπί τι προκείμενον μεταθέςθαι; ἀλλὰ μὴν καὶ τὸ

οὐκ ἐάςουςιν ἐμοὶ δόμεναι (φ 233)

ARGVM. 1 Composita (reflexiva) vel ideo recto tenore utuntur, quod discretiva sunt. — 12 Semper inclinantur duales tertiae personae; et ςφίν ςφέ μίν τοί. — 14 Ceterae modo inclinantur, modo rectum tonum servant. Rectum habent aut quod encliticum suum in ea reicit accentum; aut quod primo enuntiati loco ponuntur; aut poëtarum licentia; aut quod discretiva sunt.

DISCR. SCRIPT. 4. ὀρθοτονοῦνται] 'Addendum putem αἱ ςύνθετοι' b in var. lect. | 5—6. Vid. 38, 28 | 7. Αἱ δυϊκαὶ — 11 ἕνεκεν delet RSkrzeczka | 8. οὐδεμία b, ουδεμιας A | 9. ἀντωνυμία b, αντωνυμιαι A, in quo αν ex ειν factum est | 10. ςυνεμπεπτώκει b, ςυνεμπεπτωκεν A | 11. αιτιατικηι A | 13. ἡ b, αι A | ε vocis τε in A correctum, sed quid antea fuerit non cernitur, b in var. lect. non recte dicit esse ται | 16. θοτονουςιν litterae vocis ορθοτονουςιν in ras. A[1] | 23. α in initio vocis αντωνυμια corr. A[1] | 24. ο vocis αρκτικον A[x], quid ante scriptum fuerit non liquet | θεςθαι A, τίθεςθαι b

ὁμολογεῖ τὸν ὀρθὸν τόνον διὰ τῆς τοῦ ε̄ γραφῆς, καὶ φαίνεται ὅτι διὰ ποιητικὴν ἄδειαν, τοῦ cημαινομένου οὐκ ἐπείγοντος. — Αἱ μέντοι ὑπολειπόμεναι τῶν ὀρθοτονουμένων ἔχουcι πρὸς τὸ cημαινόμενον τὸ αἴτιον. Καὶ γενικὸν μὲν τὸ πρός τι λαμβάνεcθαι, ἰδικὸν δὲ ⟨τὸ⟩ ἀντι- 50 A
διαcταλτικῶς,

coὶ μὲν ἐγώ, cὺ δ' ἐμοί (Δ 63)·
cεῦ δ' ἐπεὶ ἐξέλετο ψυχὴν (Ω 754)·

πρὸς τὸ

ἄλλους μὲν γὰρ παῖδας (Ω 751).

ὅ τε προκατάρξας χάριτος καὶ παρὰ τὸ δέον παθὼν ὀρθῇ τάcει προcχρῆται, ἐμὲ ἐτόλμηcας λοιδορῆcαι, ἐμφαίνων ὡς ἄλλον ἐχρῆν ἤπερ αὐτόν. ὅ τε ἀμοιβὴν ὕβρεως αἰτῶν ὀρθῇ τάcει πολλάκις χρῆται, δεῖ ἐμοῦ ὁρῶντος αὐτὸν αἰκίζεcθαι, καὶ τοῦτο δὲ πάλιν ἐμφαίνει, B
ὡς οὐκ ἄλλου μᾶλλον ἢ ἐμοῦ.

Ἀλλὰ μὴν καὶ αἱ cυμπλεκόμεναι, καὶ ἐμοῦ, καὶ ἐμέ. πιcτούcθω δὲ ὁ λόγος οὕτως. εἰ ἐκτὸς τῆς cυμπλοκῆς ἡ ἀντωνυμία γένοιτο, πάντως τότε καὶ ἀπόλυτος γενήcεται, δός μοι καὶ Ἀπολλωνίῳ· εἰ δὲ ἀντιcτραφήcεται, πάντως καὶ ὀρθοτονηθήcεται, δὸς Ἀπολλωνίῳ καὶ ἐμοί. ὅθεν τὸ

καί μοι τοῦτ' ἀγόρευcον (δ 645) C

ἐγκλίνεται οὐ cυμπλακέν, τοῦ ἑξῆς ὄντος καὶ τοῦτό μοι ἀγόρευcον. καὶ ἔτι

καί με φίληcεν (Ι 481)

καὶ ἐφίληcέ με. καὶ τὰ τούτοις ὅμοια. ὡς γὰρ αἱ ἀντωνυμίαι οὐ cυμπλεκόμεναί εἰcιν, εἰρήcεται μικρὸν ὕcτερον.

Ὁμοίως καὶ αἱ διεζευγμέναι, ἢ ἐμοὶ ἢ τῷδε, ἢ ἐμὲ ἢ τόνδε. Καὶ διὰ τοῦτό φαcι τὸ

ἤ μ' ἀνάειρ' ἢ ἐγὼ cέ (Ψ 724) 51 A

ἐγκλιθὲν παράλογον· οὐδὲν γὰρ ἐκώλυεν ὀρθοτονεῖν, τοῦ κατ' ἀρχὴν ε̄ cυναληλιμμένου ὡς ἐπὶ τοῦ τὴμῇ, τὠμῷ. καὶ φαίνεται ὡς μονο-

Argvm. 15 Recto tenore proferuntur quae per copulativam coniunctionem (τε vel καί) adnectuntur, — 26 et quae per disiunctivam (ἤ).

Discr. script. 1. ομολογει iteratum in A | litterae εται vocis φαινεται in ras. A[1] | 3. εχουcιν A | 4. με vocis μεν in ras. A[1] | ο in προc corr. ab A[x], quid antea fuerit non cernitur | ιδικον A, εἰδικὸν b | δὲ τὸ b, δε A | 4—5. αντιδιαcταλτικῶc A, puncta ab A[1] | 6. δ'ἐμοί b, δε εμοι A | 9. γαρ παιδαc in ras. A[1] | 10. παθὼν iteratum in A | 11. λοιδωρηcαι A | ωc αλλον in ras. A[1] | 12. supra αμοιβην aliquid erasum in A; atramentum, quo et haec vox et aliae quaedam extremorum trium versuum fol. 159 r. exaratae sunt, magis nigricat quam id, quo cetera scripta sunt | 13. ὁρῶντος αὐτόν] fol. 159 v. | τουτο A, τούτῳ b | εμφαινει A, ἐμφαίνων b | 21. ὄντος b, οντος το A, sed το delet A[1] | 23. με φίληcεν b, μ' εφιληcεν A, με φίληc' Homerus | 24. εφιληcεν με A | 27. φαcιν A | 28. ἤ μ' b, ει μ' A | 30. cυναληλειμμενου A | τὴμῇ b, τημεν A

cυλλαβήcαcα ἡ μέ δελεαcμὸν ἐποίει τῆc ἐγκλιτικῆc ἀναγνώcεωc. Ἴcωc δὲ πρὸc ταῦτα φήcει τιc, ὡc ἡ ἀνάγνωcιc καλῶc ἔχει, οὐ διαζευχθείcηc τῆc ἀντωνυμίαc, ἐν ὑπερβατῷ δὲ κειμένηc, ὥcτε τὸ ἑξῆc εἶναι· ἢ ἀνάειρόν με, καθάπερ καὶ ἐπὶ τῶν cυμπλεκομένων τὸ

B καί μοι τοῦτ' ἀγόρευcον (δ 645)

ἐνεκλίναμεν, τοῦ ἐντελοῦc ὄντοc καὶ τοῦτό μοι ἀγόρευcον.

Λείπεται πρότερον διεcκέφθαι, πῶc αἱ ἀντωνυμίαι ἢ cυμπεπλεγμέναι ἢ διεζευγμέναι εἰcίν· οὐ γὰρ ψιλῇ παρατηρήcει τὰ τοιαῦτα ⟨δεῖ⟩ διακρούεcθαι. — τὰ δὴ cυμπεπλεγμένα ἢ διεζευγμένα κατὰ τὴν ἐπιφορὰν πάντωc τὸ αὐτὸ μέροc λόγου ἀπαιτεῖ ἢ ἰcοδυναμοῦν τῷ cυμπεπλεγμένῳ ἢ διεζευγμένῳ, τοῦ cυντεταγμένου μέρουc λόγου κατὰ τὸ ἑξῆc πολλάκιc κοινοῦ καθεcτῶτοc τῷ cυμπεπλεγμένῳ ἢ διεζευγμένῳ, οἷον τὸ καὶ
C Ἀπολλώνιοc διελέξατο, ἤτοι Ἀπολλώνιοc διελέξατο, ἀπαιτεῖ τὸ καὶ Διονύcιοc ἤ τι τοιοῦτον ὄνομα ἢ ἀντωνυμικόν, ὅπερ ἦν ἰcοδυναμοῦν ὀνόματι, κοινῷ τε τῷ διελέξατο πολλάκιc προcχρῆται. εἰ δὲ ῥῆμα ἦν, πάλιν ἡ ἐπιπλοκὴ ἢ ἡ διάζευξιc ἀπαιτεῖ ῥῆμα, καὶ ἔγραψε Διονύcιοc, ἤτοι ἔγραψε Διονύcιοc· δεῖ γὰρ ῥῆμα ἐπενεγκεῖν πάλιν, ἢ διελέξατο ἤ τι τοιοῦτον, κοινῶc πολλάκιc νοουμένου τοῦ
52 A Διονύcιοc. τῷ οὖν ἠμ' ἀνάειρ', εἴπερ διεζεύχθη τὸ ῥῆμα, κἂν πάντωc ῥῆμα ἐπεφέρετο τὸ ἄπιθι ἢ κάθιcον ἤ τι τοιοῦτον· ἐν ᾧ οὖν τὸ ἢ ἐγὼ cέ ἐπιφέρεται, ἐν τούτῳ δείκνυται, ὡc καὶ ἡ ἀντωνυμία διέζευκται, ἡ μὲν cέ πρὸc τὴν ἐμέ, ἡ δὲ cύ πρὸc τὴν ἐγώ, ἥτιc ἐνέλειψεν, ἐν τῷ ἀνάειρε ῥήματι νοουμένη, τοῦ πλήρουc ὄντοc ἠὲ cὺ ἐμὲ ἀνάειρον. — Ὁμόλογοι δὴ καὶ αἱ τοιαῦται, ὡc τὴν πρόc τι πρόcωπον διαcτολὴν ἀναδεδεγμέναι εἰcίν.

B Ὀρθοτονοῦνται καὶ ὅcαι κατὰ τοῦ αὐτοῦ προcώπου τὴν ἀπὸ τοῦ ῥήματοc διάθεcιν ἀναδέχονται, ὡc ἐπὶ τοῦ

οὐδ' ἐμέ φημι λελαcμένον (Ν 269)

καὶ

ἢ ὀλίγον οἷ παῖδα ἐοικότα (Ε 800)

Argvm. 7 Quaecunque vocabula copulata vel disiuncta sunt, ad ea adnectatur oportet per coniunctionem eadem orationis pars. Verbum igitur si subnectitur, verbum copulatum vel disiunctum est; sin pronomen vel nomen, coniunctio ad hoc spectat. — 26 Recto tono proferuntur, quae verbi actionem in se recipiunt, ita ut eiusdem sint personae atque subiectum.

Discr. script. 3. ἐν b, και εν A | 4. αναειρον A, ἀνάειρέ b | 8. δεῖ b, om. A | 11. του cυντεταγμενου — 12. διεζευγμενω A, om b | 11. prior ε vocis cυντεταγμενου in ras. A | 12. καθεcτωτοc vocis κ in ras., α correctum in A | 16. πάλιν ἡ b, παλιν ην A | 19. τῷ οὖν RSkrzeczka, τὸ οὖν Ab | ἠμ' scripsit RSchneider, ἤ μ' b, ει μ' A | comma post ἀνάειρ' posuit RSkrzeczka, om. b | κἂν b, και A | 22. ἥτιc ἐνέλειψεν] fol. 160 r. | 23. αναειρον A, ἀνάειρε b | 28. φημι b Homerus, φηcιν A | 30. ἢ ὀλίγον b Homerus, η οι ολιγον A

καὶ

ἐμὲ λύcομαι (Κ 378)·

ἀντὶ γὰρ cυνθέτων τοῦ ἐμαυτόν καὶ ἑαυτῷ. πάλιν δὴ τὸ ἐμὲ λύcομαι πρὸc τὸ οὐκ ἄλλον διαcτέλλεται.

Ὁμοίωc αἱ προθέcειc παρατιθέμεναι ὀρθοτονοῦcι, κατ᾽ ἐμέ, δι᾽ C
ἐμέ, περὶ ἐμοῦ. Διὸ καὶ τοῖc ἀξιοῦcιν ὀρθοτονεῖν τὸ

cὺν καὶ τρίτοc ἁμὶν Ἀμύνταc

παρὰ Θεοκρίτῳ (VII, 2) cυγκαταθετέον. τὰ γὰρ ἐν ὑπερβατῷ κείμενα ὀφείλει τὸν λόγον ἀναδέχεcθαι τῆc κατὰ φύcιν ἀκολουθίαc, εἴγε πάλιν τὸ καί μοι καί με ἐνεκλίναμεν, καθὸ οὐ cυμπέπλεκται.

Ἑξῆc ῥητέον καὶ περὶ τῶν κατὰ τὸ τρίτον πρόcωπον ὀρθοτονουμέ- 53 A
νων, εἰ πάντοτε ἡ μετάληψιc αὐτῶν τὸ cύνθετον cχῆμα ἀπαιτεῖ, καθάπερ ἐπὶ τοῦ

ἢ ὀλίγον οἷ παῖδα (Ε 800)

καὶ

κάλεόν τέ μιν εἰc ἓ ἕκαcτοc (Ψ 203),

τῶν τε παραπληcίων. τὸν γὰρ Ἀρίcταρχον καὶ τοὺc ἀπὸ τῆc cχολῆc, ὡcεὶ νόμον θεμένουc τὸ τοιοῦτον, ⟨ὡc ἀπ⟩ανάγνωcμα δεῖ παραπέμψαcθαι τὸ

οἷ τ᾽αὐτῷ, ἐπεὶ οὔ τι θεῶν ἐκ θέcφατα ᾔδη (Ε 64) B

καθὸ ὀρθοτονούμενον τὴν cύνθετον ἀντωνυμίαν ἀπαιτεῖ, τοῦ λόγου οὐ δυναμένου κατὰ τοῦτο cυνίcταcθαι· καὶ διὰ τοῦτο τοὺc μὲν μεταγράφειν τὸ ἔτευξεν, τοὺc δὲ ὑπερβατὸν ἐκδέχεcθαι, «ὃc καὶ Ἀλεξάνδρῳ τεκτήνατο νῆαc ἐΐcαc, οἷ τ᾽ αὐτῷ, ⟨αἳ⟩ κακὸν καὶ πᾶcι Τρώεccι γένοντο», ἵν᾽ ᾖ «Ἀλεξάνδρῳ καὶ ἑαυτῷ τεκτήνατο.» καὶ caφέc ἐcτιν, ἕνεκα τούτου ὅτι τὸ

ἀλλὰ οἷ αὐτῷ
Ζεὺc ὀλέcειε βίην (δ 668) C

κατ᾽ ἔγκλιcιν ἀνέγνωcτο, καίτοι ὀφεῖλον κατὰ δύο τρόπουc ὀρθοτονεῖcθαι, καθὸ καὶ ἐπιταγματικὴ cύνεcτι, καὶ διαcτέλλεται ἐν τῷ

πρὶν ἡμῖν πῆμα γενέcθαι.

Argum. 5 Item tonum erigunt praepositiones appositae. — 11 Aristarchei praecipiunt, pronomina tertiae personae (οὗ οἷ ἕ) ubi apud Homerum recto tono proferantur, usque compositorum (reflexivorum) vim habere. At compluribus locis simplicium potestatem habent.

Discr. script. 3. ἑαυτῷ b, ^{εμ}αυτω A | 4. ἄλλον b, αλλοc A | 5. ορθοτονουcιν A | 7. cὺν καὶ b Theocritus, και cυν A | ἁμὶν b, ἁμιν KLehrs, ἇμιν HLAhrens | Ἀμύνταc b Theocritus, αμυνδαc A | 10. καί με b, και με παλιν A | 16. κάλεόν τε b Homerus, καλεονται A | 18. τοιοῦτον, ὡc ἀπανάγνωcμα KLehrs, τοιοῦτον ἀνάγνωcμα, Ab | 23. ἔτευξεν KLehrs, ἔτευξαν Ab | ὃc b et A, quem b in var. lect. falso dicit habere ωc | 24. αἳ b, om. A | 25. caφέc ἐcτιν, ἕνεκα τούτου ὅτι RSchneider, caφέc ἐcτιν ἕνεκα τούτου, ὅτι b, caφέc ἐcτιν, ὅτι ἕνεκα τούτου GUhlig

Οἶμαι δὲ ὡς οἱ ταλαιπωρότερον ἀναστρεφόμενοι τὸ ἀκριβὲς τοῦ λόγου οὐ διέγνωσαν. — πρῶτον γάρ, εἰ καὶ ἀληθὲς ἦν τὸ τὰς ὀρθοτονουμένας κατὰ τὸ τρίτον ἀντανακλᾶσθαι, οὐ πάντως τὸ οἷ τ' αὐτῷ παράλογον·
54 A ἐδείχθησαν γὰρ ὡς παρὰ τόπον τεθεῖσαι αἱ ἐγκλιτικαί, τουτέστιν ἀρκτικαὶ γινόμεναι, ὀρθοτονοῦνται, ὡς ἐπὶ τοῦ

ἐμὲ δ' ἔγνω καὶ προσέειπε (λ 91)

καὶ τῶν παραπλησίων. — ἔπειτα καὶ συνεπέπλεκτο ὁμοίως τῷ

ἐμοί τε καὶ Ἥρῃ (Ε 832). —

ἀλλὰ μὴν καὶ ἡ αὐτός ὑποτασσομένη ὀρθοῦ τόνου παραιτία ἐγίγνετο. — καὶ ὁ τέ σύνδεσμος, ἐγκλιτικὸς ὤν, τὴν πρὸ αὐτοῦ λέξιν ὀξύνει,
B ὅτε βαρεῖά ἐστιν ἐξ ὀξείας· περισπωμένην γὰρ οὖσαν φυλάσσει. — τά τε τῆς ἀναγνώσεως οὐκ ἐξωμάλισται· πολλαὶ γὰρ ὀρθοτονηθεῖσαι ἀντανακλασμὸν οὐκ ἐδέξαντο·

ἀλλὰ τόδ' ἠμὲν ἐμοὶ πολὺ κάλλιον ἠδὲ οἷ αὐτῷ
ἔπλετο (Ο 226).

ἀμυνέμεναι δὲ οἷ αὐτῷ (χ 214)·

τὸ γὰρ νοούμενόν ἐστι· «μὴ πεισάτω σε Ὀδυσσεὺς ἡμῖν μὲν μάχεσθαι, αὐτῷ δὲ βοηθεῖν»·

ὅς τις οἷ τ' ἐπέοικε (Ι 392)·

C τουτέστιν αὐτῷ·

τοὺς δ' ἄναγον ζωούς, σφίσιν ἐργάζεσθαι ἀνάγκῃ (ρ 441)·

τουτέστιν «οἱ αἰχμάλωτοι ἤγοντο εἰς ὑπηρεσίαν τῶν ἐπικρατησάντων.» τό τε

τίς κ' οἴοιτο
μοῦνον ἐνὶ πλεόνεσσι, καὶ εἰ μάλα καρτερὸς εἴη,
οἷ τεύξειν θάνατον (χ 12)

55 A πάντως εἰς ἁπλῆν ἀντωνυμίαν μεταληφθήσεται· ὁ γὰρ Ἀντίνους οὐχ ὑπελάμβανεν, ὡς θάνατον αὐτῷ κατασκευάσειεν ⟨ἂν⟩ ἐν πολλοῖς παραγενόμενος, ὁμοίως τῷ

πρόσθεν ἔθεν φεύγοντα (Ε 56 et 80)·

οὐ γὰρ πρὸ ἑαυτοῦ τις φεύγει.

Ῥητέον ὑπέρ τε τῶν κατὰ τὸ τρίτον πρόσωπον εἰς ἁπλοῦν σχῆμα μεταλαμβανομένων καὶ τῶν εἰς σύνθετον, τουτέστιν ἀντανακλωμένων.

Discr script. 1. ὡς οἱ ταλαιπωρότερον b, 'Fortasse, ὡς ἀταλαιπωρότερον' b in var. lect., ως οι ταλαιπορωτερον A | 3. τρίτον ἀντανακλᾶσθαι b, τριτο ανακλασθαι A | 4. εδειχθησαν A, ἐδείχθη b | 7. ὁμοίως τῷ] fol. 160 v. | 9. υποτασσομενη A, ἐπιτασσομένη b' | εγιγνετο A, ἐγένετο b | 11. ἐξ ὀξείας KLehrs, ἡ ὀξεῖα Ab | 17. εστιν A | 19. επεοικεν A | 21. ἄναγον b Homerus, αναγων A | 25. πλεονεσσιν A | 28. κατασκευάσειεν] 'Aut addito ἂν opus est, ni fallor, aut certe futuro κατασκευάσοι' b in var. lect. | 30 πρόσθεν ἔθεν Homerus, προσθεν ενθεν A, πρόσθε ἔθεν b | 33. ἀντανακλωμένων b, αντανακλανομενων A

Cυμβέβηκε τοίνυν τὰc ἀπὸ τῶν εὐθειῶν δράcειc μετιούcαc ἐπὶ τὰc B
πλαγίουc ⟨ἢ⟩ ἐν μεταβάcει προcώπων νοεῖcθαι ἢ κατὰ τοῦ αὐτοῦ προ-
cώπου τὴν μετάβαcιν ποιεῖcθαι. τοῦ μὲν προτέρου Ἀριcτοφάνηc
Ἀρίcταρχον ἐδίδαξεν, ἐγὼ cὲ ἐτίμηcα, cὺ ἐμοὶ διελέξω· (ἢ
καὶ διὰ μόνων τῶν ῥημάτων ἡ εὐθεῖα νοουμένη μέτειcι πάλιν ἐπὶ τὰc
πλαγίουc, ἔδωκά cοι, ἐτίμηcά cε·) τοῦ δὲ δευτέρου Φήμιοc ἑαυ-
τὸν ἐδίδαξεν· ἡ γὰρ τοῦ διδάcκειν μετάβαcιc οὐκ ἐφ' ἕτερον πρό-
cωπον cυντείνει ἢ ἐπὶ τὸν Φήμιον· Αἴαc ἑαυτὸν ἐχειρώcατο· C
πάλιν γὰρ τὸ ἐχειρώcατο ἐπὶ τὸ Αἴαc διαβιβάζεται. — Ταῖc μὲν οὖν
τοιαύταιc cυντάξεcι παρακολουθεῖ διὰ μιᾶc καὶ τῆc αὐτῆc φωνῆc τὸ
διαβατικὸν πρόcωπον δηλοῦν καὶ τὸ αὐτοπαθέc. τὰ γοῦν Ὁμηρικά,
ἀρχαϊκώτερα ὄντα, ἀεὶ ἐν ἁπλαῖc ταῖc ἀντωνυμίαιc καὶ τὰ ἀμετάβατα
τῶν προcώπων ἔχει καὶ τὰ μεταβατικά· ἐμὲ γὰρ λύcομαι εἷc καὶ ὁ
αὐτόc, ἐμὲ δ' ἔγνω μεταβατικῶc, ⟨ἕτεροc⟩ ὁ [τε] γνωcθεὶc καὶ ὁ γνούc. 56 A
ὕcτερον δὲ τὰc cυνθέτουc προcφιλοτεχνηθείcαc cυμβέβηκεν ἀπενέγκαcθαι
τὴν τῶν ἀμεταβάτων προcώπων cημαcίαν, τὰc δὲ ἀcυνθέτουc ἐν μετα-
βάcει· διὸ καὶ αὐτοπαθεῖc τὰc cυνθέτουc τινὲc ἐκάλεcαν, ἀλλοπαθεῖc δὲ
τὰc ἁπλᾶc.

Argum. 1 Actio quae a subiecto proficiscitur et ad obiectum transit, aut ad personam pertinet a subiecto diversam, aut ad subiectum redit. — 9 Apud Homerum quidem pronomina simplicia et transitive et intransitive usurpantur; sed postea composita inventa sunt, quae reflexive adhiberentur; simplicia igitur hoc iam sibi vindicant, ut actionem transire significent.

Testim. 1 Prisc. XIII, 23 p. 15, 8 Hertz *evenit enim, ut a nominativis actus proficiscentes ad obliquos sive in transitione personarum intellegantur sive in una eademque persona. in transitione, ut 'Aristophanes Aristarchum docuit, ego te honoravi, tu mihi dixisti'; et per sola quoque verba nominativus intellegitur et transit rursus ad obliquos, 'dedi tibi, honoravi te'. in una quoque eademque persona hoc idem fit, ut 'Phemius se docuit', docendi enim transitio non ad alteram fit personam, sed ad ipsum Phemium reciprocatur, 'Aiax se interfecit', rursum enim 'interfecit' ad ipsum Aiacem reciprocatur. huiuscemodi igitur structuris primitivorum pronominum cum verbis accidit, una eademque voce et transitivam demonstrare personam et reciprocam. unde Homerus quoque, antiquitatis auctor, in simplicibus semper pronominibus et intransitivas ponit, ut dictum est, personas et transitivas, ut 'ἐμὲ λύσομαι' pro ἐμαυτόν, unus enim et idem loquitur; ἐμὲ autem ἔγνω transitive: alter enim cognovit et alter est cognitus. postea iuniores addiderunt composita pronomina, quae intransitivas significarent personas, simplicibus vero usi sunt transitivis. itaque αὐτοπαθεῖς compositas, id est 'ipsas agentes easdemque patientes' dixerunt, illas vero, hoc est simplices, ἀλλοπαθεῖς, hoc est 'in alias passionem facientes' nominaverunt.*

Discr. script. 1. cυμβεβηκεν A | 2. ἢ ἐν b, εν A | 6. Φήμιοc b, φημι· οc A | 10. cυνταξεcιν A | 12. ἀεὶ b, αιει A | απλαῖc ταῖc A, ἁπλαῖc b | 13. εἷc καὶ b, ειc γαρ και A, (non, ut b in var. lect. refert, ειc γαρ) | 14. ἕτεροc ὁ RSkrzeczka, ὅ τε Ab

Τὰς μὲν οὖν κατὰ τὸ πρῶτον καὶ δεύτερον πρόσωπον, συνήθεις οὔσας, συνέβαινε μηδεμιᾶς ζητήσεως τυχεῖν, ἅτε δὴ τῶν μὲν ἀσυνθέτων
B μεταβατικῶν οὐσῶν, τῶν δὲ συνθέτων οὐ μεταβιβαζομένων εἰς ἕτερον πρόσωπον. τὰς μέντοι κατὰ τὸ τρίτον, λέγω δὲ τὴν ἵ καὶ τὰς συζύγους, ἀτριβεῖς οὔσας, συνέβη κατὰ τὸ παλαιὸν διὰ μιᾶς φωνῆς ἀμφοτέρας τὰς συντάξεις δηλοῦν, διὰ τὸ τοὺς ποιητάς, τὸ πεπατημένον ἐκκλίνοντας, αὐταῖς κεχρῆσθαι.

Χρὴ οὖν ἐφιστάντας τῇ διαβάσει τοῦ ῥήματος, πότερον ἐπ' ἄλλο πρόσωπον συντείνει ἢ ἐπὶ ταὐτόν, μεταλαμβάνειν τὰ τῶν ἀντωνυμιῶν
C ἀσυνήθη εἰς ἁπλῆν ἀντωνυμίαν, ὡς τὰ μεταβατικά, ἢ εἰς σύνθετον, ὡς τὰ ἀμετάβατα. Τούτῳ γὰρ τῷ λόγῳ καὶ τὰς ἐν παραθέσει μετὰ τῆς αὐτός ἐπιταγματικῆς εἰς σύνθετον μεταλαμβάνομεν, ὅτε καὶ τὰ τῶν ῥημάτων ἰσάριθμα εἴη καὶ ὁμοιοπρόσωπα, καθάπερ τὸ

σὲ γὰρ αὐτὴν παντὶ ἔϊσκεις (ν 313)

καὶ τὸ

νόστον ἑταίροισι διζήμενος ἠδ' ἐμοὶ αὐτῷ (ψ 253)

57 A καὶ

ἐμέθεν περιδώσομαι αὐτῆς (ψ 78),

εὐλόγως τοῦ τοιούτου παρακολουθοῦντος· εἷς γὰρ καὶ ὁ αὐτὸς ὁ διατιθεὶς καὶ ὁ διατιθέμενος. τὰ μέντοι ἐν διαβάσει ἑτέρου προσώπου ὀρθῶς πάλιν καὶ κατὰ τοὺς ἀριθμοὺς διαλλάσσει καὶ κατὰ τὰ πρόσωπα· ἀδιαφορεῖ γὰρ ἢ ἕνα δρᾶν ἢ πλείους, ἢ ὑφ' ἑνὸς δρᾶσθαι ἢ ὑπὸ πλειόνων. ἢ πλείονες ἐμὲ τύπτουσιν, ἢ ὑμᾶς <εἷς> τύπτει. διὸ καὶ
B τὰ τοιαῦτα ἀσυνέλευστα κατὰ τὴν παράδοσιν

ἠέ τι Μυρμιδόνεσσι πιφαύσκεαι, ἢ ἐμοὶ αὐτῷ (Π 12)·
σοὶ δ' αὐτῷ μελέτω (Ο 231)·
ὁμηλικίη δ' ἐμοὶ αὐτῷ (γ 49)·
ἀνάσσονται δ' ἐμοὶ αὐτῷ (δ 177)·
ἠδ' ἐμοὶ αὐτῇ
ἕψεαι (Ω 733)·
ὤμνυε δὲ πρὸς ἔμ' αὐτόν (τ 288),

Argvm. 1 Et primae quidem et secundae personae simplicia et composita usu satis discernuntur, sed tertiae simplicia quaedam minus usitata a poetis etiam pro reflexivis usurpantur. — 11 Quare si cui non satis constat, actio verbi utrum ad personam pertineat a subiecto diversam, an ad ipsum subiectum reflectatur, is in pronominum inusitatorum locum substituat usitata.

Discr. script. 1. τὰς μὲν οὖν] fol. 161 r. | το A, τε τὸ b | 2. συνεβαινεν A | 5. litterae ει vocis ατριβεις ex η correctae in A | 6. διὰ τὸ τοὺς b, δια τουτο τους A | 9. ἐπὶ ταὐτόν b, επ αυτο A | 10. ἀσυνήθη b in var. lect., ubi haec proponit: 'Corrigendum fortasse, τὰ τῶν ἀντωνυμιῶν ἀσυνήθη ἢ εἰς σύνθετον', συνήθη id. in textu cum A | 13. τὸ b, και το A | 22. litteras πλει vocis πλειους corr. A[1], quid ante fuerit non liquet | 23. εἷς adicit RSkrzeczka | 25. ἢ ἐμοὶ b Homerus, ηδ' εμοι A | 27. ομιλικιη A | 29. ἠδ' A b, ἢ Homerus

ἀποστροφῇ τοῦ μ̄, ἵν' ἡ σύνθετος ἀπεμφαίνοιτο. ὅμοιον τὸ C

οὐδ' εἴ κεν ϲ' αὐτὸν χρυϲῷ ἐρύϲαϲθαι ἀνώγοι (Χ 351)

καὶ

ἤ μή τιϲ ϲ' αὐτὸν κτείνῃ δόλῳ ἠὲ βίηφι (ι 406).

τὸ δὲ μεῖζον· παραλόγωϲ ἐνεκλίθη τὸ

εἰ μὲν δὴ ἕταρόν γε κελεύετέ μ' αὐτὸν ἑλέϲθαι (Κ 242),

εἴγε αἱ μετὰ τῆϲ ἐπιταγματικῆϲ ὀρθοῦ τόνου ἔχονται· καὶ τὸ ἀνάγνωϲμα 58 A οὐκ ἀπόβλητον, καθὸ τὴν ϲύνθετον ἐνέφαινεν ὀρθοτόνωϲ ἀναγνωϲθέν. καὶ ἔτι τὸ

μήτ' ἐμῶὐτᾶϲ
μήτε καϲιγνήτων πόδαϲ ὠκέαϲ
τρύϲῃϲ (poet. lyr. adesp. 41 Bergk[3])

διέϲταλκε δυϲὶ περιϲπωμέναιϲ· ἠδυνάτει γὰρ ϲυντεθῆναι διὰ τὸ ἐπιφερόμενον ῥῆμα. πῶϲ οὖν οὐχὶ βίαιον τὸ τὰϲ διεϲταλμέναϲ κατὰ παράθεϲιν βιάζεϲθαι εἰϲ ϲύνθετον, τοῦ λόγου οὐκ ἀπαιτοῦντοϲ;

Δέον οὖν, ὡϲ προείρηται, τὰ ἐν δυϲὶ τρίτοιϲ νοούμενα, εἴτε κατ'ἀπόλυϲιν, ὡϲ τὸ ἐγκλινόμενον, εἴτε κατ' ὀρθὸν τόνον ἀνεγνώϲθη ἕνεκα B διαϲτολῆϲ ἢ ἄλληϲ τινὸϲ ϲυντάξεωϲ, εἰϲ ἁπλᾶϲ μεταλαμβάνειν· τὰ δὲ ἐν τρίτῳ καὶ ἐν ταὐτῷ εἰϲ ϲυνθέτουϲ, ἅπερ ἂν εὑρεθείη πάντωϲ κατ'ὀρθὸν τόνον,

ἕο δ' αὐτοῦ πάντα κολούει (θ 211)·
ἑὲ δ' αὐτὸν ἐποτρύνει (Υ 171)·
ἦ γὰρ ἔμελλεν
οἷ τ' αὐτῷ θάνατόν τε κακόν (Π 47)·

ἐπὶ γὰρ Πατρόκλου ἥ τε ἀντωνυμία καὶ τὸ ῥῆμα. Ἔτι εἰ αἱ κατὰ τὸ C πρῶτον καὶ δεύτερον ὀρθοῦ τόνου ἐχόμεναι ἀντιδιαϲτολὴν ἀναδέχονται, τί τὸ ἐμποδὼν τὸ καὶ ἐπὶ τρίτου τὴν ἀντιδιαϲτολὴν διήκειν; καὶ ὃν τρόπον τὸ καὶ ἐμοὶ ἐγένετο, καὶ ϲοὶ ἐγένετο ἀμετάληπτα εἰϲ

Argum. 16 Itaque ubi et subiectum et obliquus pronominis casus tertiae quidem, sed non eiusdem personae sunt, ibi obliquus casus, sive inclinatur absolute positus, sive recto tenore profertur discretionis vel alius rei causa, simplicis notionem induit; ubi subiectum obliquusque casus et tertiae et eaedem sunt personae, ibi obliquus casus compositi vim habet.

Discr. script. 1. ἀποστροφῇ b, απο αποστροφη A | Sitne τοῦ ε̄ pro τοῦ μ̄ scribendum dubitat RSkrzeczka | απεμφαινοιτο A, ἀπεμφαίνηται b | 2. ἐρύϲαϲθαι b Homerus, ερυϲαϲθε A | 4. ἤ Homerus, εἰ Ab | ϲ' αὐτὸν b Homerus, αυτον A | ἠὲ b Homerus, ηδε A | βίηφι Homerus A, βίηφιν b | 5. ι vocis ενεκλιθη ex η facta ab A* | 6. εἰ μὲν b Homerus, η μεν A | 10. μητεμ' ὤυταϲ A, μήτε ἐμῶὐτᾶϲ HLAhrens, μήτε ἐμῶ αὐτᾶϲ b, μήτ' ἐμῶ αὐτᾶϲ ThBergk | 13. διεϲταλκεν A | 16. Δέον οὖν] fol. 161 v. | κατ' b, κατα A | 21. κολούει b Homerus, κουλουει A | 22. ἑὲ RSchneider, ἕε b | 23. ἦ Homerus, εἰ Ab | 24. οἷ τ' Ab, οἷ Homerus | 25. Πατρόκλου b, πατροκλον A | καὶ b, και και A | 26. ορθου τονου εχομεναι A, ὀρθοτονούμεναι b | 27. εμποδον A

cύνθεcιν, οὕτω καὶ οἷ τ' αὐτῷ. «Ἀλλὰ [καὶ] αἱ κατὰ τὸ τρίτον εἰc cύνθετον μεταλαμβάνονται.» Τί δέ; οὐχὶ καὶ αἱ κατὰ τὸ πρῶτον καὶ
59 A δεύτερον, καὶ εἰ cπανιάκιc, ἀλλ' οὖν γε μεταλαμβάνονται;

αὐτὸν μὲν cὲ πρῶτα cάου (ρ 595)·
οὐδ' ἐμέ φημι λελαcμένον (Ν 269)·

καὶ

ἐμὲ λύcομαι (Κ 378)·

εἴρηταί τε καὶ ἡ αἰτία τοῦ τὰc κατὰ τὸ τρίτον πλείοναc εἶναι.

Καὶ αἱ κτητικαὶ δὲ ὁμοίωc μεταληφθήcονται εἰc cυνθέτουc ἢ εἰc
B ἁπλᾶc, προληπτικώτερον πάλιν τινῶν ὑποcτηcαμένων τὸ μόνον εἰc cυνθέτουc αὐτὰc μεταλαμβάνεcθαι. Ἔχει δὲ τὰ τοῦ λόγου ὧδε. ἐπὰν μὲν ἡ διάβαcιc τοῦ ῥήματοc ἀπὸ τῆc γενικῆc, ἥτιc ἐκ τῆc κτητικῆc μεταλαμβάνεται, τὴν διάβαcιν ἐπὶ τὸ αὐτὸ πρόcωπον ποιῆται, πάντωc εἰc cύνθετον μεταλαμβάνεται· ἐπὰν δὲ τὸ ῥῆμα μὴ ἀπὸ τῆc γενικῆc νοῆται, ἀπὸ δέ τινοc προcώπου, τότε καὶ ἁπλῆ ἡ ἀντωνυμία. τοῦ μὲν οὖν προτέρου

C δεύτερον αὖ θώρηκα περὶ cτήθεccιν ἔδυνεν
οἷο καcιγνήτοιο Λυκάονοc (Γ 332)·

τοῦ ἑαυτοῦ ἀδελφοῦ ἐνέδυ χιτῶνα·

πάρ τε καcιγνήτῳ Θραcυμήδεϊ καὶ πατέρι ᾧ (γ 39)·

τῷ ἑαυτοῦ. τοῦ δὲ δευτέρου

οὕνεκ' ἄρ' οὐχ ᾧ πατρὶ χαριζόμενοc θεράπευον (ν 265)·

60 A οὐ γὰρ ἐθεράπευον αὐτοῦ τὸν πατέρα, τοῦ ῥήματοc ἀποcτάντοc τῆc γενικῆc. ὁμοίωc

ὅθ' ἑὸc δόμοc (ὁ τινὸc ὅτε με) ἀμφεκάλυψεν (ο 118)·

διὸ εἰc ψιλὸν μετάγεται τὸ αὐτοῦ.

τότε δὲ Ζεὺc Ἕκτορι δῶκεν
ᾗ κεφαλῇ φορέειν (Π 799)·
τὸν καὶ ἀνηρείψαντο θεοὶ Διὶ οἰνοχοεύειν
κάλλεοc εἵνεκα οἷο (Υ 234)·

πάλιν ἐπὶ τοῦ

B αὐτὰρ ὅ γ' ὃν φίλον υἱὸν ἐπεὶ κύcε (Ζ 474)

Argvm. 9 Etiam in possessivorum tertiae locum et composita et simplicia substituuntur. Ubi subiectum verbi eadem est persona atque genetivus, qui pro possessivo poni potest: possessivum habet vim compositi; ubi subiectum verbi diversum est a genetivo, qui in possessivo latet, simplicis potestatem habet.

Discr. script. 1. αἱ JGuttentag, καὶ αἱ Ab | 3. cπανιακηc A | 4. cάου Ab cod. Vindob. 5 Homeri, cάω ceteri Hom. codd. | 5. φημι b Homerus, φηcιν A | 10. προληπτικοτερον A | 13. ποιειται A | 15. ἀπὸ δέ τινοc Ab, ἄλλου δέ τινοc GUhlig | 17. θορηκα A | 25. 'In parenthesi corr. fortasse ὁ Θῶνοc ὅτ' ἐμέ' b in var. lect. | 26. εαυτου, sed ε deleta, A | 29. ανηριψαντο A | 32. ἐπεὶ b Homerus, επη A | κυcεν A

cύνθετοc· τὸν γὰρ ἑαυτοῦ ἔκυcε παῖδα. ὅθεν τινέc, πάλιν ἀγνοήcαντεc τὸ μεταβατικόν, τὸ

αἴτει δ' οἰωνὸν ἑὸν ἄγγελον (Ω 292)

μεταγράφουcιν εἰc τὸ ταχὺν ἄγγελον, ἢ τὸν ἀγαθὸν ἐκδέχονται. καὶ ἐπὶ θηλυκῆc

τὸν ξεῖνον πέμπωμεν ἑὴν ἐc πατρίδα γαῖαν (ν 52).

φαcὶ δὲ καὶ τὸν Ἀρίcταρχον ἀcμένωc τὴν γραφὴν τοῦ Δικαιάρχου παραδέξαcθαι· (ἐν γὰρ ἁπάcαιc ἦν τὸ (Γ 244)

ἑῇ ἐν πατρίδι γαίῃ)

ὑπολαβόντα τὸ ἑαυτῆc νοεῖcθαι ἐκ τοῦ ἑῇ, δέον πάλιν ψιλῶc μεταλαμβάνειν. C δῆλον οὖν ὡc τὸ

ἀλλ' ἐμὲ θυμὸc ἀνῆκε πολυτλήμων πολεμίζειν
θάρcεϊ ᾧ (Η 152)

ἀμφίβολον. εἰ γὰρ εἰc ἁπλῆν μεταληφθήcεται, ἔcται ὁ θυμόc ἀνῆκέ με τῷ ἐκείνου θάρcει πολεμεῖν, ὅπερ πάλιν ἐν διαβάcει νοεῖται· εἰ δὲ εἰc cύνθετον, γενήcεται τῷ ἑαυτοῦ θάρcει ἀνῆκέ με πολε- 61 A μεῖν, καὶ τὸ ῥῆμα ἐκ τῆc γενικῆc ἀπήρτηται. ὁμοίωc καὶ τὸ

Νέcτωρ φάcχ' ὁ γέρων, ὅτ' ἐπιμνηcαίμεθα cεῖο,
οἷcιν ἐνὶ μεγάροιcιν (δ 191).

εἰ δὲ μή, εἰc ἁπλῆν τὴν αὐτοῦ. — οὕτωc εἶχε καὶ τὸ ἐν Ἰcθμιονίκαιc Πινδάρου (fr. 1 Boeckh)

Αἰολίδαν δὲ Cίcυφον κέλοντο
ᾧ παιδὶ τηλέφαντον ὄρcαι γέραc
ἀποφθιμένῳ Μελικέρτᾳ· B

τῷ γὰρ παιδὶ τῆc Ἰνοῦc. πάλιν γὰρ οἱ ἀξιοῦντεc εἰc cύνθετον μεταλαμβάνειν τὴν ἑαυτοῦ, ζητοῦcι τίνι ἀκολουθῶν Cιcύφου υἱὸν αὐτὸν ἔφη. οἱ δὲ βαρυτονοῦcι τὸ ὧ Δωρικῶc, δεχόμενοι ἀντὶ τοῦ ὥc, ὁμοίωc τῷ

ὧ τε χερνᾶτιc γυνὰ οὐδὲν προμαθιωμένα (lyr. gr. III³ p. 1359 Bergk)·

Discr. script. 1. εκυcεν A | πάλιν ἀγνοήcαντας] fol. 162 r. | 5. θηλυκῆc RSkrzeczka, αἰτιατικῆc Ab | 'Exspectabam tale quiddam: καὶ ἐπὶ αἰτιατικῆc· τὸν ξεῖνον — γαῖαν. καὶ ἐπὶ δοτικῆc· ἑῇ ἐν πατρίδι γαίῃ. φαcὶ δὲ κτλ. Vel sic: καὶ τὸ ἑῇ ἐν πατρίδι γαίῃ. καὶ ἐπὶ αἰτιατικῆc κτλ.' AFNaeke | 6. πέμπωμεν b Homerus, πεμπομεν A | 7—8. παραδέξαcθαι b, αναδεξαcθαι A | 9. ἑῇ ἐν πατρίδι γαίῃ b in var. lect., ἑὴν ἐc πατρίδα γαιη id. in textu, εην εc πατριδα γαιην A | 10. ἑαυτῆc AFNaeke, ἑαυτοῦ Ab | ἑῇ b, εηι A | 12. ἀλλ' ἐμὲ b Homerus, αλλα με A | ανηκεν A | 14. ανηκεν με A | 16. ανηκεν A | 17. ἀπήρτηται] 'Corr. fortasse ἀπηρτήcεται' b in var. lect. | 18. φάcχ' b, φαcκ' A | 19. 'Cf. de Syntaxi p. 156, 10. Unde intelligenda et reconcinnanda sunt, quae statim inferuntur' b in var. lect. | 20. εἰ δὲ μή RSkrzeczka, εἰ δὲ οὐ Ab | ειχεν A | Ἰcθμιονίκαιc b, ιcθμιονκαιc A | 22. Αἰολίδαν δὲ b, αιολιδ' ανδε A | 24. ἀποφθιμένῳ b ABoeckh, επιφθιμενω A, φθιμένῳ synt. 156, 16 | 25. γαρ οι A, γὰρ b | 27. βαρυτονουcιν A | ὧ RSchneider, ᾧ b, ω ut videtur A | ὥc RSchneider, ὡc b, ωc A | 28. ὧ τε b, ωιτε A, ὥτε HLAhrens, ὧτε ThBergk | χερνᾶτιc b HLAhrens ThBergk, χερνιτηc A | προμαθιωμένα ThBergk, προ μαθιουμενα Ab, προμαθιομένα HLAhrens; Alcmani versum tribuit HLAhrens, Epicharmo ThBergk

οἱ δὲ εἰς τὴν οἷ πρωτότυπον μετάγουσι τὴν γραφήν, ἵνα δοτικὴ ἀντὶ γενικῆς ἀκούηται, ὁμοίως τῷ

C Ἀχιλῆι δαμασθείς (Χ 55).

Χρὴ οὖν προσανέχοντας τῷ προκειμένῳ λόγῳ μεταλαμβάνειν τὰς τοιαύτας τῶν ἀντωνυμιῶν εἴς τε ἁπλᾶς καὶ συνθέτους, τὰ νῦν περιγραφομένης τῆς πολλῆς παραθέσεως ὑπὲρ τοῦ μὴ ἐπὶ πλέον προάγειν τὸν λόγον.

Ἑξῆς ἐπὶ τὰς κατὰ μέρος χωρητέον.

Ἡ ἐγώ τῆς ἔγωγε Ἀττικῆς διαφέρει συντάξει. ἡ μὲν γὰρ καὶ 62 A κατ᾽ ἀρχὴν τοῦ λόγου τίθεται, καὶ καθ᾽ ὑπόταξιν, ἡ δὲ ἔγωγε οὐ συνήθης εἰς ἀρχὴν λόγου παραλαμβάνεσθαι, καθὸ καταφατικωτέρα ἡ ἔγωγε· πολλάκι γοῦν καὶ κατά τινας ἐρωτήσεις συγκατατιθέμενοί φαμεν ἔγωγε ἐν ἴσῳ τῷ ἐγώ. — Μεμπτέοι οὖν οἱ ὑπολαμβάνοντες· τὴν μὲν ἀντιδιεστάλθαι, λέγω δὲ τὴν δισύλλαβον, τὴν δὲ ἐγκεκλίσθαι (καὶ ἴσως ἡ ἀφορμὴ ἐκ τοῦ ἀναβεβιβάσθαι τὴν τάσιν, τοῦ τε μὴ ἄρχειν λόγου, B ἅπερ ἐγκλινομέναις παρηκολούθει)· ἐδείχθη γὰρ ἐντελῶς ὡς ἀδυνατοῦσιν αἱ τῆς εὐθείας ἐγκλίνεσθαι· διὸ καὶ τὸ

τί σὺ τόσσον ὁμίλου (Υ 178)

μόνως ὀρθοτονητέον. — ἄλλως τε αἱ ἐγκλινόμεναι τῶν ἀντωνυμιῶν οὐδέποτε προοισταί εἰσι κατ᾽ ἰδίαν, καθάπερ αἱ ὀρθοτονούμεναι, ἀλλ᾽ἀεὶ μετά τινος μέρους λόγου παρατίθενται, δός μοι, τίμησόν με, καθάπερ καὶ ἄλλα τινὰ μέρη λόγου, ὡς αἱ προθέσεις, οἱ σύνδεσμοι, C τὰ ἄρθρα. πῶς οὖν πρὸς τὰς ἐρωτήσεις φαμὲν κατ᾽ ἰδίαν ἔγωγε; — ὅτι δὲ καὶ διασταλτικῶς παραλαμβάνεται, δῆλον ἐκ τούτων,

οὕνεχ᾽ ὁ μὲν καλός τε καὶ ἄρτιπος, αὐτὰρ ἔγωγε (θ 310)

καὶ

μήτηρ μέν τέ μέ φησι τοῦ ἔμμεναι, αὐτὰρ ἔγωγε (α 215).

αἱ ἐγκλινόμεναι τῇ αὐτῇ καταλήξει χρῶνται, ᾗπερ καὶ αἱ ὀρθοτονούμεναι. 63 A — πῶς οὖν ἡ μὲν ἔγωγε εἰς γε λήγει, ἡ δὲ ἐγώ εἰς γω; — Χρὴ δὲ νοεῖν ὅτι μόνον παρῆκται διὰ τῆς γε συλλαβῆς· οὐ γὰρ κεῖται ὁ γέ παραπληρωματικὸς οὔτε ἐν συνθέσει, ἐπεὶ ἀδύνατον ἐγκλιτικὸν συν-

---

Argvm. 9 Ἐγώ ab ἔγωγε attico differt constructione: ἐγώ et in initio sententiae ponitur et aliis vocabulis postponitur; ἔγωγε non solet in initio poni et affirmandi vim habet. — Ἔγωγε inclinatum non est; factum est per paragogen, nam γε coniunctio expletiva nec per compositionem suffixa esse potest (encliticae enim non componuntur), nec per appositionem (ἐγώγε enim esset).

Discr. script. 1. μεταγουσιν την γραφην A, μετάγουσιν b | 3. αχιλληι A | 9. inscriptio περι της εγω και εγωγε maiusc. A | 13. Μεμπτέοι b, μεμπταιοι A | 15. ἀναβεβιβάσθαι b in textu, ἀναβεβάσθαι id. in ind. mendorum, αναβιβασθαι A | τοῦ τε μὴ] fol. 162 v. | ἄρχειν b, αρχην A | 18. ομηλου A | 20. προοισταί b, προοιστε A | εισιν A | 25. 27. ἐγώ γε La Roche | 27. φησιν A

τίθεcθαι, οὔτε ἐν παραθέcει, ἐπεὶ μᾶλλον ὠξύνετο ἂν τὸ τέλοc τῆc ἐγώ.
τὸ δὲ αὐτὸ καὶ ἐπὶ τοῦ ἔμοιγε. — Διὸ καὶ ἐπεζήτηcαν ἔνιοι, διὰ τί
καὶ ἐπὶ αἰτιατικῆc καὶ γενικῆc οὐκέτι. πρὸc οὓc ἂν φαίημεν, ὅτι οὐκ
ἐξωμάλιcται τὰ τῶν διαλέκτων, μάλιcτα δὲ τὰ τῶν Ἀττικῶν. ὅμοιοc B
καὶ γέλοιοc προπαροξύνοντέc φαcιν, ἀλλ' οὐκέτι τὰ τούτοιc παρα-
πλήcια· ἤμελλον καὶ ἠβουλόμην, ἀλλ' οὐ πάντα τὰ παρατατικὰ οὕτωc
ἐπεκτείνουcι· καὶ ἐπ' ἄλλων πλείcτων. τὸ αὐτὸ οὖν καὶ ἐπὶ τοῦ προ-
κειμένου.

Δωριεῖc ἐγών. Cώφρων· ἐγὼν δέ τοι καὶ πάλαι ὤψεον (fr. 39
Ahrens). καὶ ὁ ποιητὴc δὲ cυνεχῶc διὰ τοῦ ν, ὅτε φωνῆεν ἐπιφέροιτο,
cαφὲc ὅτι τὸ χαcμῶδεc τῶν φωνηέντων ἀναπληρῶν τῇ τοῦ ν προcθέcει. C
κοινῇ δὲ προφορᾷ χρῆται ἐν τῷ

ἀλλ' ἐγὼ οὐδέν cε ῥέξω κακόν (Ω 370)

καὶ

ἀλλ' ἐγὼ οὐ πιθόμην (Ε 201. Χ 103. ι 228)·

καὶ τὸ ν οὐ προcέλαβεν, ἐπεὶ ἀνεπίδεκτον τὸ ἔποc κρητικοῦ εἰc cύμ-
φωνον καταλήγοντοc. — Οὐ φύcει φαcὶ τὴν ἀντωνυμίαν λήγειν εἰc ν,
πλεονάζειν δέ, «ἐπεὶ ἡ κατὰ τὸ δεύτερον δίχα τοῦ ν, τύ. πᾶcα γὰρ 64 A
ἀντωνυμία εἰc ν λήγουcα κατὰ τὸ πρῶτον, πάντωc καὶ κατὰ τὸ δεύ-
τερον, ἐμέθεν cέθεν, ἐμίν τίν, ἡμῶν καὶ ὑμῶν». Πρῶτον διάλληλα
τὰ τῆc ἐπιχειρήcεωc. τί γὰρ ⟨οὐ⟩ μᾶλλον ἡ τύ ὠλιγώρηται, ὅτι εἰc ν οὐ
λήγει, ἢ ἡ ἐγών, ὅτι εἰc ν λήγει; — δεύτερον αἱ μακροκατάληκτοι
λέξειc οὐ πλεονάζουcι τῷ ν ἀδιαφόρωc· τὸ γὰρ τοιοῦτον ἐν τῷ ἔλε-
γεν ἢ ἔλεγε καὶ λέγουcιν, ἅπερ ἐν βραχυκαταλήκτοιc. — τρίτον ἐν
ὁμοιοκαταλήκτοιc ἡ μονὴ τοῦ ν γίνεται, ἐμέθεν ἢ cέθεν, ἐμίν τίν, τὸ B
δὲ ἐγών εἰc ων λήγει, τοῦ δευτέρου διὰ τοῦ υ ἐκφερομένου. ἔπειτα
παρὰ Βοιωτοῖc τὸ λεῖπον ἀνεπληρώθη· ἰδοὺ γὰρ τούν.

Οἱ αὐτοὶ Δωριεῖc ἐγώνγα καὶ ἐγώνη·

οὐ γὰρ ἐγώνγα, Ϝάναcca, Διὸc θύγατερ,

Argum. 2 Nec ἔμουγε genetivum nec ἔμεγε accusativum exstare non mirum; nam dialecti ad analogiae leges non diriguntur, minime omnium attica. — 9 Dorica forma ἐγών Homerus utitur, ubi vocalis subsequitur. In ea ν dicunt redundare, nam omni pronomini primae personae in ν exeunti respondere eundem exitum in secunda. At compluribus argumentis refelluntur; ν igitur illa naturalis est. — 28 Ceterae formae doricae et aeolicae; ἱών formam boeoticam Trypho dicit natam esse ex ἐγών; alii nativam esse censent.

Discr. script. 3. οτι A, ὡc b | 5. φαcιν iterat A | 6. οὐ GUhlig, οὐκέτι A b | 7. επεκτεινουcιν A | 9. τοι A Choeroboscus HLAhrens, τυ b | ὤψεον A Choeroboscus HLAhrens, ὤψειον b | 12. προφοραι A | 13. κακόν A b, κακά Homerus | 15. πειθομην A | 16. κρητικοῦ b, κριτικου A | 17. φαcιν A | 20. cέθεν b, cεθεν εθεν A | εμῖν τιν' A | διάλληλα τὰ τῆc b, αδελφα τα τηc εἰc A, puncta ab A[1] | 21. τί γὰρ] fol. 163 r. | οὐ μᾶλλον b, μαλλον A | 22. δευτερον αι A, δεύτερον b | 23—24. ελεγεν η ελεγεν και A, ἔλεγεν καὶ b | 26. ων b, ον A | 27. τούν b, το υν A | 29. Ϝάναcca ThBergk, ἄναcca A b

Ἀλκμάν (fr. 51 Bergk[3]). Αἰολεῖς βαρέως·

ἔγων δ' ἔμ' αὔτᾳ
τοῦτο ϲυνόϊδα

Ϲαπφώ (fr. 102 Ahrens, 15 Bergk[3]). Βοιωτοὶ ⟨ἱών,⟩ ὡς μὲν Τρύφων
C (p. 27 Velsen), ὑφέϲει εὐλόγῳ τοῦ γ̄, ἵνα καὶ τὰ τῆς μεταθέϲεως τοῦ ε̄ εἰς ῑ γένηται, ἐπεὶ φωνήεντος ἐπιφερομένου τὸ τοιοῦτον παρακολουθεῖ. ἀλλὰ μὴν καὶ ἐδαϲύνθη, ἐπεὶ δαϲύνεται τὰ φωνήεντα ἐν ταῖς ἀντωνυμίαις, ὅτε πρὸ φωνηέντων τίθενται, ἑός, ἑοῦ, ἑαυτῷ, ἑαυτόν, ἑοῖ. ὡς δὲ ἔνιοι, ὧν ἐστὶ ⟨καὶ⟩ ὁ Ἅβρων, θέμα ἐστίν, ὃ ϲυζύγως οἱ αὐτοί φαϲι τῇ μὲν ἐγών τὴν ἱών, ⟨τῇ δὲ ἐγώνη τὴν ἱώνει,⟩ εἴγε τὸ παρὰ Δωριεῦϲιν η̄ εἰς ει̅ μεταβάλλεται, τῇ δ' ἐγώνγα τὴν ἱώνγα. Κόριννα·

65 A μέμφομη δὲ κὴ λιγουρὰν Μουρτίδ' ἱώνγα,
ὅτι βανὰ φοῦϲ' ἔβα Πινδάροιο ποτ' ἔριν (fr. 12 Ahrens, 21 Bergk[3])

καὶ ἔτι

ἱώνει δ' εἰρώων ἀρετὰς
χεἱρωάδων (fr. 1 Ahrens, 10 Bergk[3]).

Τρύφων (p. 32 Velsen) φηϲὶ μηδ' ὅλως εὐθείας εἶναι τὴν ϲύ, κλητικῆς δὲ μόνον, «ἐν οἷς αἱ μὲν εὐθεῖαι τὸν περί τινος λόγον ἀναδέχονται, αἱ δὲ κλητικαὶ τὸν πρός τινα, ὅνπερ ἡ ϲύ ἀναδέχεται. — ἔτι ὃν τρόπον ἡ ἐκεῖνος οὐκ ἔχει κλητικήν, διότι ἐν ἀποϲτήματί ἐϲτι, τῆς κλητικῆς
B κλῆϲιν ἐπαγγελλομένης τοῦ πέλας, οὕτως οὐδὲ ἡ ϲύ εὐθείας, ἐπεὶ τὰ ἐναντία ἀνεδέξατο. — αἱ κλητικαὶ δευτέροις προϲώποις ϲυντάϲϲονται, Ἕκτορ ἦλθες, Ϲώκρατες διελέξω· τοιοῦτον οὖν καὶ τὸ ϲὺ λέγε καὶ ϲὺ ϲκάπτε. — οὐκ ἐπεὶ δὲ εὐθείᾳ ϲυντάϲϲεται ἐν τῷ ϲὺ ὁ λέγων, πάντως καὶ εὐθείας· ἰδοὺ γὰρ καὶ ἐπὶ ὀνομάτων, Ἀρίϲταρχε αὐτὸς γέγραφας. — οὐ πάσης πτώϲεως εὐθεῖα, τοῦ ἀλλήλους, τοῦ

Argvm. 18 Ϲύ pronomen non nominativum, sed vocativum esse Trypho praecepit.

Discr. script. 2. δ' ἔμ' αὔτᾳ b HLAhrens, δ' ἐμαύτᾳ ThBergk, δεμ' αυται A | 3. ϲύνοϊδα HLAhrens, ϲύνοιδα b ThBergk | 4. ἱών b, om. A | 5. Τρυφων A, Τρύφων φηϲίν b | 8. πρὸ FGSturz b, προς A | 9. ἑοῖ FMehlhorn, ἕοι b | ἐϲτὶ καὶ ὁ b, εϲτιν ο A | 10. τῇ δὲ ἐγώνη τὴν ἱώνει inserit HLAhrens | 11. η εις ει A, ε̄ εἰς ῑ b | τη δ' A, τῇ δὲ b | 12. κορινα A | 13—14. versus emendavit ABoeckh, quem secuti sunt HLAhrens ThBergk, μεμφομαι δε και λιγουραν Μυρτιδα ιωνγα οτι βανα φουϲα εβα Πινδαριοιο ποτ εριν A, quae servavit b, nisi quod Μυρτίδ' et φοῦϲ' scripsit | 16—16. ἱώνει δ' εἰρώων ἀρετὰς χεἱρωιάδων (vel χεἱρῳάδων vel χεἱρωΐδων) ⟨ἀΐδω⟩ ThBergk, ἱώνει Ϝὸδ'εἰρώων ἀρετὰς χεἱρωάδων HLAhrens, . . Ϝῦδα δ'ἱώνει Εἰρώων ἀρετὰς χεἱρωϊάδων . . JAHartung, ϊωνει ηδ' ηρωων αρετας χειρωαδων A, quae servavit b, praeterquam quod ἡρώων et ἀρετὰς scripsit | 18. inscriptio περι της ϲυ maiusc. A | φηϲιν A | κλιτικης et 19—20. κλιτικαι et 21 κλιτικη et κλιτικης et p. 52, 1 et 3 κλιτικης A | 21. εϲτιν A | 25. ἐπεὶ δὲ] ἐπειδὴ AdeVelsen

ἐμαυτοῦ, ὥςτε καὶ τῆς cύ οὔσης κλητικῆς οὐ πάντως εὐθεῖα ἐπιζητηθήσεται.»

Ὅτι μὲν οὖν κλητικῆς ἐστὶν ἡ cύ, ἀναμφίβολον· ὅτι δὲ καὶ C
εὐθείας, λεκτέον. Αἱ συνεμπίπτουσαι τῶν λέξεων κατὰ τὰς συντάξεις
τοῦ λόγου τὸ ἀμφίβολον τῆς συνεμπτώσεως ἀποβάλλουσι. τὸ γὰρ
οὐκερῶ, τρία σημαῖνον, ἐν τῷ οὐκ ἐρῶ σοί ἢ ⟨οὐκ⟩ ἐρῶ σοῦ ⟨ἢ⟩ οὐ
κερῶ σέ οὐκέτι ἀμφίβολον καθέστηκε. καὶ ⟨περισσὸν⟩ εἰς τοῦτο παρατίθεσθαι,
τοῦ λόγου ἐπὶ πάντων συντείνοντος τῶν παραπλησίων. ὅθεν 66 A
καὶ τὸ σύ κατὰ τὴν σύνταξιν δειχθήσεται, πότε εὐθείας ἐστὶ καὶ πότε
κλητικῆς. ἐν οἷς γάρ φαμεν σὺ ἦλθες πρὸς ἐμέ, κλητικῆς· ἐγώ
εἰμι καὶ ἐκεῖνός ἐστι καὶ σὺ εἶ, εὐθείας· τὰ γὰρ τῆς ὑπάρξεως ἢ
κλήσεως ῥήματα εὐθείᾳ συντάσσονται. οὐ γὰρ πάντως καθολικὸν τὸ
τὴν εὐθεῖαν ἐπὶ τρίτοις νοεῖσθαι πάντοτε· ἰδοὺ γὰρ ἐπὶ πρώτου καὶ
δευτέρου, σεμνός εἰμι, σεμνὸς εἶ. — Ἄλλως τε τὰ μὲν ὀνόματα,
δίχα τῆς κλητικῆς, ἐν τρίτοις νοεῖται, ὅτε μή, ὡς προείρηται, τὰ τῆς B
ὑπάρξεως ἢ κλήσεως ῥήματα συντάσσεται, Δίων περιπατεῖ, Δίωνι
λέγε, Δίωνα τύπτε· αἱ δὲ ἀντωνυμίαι ἕνεκα τούτου παραλαμβάνονται,
τῶν ὀνομάτων οὐ δυναμένων κατὰ τὸ πρῶτον καὶ δεύτερον
πρόσωπον παραλαμβάνεσθαι ἐπὶ τῆς προκειμένης συντάξεως. παρακολουθεῖ
οὖν τοῖς κατὰ τὸ δεύτερον ἀνακρεμάμενον ἔχειν τὸν λόγον
τὸν πρός τινα ὑπὲρ αὐτοῦ τοῦ προσφωνουμένου. ὁ γοῦν λέγων σὺ
τύπτεις πρὸς αὐτὸν λέγει ὑπὲρ αὐτοῦ. τὸ αὐτὸ καὶ ἐπὶ τῶν πλα- C
γίων, σοὶ δίδωμι, σὲ φιλῶ. χωριστέαι οὖν ⟨αἱ⟩ ἀντωνυμίαι τῶν ὀνομάτων
κατὰ τὰς συντάξεις ἕνεκα τούτου. — Ἔτι αἱ συναπτόμεναι

ARGUM. 3 Et hoc quidem constat, cύ esse vocativum; idem esse nominativum, comprobandum est. — 9 1) Verba substantiva et appellandi cum nominativis construuntur; construuntur etiam cum cύ pronomine. — 14 2) In nominum locum succedunt in prima secundaque persona pronomina (cύ igitur quoniam pro nominativo nominum usurpatur, sequitur ut ipsum quoque nominativus sit). — 24 3) Quaecunque vocabula sive copulativis sive disiunctivis coniunctionibus conectuntur, eiusdem casus sunt. Eo modo cύ cum nominativis coniungitur.

TESTIM. 24 cf. Prisc. XIII, 20 p. 13, 12 Hertz *Cum igitur omnia quae sibi coniunguntur in diversis posita personis casualia, sive disiungantur seu copulentur, eundem servant casum* e. q. s.

DISCR. SCRIPT. 6. οὐκερῶ b, ευκαιρω A | ἐρῶ σοί ἢ οὐκ ἐρῶ σοῦ ἢ οὐ κερῶ σέ b, ερω σοι η ερω σου η ουκ ερω σε A, sed ερω σου delet A[1] | 7. καθεστηκεν A | καὶ] fol. 163 v. | περισσὸν b, om. A | 9. τ in ποτε ex π corr. A[1] | εστιν A | 10. κλιτικης A | πρὸς ἐμέ b, προς με A | κλιτικης A | 11. εστιν A | 12. κλήσεως b, κλισεως A | 15. κλιτικης A | 16. κλήσεως b, κλισεως A | 20. ἀνακρεμάμενον b, ανακεκραμμενον A | 21. γοῦν b, ουν A | ω in λεγων ex ει factum ab A[x] | 22. τύπτεις b, τυπτει A | 23. οὖν αἱ b, ουν A | 24. συναπτόμεναι RSkrzeczka, συμπλεκόμεναι Ab

πτώσεις ἢ διεζευγμέναι ἢ συμπλεκόμεναι τῆς αὐτῆς ἔχονται πτώσεως· εἰ δέ που κλητικὴ παραλαμβάνοιτο, πάντως ἐκτὸς πεσεῖται τῆς συν-
67 A τάξεως. τοῦ μὲν οὖν προτέρου ἢ Ἀριστοφάνης ἢ Ἀρίσταρχος, καὶ Ἀριστοφάνη καὶ Ἀρίσταρχον, ἤτοι Ἀριστοφάνους ἢ Ἀριστάρχου, καὶ ἐμοῦ καὶ σοῦ, ἢ ἐγὼ ἢ ἐκεῖνος· τοῦ δὲ δευτέρου Σώκρατες, ἢ Διογένης παρέσται ἢ Θεόφραστος· Ἀρίσταρχε, καὶ Διονύσιος ἤκουσε καὶ Ἀπολλώνιος. ὅθεν εἴ φαμεν καὶ ἐγὼ καὶ σὺ καὶ ἐκεῖνος, εὐθείας τὸ σύ. — Τὰ δυϊκὰ καὶ τὰ πληθυντικὰ σύλληψιν ἔχει ὁμοιοπτώτων προσώπων, τὸ ὑμᾶς ἐκ τοῦ
B σὲ καὶ σὲ καὶ ἐκεῖνον, τὸ ὑμῖν ἐκ τοῦ σοὶ καὶ σοὶ καὶ ἐκείνῳ. ὅθεν τὸ

σφῶι . . σὺ καὶ κρατερὸς Λυκομήδης (Μ 366)

εἰ σύλληψιν ἔχει τοῦ Λυκομήδης κατ' εὐθεῖαν, δῆλον ὡς καὶ τὸ σύ εὐθείας καθέστηκεν. — Ἔτι αἱ ἀντωνυμίαι ὁμοιοπτώτοις τοῖς ὀνόμασι συντάσσονται, ἐμοῦ ὄντος Ἀπολλωνίου, ἐμοὶ ὄντι Δίωνι, σὲ ὄντα ἀγαθόν· εἰ οὖν εὐθείας ⟨τὸ⟩ ἐγώ εἰμι Διονύσιος, εὐθείας καὶ τὸ σὺ εἶ Δίων. — Ἡ κλητικὴ αὐτοτελὴς οὖσα στιγμὴν ἀπαιτεῖ·
C διὸ οὐδέποτε αἱ ἐγκλινόμεναι μετὰ κλητικῆς τίθενται, ὅτι μὴ μόνον ἡ μοί κατὰ πρῶτον πρόσωπον διὰ φιλοφρόνησιν,

Πάτροκλέ μοι δειλῇ (Τ 287).

ἐν ᾧ οὖν φαμὲν σύ με, σύ μου, εὐθείας ἡ σύ· αἱ γὰρ εὐθεῖαι τήνδε τὴν σύνταξιν λαμβάνουσι. — Πρὸς τὰ πύσματα αἱ εὐθεῖαι ἀνθυπάγονται, τίς ἔγραψεν; Ἀρίσταρχος, ἐγώ· εὐθείας οὖν ⟨καὶ⟩ κατὰ τοῦτο
68 A τὸ σύ. — Ἔπειτα εἴ τι κλητικὴν ἔχει, πάντως καὶ εὐθεῖαν· οὐ μὴν εἴ τι εὐθεῖαν, πάντως καὶ κλητικήν. οὔτε γὰρ τὰ πύσματα, οὔτε τὸ

Argvm. 8 4) Duali et plurali voces eiusdem casus comprehenduntur; comprehenditur autem σύ cum nominativis. — 13 5) Pronomina per verbum substantivum cum nominibus eiusdem casus construuntur; construitur eo modo σύ cum nominativis. — 16 6) Vocativum enclitica subsequi non solet; subsequitur σύ pronomen. — 21 7) Ad interrogativas voces ut aliis nominativis, ita σύ pronomine respondemus. — 23 8) Atque quae vocativum habent, eadem nominativo non carent.

Testim. 23 cf. Prisc. XIII, 21 p. 13, 28 Hertz *Et quicquid habet vocativum, hoc et nominativum habet, quicquid autem nominativum, non omnimodo et vocativum; neque enim interrogativa nomina nec infinita nec abnegativa nec distributiva vel impertitiva nec relativa, quae omnia carent demonstratione, vocativos pollicentur.*

Discr. script. 1. συμπλεκόμεναι RSkrzeczka, συναπτόμεναι Ab | πτώσεως RSkrzeczka, κλισεως A et b in textu, qui falso in var. lect. refert in A esse πτώσεως | 7. ηκουσεν A | 10. 'Malim semel poni et σοί et antea σέ' b in var. lect. | 11. καὶ b Homerus, και ο A | 13. ονομασιν A | 14. ἐμοῦ ὄντος Ἀπολλωνίου] fol. 164 r. | 15. εὐθείας τὸ b, ευθειας A | 17. prior η littera in κλητικης ex ï facta ab A^x | 19. δειλῇ b Homerus, δηλη A | 22. καὶ κατὰ b, κατα A | 23. κλητικὴν A et b in textu, qui in var. lect. falso adnotat: 'Cod. κλητικῆς et antea ευθειας' | 23—24. εἴ τι εὐθεῖαν b, ει τι ευθειας A | 24. κλητικήν b, κλητικης A

ἄλλος, ὡς προείρηται, οὔτε τὸ ἐκεῖνος. ὅθεν εἰ τὸ σύ κλητικῆς, πάντως καὶ εὐθείας. — Τὸ δὲ συνεμπεσεῖν τὴν φωνὴν οὐ ξένον· πλεῖσται γάρ εἰσιν εὐθεῖαι συνεμπίπτουσαι ταῖς κλητικαῖς.

Σύγε Ἀττικοί, καθάπερ καὶ τὸ ἔγωγε. Τινὲς ἐν δυσὶ μέρεσι λόγου, «τοῦ γέ ἐν παραθέσει κειμένου, ἐπεὶ αἱ ἐπεκτεινόμεναι ἐν πρώτοις καὶ ἐν τρίτοις». Ἐν μὲν οὖν τῷ τόνῳ οὐχ οἷόν τε διελέγξαι τὴν B παραγωγήν, ἐν δὲ τῇ Δωρικῇ τύγα οὔσῃ συνάγεται καὶ τὸ σύγε. ἡ γὰρ τύ ὀρθῆς τάσεως οὖσα εὐθεῖαν σημαίνει παρὰ Δωριεῦσι,

καὶ τὺ Διὸς θύγατερ μεγαλόσθενες (lyr. gr. adesp. 42 Bergk III³),

ἐγκλινομένη δὲ αἰτιατικήν,

καί τυ φίλιππον ἔθηκεν (lyr. gr. adesp. 43 Bergk III³)

καὶ τί τυ ἐγὼν ποιέω; Σώφρων (fr. 74 Ahrens).

Οὐδεμία ἀντωνυμία ἐγκλιθεῖσα πτώσεως ἐναλλαγὴν ποιεῖται· σημειωτέα οὖν ἡ τύ ἐγκλιτική. — Αἱ κατὰ τὸ δεύτερον πρόσωπον C ἐγκλινόμεναι πάντως καὶ ὀρθοτονοῦνται, τῆς αὐτῆς πτώσεως οὖσαι· (ἡ μὲν γὰρ εὐθεῖα οὐδ' ὅλως ἐγκλιθήσεται, ἐπεὶ ἀδύνατον)· πῶς οὖν ἡ τύ ἐπ' αἰτιατικῆς οὐκ ὀρθοτονεῖται; — Μή ποτ'' οὖν οὐδ' ὅλως αἰτιατικῆς ἐστίν, ἀλλ' ἐν σχήματι λαμβάνεται, ᾧ λόγῳ καὶ δοτικὴ ἀντὶ γενικῆς,

Ἀχιλῆι δαμασθείς (Χ 55).

καὶ οὐκ ἀνοίκειον τὸ σχῆμα· ἡ μὲν γὰρ γενικὴ τῇ δοτικῇ ᾠκείωται, ἡ 69 A δὲ αἰτιατικὴ τῇ εὐθείᾳ οὕτως, ὥστε καὶ ἐν δυϊκοῖς ἅπασι συνεμπίπτειν, καὶ καθ' ἑνικὰς ἐκφοράς, ὡς ἐπὶ οὐδετέρων, καὶ κατὰ πληθυντικάς, ὡς ἐπὶ τῶν συνῃρημένων πληθυντικῶν, οἱ ταχεῖς τοὺς ταχεῖς. οὐκ ἀλόγως δὲ καὶ διὰ τῆς ἐγκλίσεως τὸ σχῆμα τῆς αἰτιατικῆς ἐνδείκνυται, εἴγε εὐθεῖα οὖσα ἀδυνατεῖ ἐγκλίνεσθαι. οὐ χρὴ ἄρα ζητεῖν, διὰ τί οὐκ ὀρθοτονεῖται καὶ ἐπὶ τῆς αἰτιατικῆς. εἰ γὰρ λέγομεν, ὡς B ἀπὸ τῆς σέ ἐγένετο, χωρήσαντος τοῦ ε̄ εἰς ῡ, ὡς τῆλε τῆλυ καὶ λάζεται λάζυται, καταλείψομεν ζήτησιν, διότι οὐκ ὀρθοτονεῖται.

Argum. 2 Nominativus autem vocis sono saepissime par est vocativo. — 4 In σύγε attico quale sit γε illud, ex accentu non colligitur: efficitur per doricam τύγα, non inesse γέ vel γά particulam; ea enim ad res distinguendas pertinet, τύ autem accusativus, ut qui sit encliticus, indefinitus est, itaque ab illa particula abhorret. — 14 Τύ doricum accusativo casu inclinari, aliquid offensionis habet. Nam nullum pronomen inclinatum per eandem formam diversos casus significat; quaecunque pronomina secundae personae inclinantur, eodem casu et inclinatum et rectum tonum habent. Fortasse omnino non est accusativus, sed nominativus non legitime eius partes obtinet.

Discr. script. 1. κλιτικης A | 4. μερεσιν A | 6. οἷόν τε b, οιονται A | 8. δωριευσιν A | 11. τυ b, τοι A | εθηκεν A, ἔθηκε b | 21. οικειωται A | 22. ἐν δυϊκοῖς A b, qui falso ἐν in A esse negat | απασιν A | 29. οὐ χρὴ ἄρα ζητεῖν] fol. 164 v. | 28. ῡ b, συ erat in A, sed in ῡ mut. A[x] | 29.—30. λάζεται, λάζυται b, λαζετε λαζυτε A

Τὸ τῡ́νη ὠλιγωρῆϲθαί φαϲι, «καθὸ τείνει τὸ ῡ· εἰ γὰρ ἐγώ ἐγώνη, τοῦ αὐτοῦ χρόνου μένοντοϲ, χρῆ⟨ν⟩ καὶ ἀπὸ τοῦ τῦ τύνη». Τί γὰρ οὐ μᾶλλον τὸ τύ παραλόγωϲ ϲυνεϲτάλη ἤπερ τὸ τύνη ἐξετάθη; ἴϲωϲ δὲ καὶ αἱ διὰ τοῦ ν̄η τείνουϲι τὴν παραλήγουϲαν· ἰδοὺ γὰρ καὶ ἀπὸ τοῦ
C ἐμίν ἐμίνη καὶ τίν τίνη. ἴϲωϲ δὲ καὶ τῷ Βύνη καὶ μύνη ϲυνεξέδραμεν.

Βοιωτοὶ τού καὶ τούν καὶ τούγα.

Ἴ. Ταύτην οἱ μέν φαϲι παράλογον, ὅτι οὐ διὰ τοῦ ῡ· «ἀποβολῇ γὰρ τοῦ ϲ̄ τὰϲ κατὰ τὸ τρίτον ἀποτελεῖϲθαι, ϲοῦ οὗ, ϲόϲ ὅϲ.» οἱ δὲ εἰϲηγηϲάμενοι τὰϲ κατὰ τὸ τρίτον ὀρθοτονηθείϲαϲ ἀντανακλᾶϲθαι οὐ-
70 A δ᾽ὅλωϲ φαϲὶ τὸ ϲχῆμα ϲυϲτῆναι· «εἰ γὰρ μόνωϲ ὀρθοτονεῖται, καθότι εὐθείαϲ, δῆλον ὡϲ εἰϲ ϲύνθετον μεταληφθήϲεται, ὅπερ ἀϲύϲτατον, ϲύνθετον εὐθεῖαν γενέϲθαι.» — Ἀλλὰ πρὸϲ μὲν τοὺϲ τὴν γραφὴν μεμφομένουϲ ἐκεῖνο ἂν εἴποιμεν, ὡϲ ἡ ἀφαίρεϲιϲ τοῦ ϲ̄ κατὰ τρίτα ἔϲτιν, ⟨εἰ αἱ κατὰ τὸ δεύτερον ταῖϲ κατὰ τὸ πρῶτον ὁμοιοκαταληκτοῦϲιν,⟩ ἐμέθεν ϲέθεν ἕθεν, ἐμέ ϲέ ἕ· ἡ δὲ ϲύ τῇ ἐγώ οὐχ ὁμοιοκαταληκτεῖ· οὐκ ἄρα καὶ κατὰ τὸ τρίτον ὁμοιοκαταληκτήϲει. πιθανὸν γοῦν ἐϲτι φάναι ὅτι, εἰ τὸ δεύτερον πρὸϲ τὸ πρὸ αὐτοῦ διήλλαξε, καὶ τὸ τρίτον
B πρὸϲ τὸ πρὸ αὐτοῦ διαλλάξει. — Πρὸϲ δὲ τοὺϲ ἀϲύϲτατον ἡγηϲαμένουϲ λεκτέον, ὅτι μάτην ὑπέλαβον τὴν τῶν τρίτων ὀρθοτόνηϲιν ἀντανακλαϲμὸν ἀπαιτεῖν, εἴγε ἐντελῶϲ ὑπὲρ τούτου προείρηται. — Ἀξιοπιϲτότερόϲ τε ὁ Σοφοκλῆϲ μάρτυϲ, χρηϲάμενοϲ ἐν Οἰνομάῳ·

ἡ μὲν ὡϲ ἵ θάϲϲον᾽, ἡ δ᾽ὡϲ ἵ τέκοι παῖδα (fr. 418 Dindorf).

καὶ τὸ Ὁμηρικὸν ἔνιοι διὰ τοῦ ῑ γράφοντεϲ προϲπνέουϲιν,

ἐναλίγκιον ὡϲ ἵ ἅπαϲα (Χ 410),

C ἐκδεχόμενοι τὸ αὐτή, ἡ Ἴλιοϲ. ἀλλ᾽ εἰ καὶ ἐνταυθοῖ τὸν εἴ ϲυναπτικὸν ϲύνδεϲμον ἡ φράϲιϲ ἐπιζητεῖ, τὸ ἰωροί παρὰ Ἀττικοῖϲ ὁμολογεῖ τὴν

Argvm. 1 In τύνη paenultimam produci, cum τύ breve sit, non est quod mireris. Nam aut ν̄η exitus antecedentem syllabam longam reddit, aut illud aliorum similium analogiam secutum est. — 7 Ἴ formam vituperant, nam ut ex ϲοῦ οὗ, ita ex ϲύ ὕ fieri oportuisse. At haec lex non valet nisi prima secundaque eandem terminationem habent. — Alii ἵ propter accentum reiciunt; nam quoniam nominativus sit, erectum tonum habere, itaque reflexivum esse; reflexiva vero nominativo carere. At supra diximus, orthotonumena (in tertia persona) non usque reflexivorum vim habere. Praeterea ἵ et scriptorum testimoniis confirmatur et in compositis apparet.

Discr. script. 1. ολιγορειϲθαι A, ὠλιγορῆϲθαι b | φαϲιν A | 2. χρῆν b in var. lect., χρὴ A et b in textu | τι γαρ A, τί δὲ b | 5. καὶ τῷ b, και το A | 7. inscriptio maiusc. περι τηϲ ι, deinde ταυτην A | φαϲιν A | 14. εἰ αἱ — ὁμοιοκαταληκτοῦϲιν inserit RSkrzeczka | 15. ομοκαταληκτει A | 16. πειθανον A | γοῦν b, ουν A | εϲτιν A | 17. διηλλαξεν A | 20. εἴγε] 'Malim ὥϲγε' b in var. lect. | 22. restituit haec GDindorf, ει μεν ωϲει θαϲϲονα ειδωϲ ειτεκοι παιδα A | 25. καὶ b, καν A

ἀντωνυμίαν. τὰ γὰρ φυλαccόμενα περιέχει ἡ τοῦ ὠρεῖν cύνθεcιc. τὴν
πύλην φυλάccει πυλωρόc, τὴν θύρην θυρωρόc. οὕτω καὶ οἱ αὐτῆc τῆc
πόλεωc φύλακεc ἰωροί. καλοῦνται δὲ καὶ οἱ αὐθιγενεῖc παρὰ Ῥοδίοιc
ἴγνητεc, τῆc δαcείαc Ἀττικῶc προcελθούcηc. Τρύφων φηcὶ τὸν ἴον
ἐγκεῖcθαι, «ἀφ' οὗ θηλυκὸν τὸ ἴα, ἀφ' οὗ τὸ οἷοc κατὰ πλεοναcμὸν 71 A
τοῦ ō. καὶ εἰ τὸ αὐτόc εἰc τὸ μόνοc μεταλαμβάνεται,

Τυδείδηc αὐτόc περ ἐὼν προμάχοιcιν (Θ 99),

εὔλογον καὶ τὸ μόνοc εἰc τὸ αὐτόc». κα⟨ὶ το⟩ῦτο δέ φηcι, καθὸ οὐδεμία
ἀντωνυμία cυντίθεται μετ' ἄλλου μέρουc λόγου ἢ ἡ αὐτόc. ἀλλ' εἰ ἡ
αὐτόc cυντίθεται, οὐκ ἀπεμφαῖνον καὶ τὴν ἰcοδυναμοῦcαν τῇ αὐτόc
cυντίθεcθαι. — Δῆλον δὲ ὡc ἡ μετὰ δαcέοc βραχεῖα ἐκφορὰ τοῦ ī ἐλ-
λειπῆ αὐτὴν κατέcτηcε κατὰ τὴν χρῆcιν.

Ἡ ὅc τὴν ἴcην cημαcίαν ἔχει τῇ οὗτοc, B

ὃc γὰρ δεύτατοc ἦλθεν Ἀχαιῶν (α 286)

καὶ

ὃc γάρ ῥα μάλιcτα
ἥνδανε κηρύκων (ρ 172)·

καὶ Πλάτων ἦ δ' ὅc. Καὶ ⟨ὁμοίωc καὶ ἡ ὁ,⟩

ὁ δὲ προcέειπεν (Ξ 36)

ἀντὶ τοῦ οὗτοc,

ὁ δ' ἐρεύγετο οἰνοβαρείων (ι 374).

καὶ δῆλον ὡc ἀπ' αὐτῆc καὶ ἡ ὅδε παρῆκται καὶ ἡ οὗτοc, ᾧ λόγῳ C
καὶ ἀπὸ τοῦ τηλίκοc τηλικοῦτοc τηλικόcδε, ⟨καὶ ἀπὸ τοῦ τόcοc⟩ τοcόcδε
καὶ τοcοῦτοc, οὐδὲν πλέον cημαίνοντα τῶν πρωτοτύπων. — Εἴρηται
ὡc αἱ πλάγιαι ἀναλογώτεραι αἱ ἀπὸ τοῦ τ̄ ἀρξάμεναι, τούτου καὶ
τούτῳ, καὶ τοῦδε καὶ τῷδε, ἐπεὶ ἡ τοιαύτη παραγωγὴ τοῖc ἀπὸ τοῦ τ
ἀρχομένοιc παρείπετο. ἀλλὰ μὴν καὶ τὸ οὐδέτερον, ἀπὸ τοῦ τ̄ ἀρχό-
μενον καὶ κατ' εὐθεῖαν, διήλεγχε τὴν ἔλλειψιν τοῦ τ̄ κατ' εὐθεῖαν τοῦ 72 A
ἀρcενικοῦ καὶ θηλυκοῦ, εἴγε τὰ οὐδέτερα cυνάρχεται τοῖc ἀρcενικοῖc

---

Argum. 13 Ὅc est ubi idem significet quod οὗτοc; ab illo et ὅδε et οὗτοc derivata sunt. — Eorum quae formae a τ̄ incipiunt, analogiam sequuntur.

Discr. script. 1—2. τὴν πύλην φυλάccει aut τὸ πύλην φυλάccειν FGSturz, τὸ πύλην φυλάccει A et b in textu, qui in var. lect. priorem Sturzii emendationem praestare dicit | 2. τὴν θύρην FGSturz, τὸ θύρην Ab, ὃc πύλην et ὃc θύρην CWachsmuth | 3. Ῥοδίοιc JVoss, δωδιοιc Ab | 4. Τρύφων φηcί] fol. 165 r. | φηcιν A | τὸν ἴον A et b, qui in var. lect. iubet τὸ ἴον corrigi, ut corrigi voluit FGSturz | 5. τὸ ἴα b, τον ϊα A | 7. δ'αὐτόc Homerus | 8. καὶ τοῦτο RSkrzeczka, κα υτο Ab | φηcιν A | 9. μετ' b, μετα A | 11. δὲ b in var. lect., γὰρ Ab in textu | 11—12. ελλειπη A, ἐλλιπῆ b | 12. κατεcτηκεν A | 13. inscriptio περι του οc και ουτοc και οδε maiusc. A | 18. Καὶ ὁμοίωc — 22 καὶ ἡ οὗτοc sic locum restituit GUhlig, Καὶ δῆλον ὡc ἀπ' αὐτῆc καὶ ἡ ὅδε παρῆκται καὶ ἡ οὗτοc, ὅδε προcέειπεν ἀντὶ τοῦ οὗτοc· ὅδ' ἐρεύγετο οἰνοβαρείων· Ab, ἀντὶ τοῦ οὗτοc. καὶ δῆλον ὡc ἀπ' αὐτῆc καὶ ἡ ὅδε παρῆκται καὶ ἡ οὗτοc· eiectis versibus Homeri RSkrzeczka | 23. καὶ ἀπὸ τοῦ τόcοc b, om. A | 25. πλαγίαι b

καὶ θηλυκοῖϲ. καὶ ἡ κατ᾽ ἀρχὴν δαϲεῖα τὴν διὰ τοῦ τ̄ γραφὴν μαρτυρεῖ· ἡ γὰρ οῡ δίφθογγοϲ κατ᾽ ἀρχὰϲ τιθεμένη ψιλοῦται, οὐδαμόϲ, οὐρανόϲ, ὥϲτε καὶ τὸ ὅλον οὗλον ψιλῶϲ λέγεϲθαι καὶ ἔτι τὸν ὅρον οὗρον. καὶ οὐκ ἀντέκειτο τὸ οὕνεκα, ἐπεὶ ὅϲα τὸ τ̄ προϲλαμβάνει, ταῦτα ἀφαιρέϲει τοῦ τ̄ δαϲύνεται, τόϲοϲ — ὅϲοϲ, τηλίκοϲ —
B ἡλίκοϲ· καὶ ἐπεὶ τούνεκα, οὕνεκα δαϲέωϲ. ἐν γὰρ τῷ περὶ δαϲείαϲ περὶ τοῦ ἦμοϲ καὶ ὄφρα εἴρηται. ὁμόλογοϲ οὖν καὶ κα⟨τὰ⟩ τοῦτο ἡ ἔλλειψιϲ τοῦ τ̄. Δωριεῖϲ λέγουϲι τοῦτοι, ὅπερ πάλιν ὁμολογεῖ τὴν ἔλλειψιν τοῦ τ̄.

Διαφέρει ἡ οὗτοϲ καὶ ὅδε τῆϲ ἐκεῖνοϲ διαϲτηματικῆϲ. ἡ μὲν γὰρ πληϲιάζει κατὰ τὴν δεῖξιν, ὥϲτε καὶ ἐπιλαμβανόμενόν τινα φάναι οὗτόϲ με ἔπαιϲεν· ἡ δὲ πάντοτε ἐν ἀποϲτήματι. ἔτι ἡ μὲν καὶ κατὰ τὸ πρῶτον καὶ κατὰ τὸ δεύτερον πρόϲωπον ϲυντάϲϲεται, φυϲικῆϲ
C οὔϲηϲ τῆϲ ϲυντάξεωϲ· ὁ γὰρ ἑτέρου ἐπιψαύων πολὺ μᾶλλον ἑαυτοῦ·

οὗτοϲ ἐγὼ ταχύτατι,

Πίνδαροϲ ἐν Ὀλυμπιονίκαιϲ (IV 37)· ὁμοίωϲ καὶ ἐπὶ τῆϲ ὅδε·

ἔνδον μὲν δὴ ὅδ᾽ αὐτὸϲ ἐγώ (φ 207),

ὁ ποιητήϲ. ὦ οὗτοϲ, ἦ οἱῇ ϲτρατείαν ἐϲϲείϲθαι; Cώφρων Ἀνδρείοιϲ (fr. 23 Ahrens). ἡ δὲ ἐκεῖνοϲ μόνωϲ ἐπὶ τοῦ τρίτου. πάλιν γὰρ δὴ ⟨ἡ⟩

73 A κεῖνοϲ μὲν δὴ ὅδ᾽ αὐτὸϲ ἐγώ (ω 321)

ἀναπολεῖ τὸν ἐκ διαϲτήματοϲ χρόνου νοούμενον. Τὸ δ᾽ ἀναφορικῶϲ τίθεϲθαι κοινὸν καὶ τῆϲ ἐκεῖνοϲ καὶ οὗτοϲ καὶ ὅδε,

κεῖνοϲ ἀνήρ, ὅτ᾽ ἐμεῖο κυνώπιδοϲ (δ 145)·

οὗτοϲ ὁ Κροῖϲοϲ, Ἡρόδοτοϲ (I 6)·

τούϲδε δ᾽ ἔα φθινύθειν (Β 346)·

ὃϲ γάρ ῥα μάλιϲτα
ἥνδανε (ρ 172)·

τῆϲδε δ᾽ ἂν οὐ φθονέοιμι (τ 348).

B τοιοῦτο καὶ τὸ

νηῦϲ δέ μοι ἥδ᾽ ἕϲτηκεν ἐπ᾽ ἀγροῦ νόϲφι πόληοϲ (α 185)·

Argvm. 10 Ἐκεῖνοϲ semper ad rem spectat, quae distat, οὗτοϲ et ὅδε ea demonstrant, quae prope sunt; itaque οὗτοϲ et ὅδε etiam primam et secundam indicant, ἐκεῖνοϲ unam tertiam. Nullum ex iis non significat relationem.

Discr. script. 2. γὰρ οῡ b, γαρ η ου A | 3. ω in ωϲτε ex η factum ab A^x | 6. τούνεκα ChALobeck, τοῦνεκα b | 7. κατὰ τοῦτο b, κα (in fine versus) το υτο A | 10. inscriptio περι διαφοραϲ τηϲ ουτοϲ και οδε προϲ την εκεινοϲ maiusc. A | 11. ἐπιλαμβανόμενον] fol. 165 v. | τινά τινοϲ pro τινα conicit JGuttentag | 12. ἔπαιϲεν b, επεϲεν A | 18. ὁ ποιητήϲ b, ποιητηϲ A | οἱῇ HLAhrens, οιη A, οἵη b | ϲτρατείαν b, ϲτρατηαν A | ἐϲϲείϲθαι HLAhrens, ἐϲϲεῖϲθαι b | 20. δὴ ἡ b, δη A | 21. δὴ Ab, τοι Homerus | 23. οδ'ε A | 25. ηρωδοτοϲ A | 26. φθινύθειν b Homerus, φθινυθυϲκεν, non ut b adnotavit φθινυθεϲκεν, A | 29. τηϲδε δ'αν ου A, τήνδε δ'ἂν οὐ b, τῇ δ'οὐκ ἂν Homerus | 31. νηῦϲ b Homerus, ηυϲ A | ἥδ' KLehrs, ἦδ' b | πολιοϲ A

μεμπτέοι γὰρ οἱ ψιλῶϲ ἀναγνόντεϲ, ἵνα ὁ καὶ νοῆται, ὑπολαμβάνοντεϲ αὐτὴν δεικτικῶϲ μόνωϲ τίθεϲθαι.

Τὴν ἐκεῖνόϲ φαϲι τῷ ε̄ πλεονάζειν, «καθότι αἱ διάλεκτοι μαρτυροῦϲιν, Ἴωνεϲ κεῖνοϲ, Αἰολεῖϲ κῆνοϲ, Δωριεῖϲ τῆνοϲ. — τό τε ε̄ πρὸ τοῦ κ̄ κείμενον δαϲύνεται, ὅτε μὴ ἐν κλίϲει παρακέοιτο ἔξωθεν C προϲερχόμενον. τοῦ μὲν οὖν προτέρου Ἑκάτη, Ἑκάβη, ἑκάϲ, ἑκηβόλοϲ, ἑκών, κἂν ἀπὸ τοῦ εἴκω ἐνεϲτῶτοϲ ἐϲχηματιϲμένον ᾖ· τοῦ δὲ δευτέρου ἐκάλουν, ἔκλων, ἔκλυον. ἐχρῆν οὖν τὸ ἐκεῖνοϲ δαϲύνεϲθαι. — τὸ ἐν τρίτοιϲ προϲώποιϲ ε̄ δαϲύνεται, ἕθεν, ἕο, ἑοῖ· πῶϲ οὖν ψιλῶϲ τὸ ἐκεῖνοϲ»;

Ὑπὲρ τοῦ οὖν μὴ πλεονάζειν λεκτέον. αἱ διάλεκτοι καὶ ἀφαιροῦϲι καὶ πλεονάζουϲιν, ἑορτή ὁρτή, τελέωϲ λέωϲ, τρόμοϲ τέτρομοϲ, 74 A ἐγώ ἐγώνη. ἀλλὰ καὶ Ἀλκμὰν πρώτῳ

μάκαρϲ ἐκεῖνοϲ (fr. 14 Bergk^3)

φηϲί. — Ψιλοῦται τὸ ε̄ πρὸ τοῦ κ̄, ἔκταϲιϲ καὶ ἐκτόϲ. ἀλλ᾽ ἴϲωϲ τὴν πρόθεϲιν αἰτιάϲαιτο ἄν τιϲ· καὶ τὸ ἁπαλόϲ δαϲυνόμενον ἐπιφορᾶϲ γενομένηϲ τοῦ τ̄ ἐψιλώθη, ἀταλόϲ· ἴϲωϲ ἄρα καὶ τὸ κ̄ ἐκ δαϲέοϲ ἐψίλου τὸ ε̄. — [Αἱ ἀφαιρέϲειϲ ψιλὴν καταλιμπάνουϲι τὴν ἄρχουϲαν, λείβειν εἴβειν, φημί ἠμί, γαῖα αἶα· ἀλλ᾽ οὐκέτι τὸ ὗϲ ἀπὸ τοῦ B ϲῦϲ ἐψιλώθη, ὅτι ἀρκτικὸν ὂν τὸ ῡ δαϲύνεται. —] Τὸ ε̄ πλεονάζον ἐν διϲυλλάβοιϲ ἀναβιβάζει τὸν τόνον, ἔειπεν, ἔοργεν, ἔεδνα, ἔαδεν, εἰ πλεοναϲμόϲ· τὸ γὰρ ἑώρων διὰ τὸ χρονικὸν παράγγελμα οὐκ ἀνεβίβαϲε τὸν τόνον. πῶϲ οὖν οὐ προπαροξύνεται τὸ ἐκεῖνοϲ; — Τὸ ε̄ κατὰ τὸ τρίτον δαϲύνεται ἀφαιρουμένου τοῦ κατὰ τὸ δεύτερον ϲ̄, ϲέο ἕο, ϲέθεν ἕθεν· τὸ δὲ ἐκεῖνοϲ οὐχ οὕτωϲ ἔχει. — Τὸ ε̄ πλεονάζει ἐν ταῖϲ ἀπὸ φωνήεντοϲ ἀρχομέναιϲ λέξεϲιν, ἑώρων, ἐῳνο- C χόει, ἑόϲ, ἑέ, ἑοῖ, ἑῆϲ· πῶϲ οὖν ἐν τῷ ἐκεῖνοϲ πλεονάζει; ἐδείχθη γὰρ ὡϲ τὸ ἐχθέϲ ἐντελέϲτερον τοῦ χθέϲ καὶ τὸ ἐθέλω τοῦ θέλω. —

Argum. 3 In ἐκεῖνοϲ pronomine quidam ε̄ redundare censent; nam id 1) ex dialectorum formis apparere; 2) ε̄, quae κ̄ litterae praeponatur, aspero proferri praeter augmentum; 3) ε̄ in pronominibus tertiae denso spiritu dici. — 11. Quae refelluntur. 1) Ex dialectis nihil colligitur; 2) ε̄ ante κ̄ leniter aspirari solet; 3) ε̄ in tertia persona denso non aspiratur, nisi ϲ̄ littera, quam habet secunda, detracta est. — Praeterea ε̄ abundans ubi ad voces duarum syllabarum accedit, accentus retrahitur; — ε̄ non abundat, nisi in initio vocum, quae a vocalibus incipiunt; — ε̄ leni aspiratur, ubi per aphaeresin vocem relinquit non mutilam; — aliquid redundare plena forma indicatur: at plena κεῖ forma non exstat.

Discr. script. 1. μεμπαιοι, non ut b refert μεμπταιοι, A | 3. inscriptio περι τηϲ εκεινοϲ maiusc. A | τῷ ε̄ b, το ε A | 4. δωριεῖ A | 5. οτε A, ὅτι b | 9. ἑοῖ RSchneider, ἕοι b | 11. αφαιρουϲιν A | 12. τελεωϲ λεωϲ A, θέλω λῶ b | 15. τὸ ε̄ RSkrzeczka, τε Ab | 16. απαλοϲ, posteriore α littera correcta, A, ἁπαλόν b | 17. καὶ τὸ κ̄ Ab, καὶ τὸ τ̄ conicit JGuttentag | 18. Αἱ ἀφαιρέϲειϲ — 20. δαϲύνεται eicit RSkrzeczka | 21. ἀναβιβάζει τὸν τόνον] fol. 166 r. | εωργεν A | εαδε A | 22—23. ανεβιβαϲεν A | 26—27. εωινοχοει A | 27. ἑέ, ἑοῖ RSchneider, ἕε, ἕοι b

Τὸ ἀφαιρούμενον ε̄ καὶ λεκτὸν καταλιμπάνον ψιλοῦται· καὶ διὰ τοῦτο τὸ μὲν ἕcτηκα δαcύνεται, τὸ δὲ ἔcτηcα ψιλοῦται· ἐφ' οὗ μὲν γὰρ ἀφαίρεcιc,

cτῆcε δ' ἐν Ἀμνιcῷ (τ 188),

75 A καὶ λεκτόν, ἐφ' οὗ δὲ οὐκέτι. ὑγιῶc ἄρα καὶ τὸ ἐκεῖνοc ψιλοῦται, εἴγε ἡ ἀφαίρεcιc λεκτὸν καταλιμπάνει. — Τὸ πλεονάζον καὶ διὰ τοῦ πλεονάcματοc καὶ διὰ τοῦ ὁλοκλήρου πολὺ πρότερον cημαίνεται, ἀδελφεόc ἀδελφόc, ἑόc ὅc· πῶc οὖν, εἴπερ ἐκεῖ, πῶc οὐχὶ καὶ κεῖ;

Αἰολεῖc κῆνοc·

φαίνεταί μοι κῆνοc ἴcοc θέοιcιν
ἔμμεν ὤνηρ,

Cαπφώ (fr. 2 Ahrens Bergk³). Δωριεῖc τῆνοc· καθαιρημένοc θην B καὶ τῆνοc ὑπὸ τῶ χρόνω, Cώφρων (fr. 10 Ahrens). cπανίωc διὰ τοῦ κ̄·

καὶ κῆνοc ἐν cάλεccιν πολλοῖc ἥμενοc,

Ἀλκμάν (fr. 13 Bergk³).

Δεικτικώτεραι γινόμεναι προcλαμβάνουcι τὸ ῑ, οὑτοcί, ὁδί, ἐκεινοcί. cπανίωc γὰρ ἐπ' ἀναφορᾶc, ὡc παρὰ Δημοcθένει Cάτυροc οὑτοcί (p. 401, 16 Reiske). οἰκεία ἡ κατὰ τὸ τέλοc ὀξεῖα ἐπὶ τούτων, εἴγε τὰ δεικτικώτερα μᾶλλον τοῖc τέλεcι τὴν ὀξεῖαν προcνέμει.

C ⟨Ἡ⟩ ὁ δεῖνα παρ' Ἀττικοῖc πολλάκιc [καὶ] ἐπὶ τοῦ τυχόντοc λαμβανομένη, παρὰ δὲ Cυρακουcίοιc δίχα τοῦ ᾱ, οὐχ ὁδεῖν τυ ἐπικαζε, Cώφρων Ἀνδρείοιc (fr. 24 Ahrens). Οὐ κατὰ πρόcθεcιν ἡ ὁδί προcλαβοῦcα τὸ ν̄ ἐγίνετο ὁδῖν, καθάπερ καὶ ἡ οὑτοcίν καὶ ἡ ἐκεινοcίν

Argvm. 9 Aeoles κῆνοc, Dores τῆνοc, rarius κῆνοc forma utuntur. — 17 Οὗτοc ὅδε ἐκεῖνοc ῑ litteram, cui vis ostendendi subiecta est, in fine assumunt demonstrationis, rarius relationis causa. — 21. Falluntur, qui ὁ δεῖν ex ὁδί ὁδίν factum esse censent. Nam et oxytonon esset, et eandem haberet notionem atque ὁδί; nec in fine flecteretur, sed ab interiore parte. Aut nativum est aut ex ὁ δεῖνα per apocopen factum.

Discr. script. 7. cημαίνεταϊ RSchneider, cημαίνει Ab; GUhlig cημαίνει servat, sed pro καὶ διὰ τοῦ πλεονάcματοc scribendum esse τὰ τοῦ πλεονάcματοc conicit | 8. πῶc b, ουχι πωc A, sed ουχι deletum ab A¹ | 10. φαίνεταί μοι Ab ThBergk. 'In principio scr. Φαίνετοί Foι. Cf. infra p. 106 A 3' b in var. lect., φαίνεταί Foι HLAhrens | θέοιcιν HLAhrens ThBergk, θεοῖcιν b, θεοιc A | 11. ἔμμεν Ab ThBergk, ἔμμεν' HLAhrens | 12. καθαιρημένοc HLAhrens, καθηρημένοc Ab | 13. τῶ χρόνω Ab, τῷ χρόνῳ HLAhrens ex Excerptis Vossianis | 15. κῆνοc HLAhrens ThBergk, κεῖνοc Ab | cάλεccιν CdePauw GHermann, cάλεcιν Ab | 17. δεικτικοτεραι A | προcλαμβανουcιν A | 18. ωc παρα A, παρὰ b | 20. δικτικοτερα A | τελεcιν A | 21. inscriptio περι τηc ο δεινα και ο δειν maiusc. A | Ἡ b, om. A | καὶ delet RSkrzeczka | 22. οὐχ ὁδεῖν b, οὐχ' ὁδεῖν HLAhrens, ουχ οδιν A | επικαζε] 'ἐπικηκάζειν . . fortasse etiam Sophroni retribuendum pro ἐπικάζειν' ChALobeck, τί ἐπείκαζε pro τυ επικαζε JGuttentag | 23. post οδι erasa est ν littera ante προcλαβουcα in A | 24. ἐγίνετο b, εγινετο το A, sed alterum το delevit A¹ | οὑτοcίν καὶ ἡ ἐκεινοcίν παρ' b, ουτοc και η εκεινοcιν (non εκεινοc ιν̄, ut b enotavit) παρα A

παρ' Ἀττικοῖc. πρῶτον γὰρ ἂν καὶ τὸν τόνον ἐφύλαccεν ὀξύν, καθάπερ καὶ τὸ οὑτοcί· ἔπειτα ταὐτὸν ἂν ἐcήμαινεν, ὥcπερ καὶ αἱ προκείμεναι καὶ καθόλου πᾶcα πλεονάcαcα cτοιχείῳ λέξιc. νῦν δὲ τὸ μὲν 76 A ὁδί ὀξύνεται, καὶ δεικτικόν ἐcτι· τὸ δὲ ὁδεῖν καὶ περιcπᾶται, καὶ ἐπί τινοc τυχόντοc παραλαμβάνεται. ἔπειτα τὰ πλεονάcαντα ἔcωθεν κλίνεται, τουτονί καὶ τουτουΐ· πῶc οὖν τοῦ δεῖνοc ἔξωθεν ἡ κλίcιc; ἄμεινον οὖν ἦν θέμα καταλιπεῖν, ἢ ἀποκοπὴν τοῦ ὁδεῖνα, ἵνα καὶ τὰ τοῦ τόνου cυμφωνῇ καὶ τὰ τῆc cημαcίαc. [βέλτιον θέμα, ἐπεὶ καὶ αἱ ἀποκοπαὶ ἄκλιτοι.]

«Πᾶν πτωτικὸν ἢ κατὰ τὸ τέλοc τὴν κλίcιν ποιεῖται, ἢ πρὸ τέλουc, B ὅτε ἐπεκτέταται, ὡc ἐν τῷ τοιοῦδε, τοιῷδε· πῶc οὖν τοῦ δεῖνοc καὶ ἔτι τοῦ δείνατοc, καὶ τῷ δεῖνι καὶ τῷ δείνατι, δύο κλίcειc ἀνεδέξατο; πῶc δὲ καὶ δύο τόνουc, πάcηc λέξεωc μίαν ὀξεῖαν ἐχούcηc ἢ περιcπωμένην;» — Πολλάκιc καὶ ἐπ' ὀνομάτων καθ' ἑνὸc ὑποκειμένου δύο κλίcειc γίνονται, Νέα πόλιc Νέαc πόλεωc, ἀγαθὸc δαίμων ἀγαθοῦ δαίμονοc· οἷc ἐξ ἀνάγκηc παρέπεται καὶ τὸ διτονεῖν, ὅτι καὶ δύο κλίcειc. οὐ πιθανὸν οὖν καὶ τουδεῖνοc ὡc cωλῆνοc προφέρεcθαι, C ὥc φηcι Τρύφων (p. 31 Velsen), «ἵνα μὴ διτονήcῃ ἡ λέξιc», δύο κλίcεων γινομένων.

Τὰc κατὰ τὸ τρίτον πρόcωπον, λέγω δὴ τὴν ἵ καὶ τὰc cυζύγουc, ἀναφορὰν προcώπων δηλούcαc, cυμβέβηκε μεταλαμβάνεcθαι εἰc τὴν αὐτόc καὶ αὐτή καὶ αὐτό, εὐλόγωc, ἐπεὶ καὶ αὐτὴ ἀναφέρεται πάν- 77 A τοτε ἐπί τι πρόcωπον, ὅτε μὴ ἐπιτέτακται πρώτῳ καὶ δευτέρῳ· ἀλλὰ καὶ ἡ οὗτοc καὶ ἡ ἐκεῖνοc μεθίcτανται εἰc αὐτήν· κατὰ γὰρ τοῦ αὐτοῦ προcώπου νοεῖται τὸ ἐκεῖνοc ἐνίκηcε, τοιγαροῦν αὐτὸc τιμῆc

Argum. 10 Mirum non est τοῦ δεῖνοc, cum una vox esse videatur, dupliciter flecti duosque assumere accentus. Nam etiam nomina interdum, cum unam rem significent, duplici et flexione et tonosi utuntur. — 19 ῞Ι pronominis obsoleti locum obtinuit αὐτόc. Pro eo οὗτοc et ἐκεῖνοc ponuntur, non rursus αὐτόc pro illis.

Testim. 19 Prisc. XII, 5 p. 579, 22 Hertz *'ipse' quoque in tertia persona, ut dictum est, per se positum ad recordationem personae refertur iam cognitae; recte igitur demonstrationem, quae significatur per 'ille' et 'iste' pronomina, reparat memoriae pronomen, quod est 'ipse'; non tamen etiam 'ille' et 'iste' referri ad pronomen 'ipse' possunt: prima enim cognitio est per demonstrativa pronomina, secunda vero per relativa.*

Discr. script. 7. ἦν b, ἢ A | 7—8. τὰ τοῦ τόνου b, τα του νου A | 8. cυμφωνει A | βέλτιον — 9. ἄκλιτοι eicit RSkrzeczka | 11. επεκταται A | δεῖνοc b, δινοc A | 12. δεῖνι b, δινι A | 15. Νέα πόλιc — Νέαc πόλεωc ChALobeck, νέα πόλιc — νέαc πόλεωc Ab | ἀγαθὸc δαίμων ChALobeck, ἀγαθοδαίμων Ab | 17. πειθανον A | 20. Inscriptio αρχη του ι του εν τω τριτω προcωπω οπερ cημαινει το αυτοc και εκεινοc maiusc. A | 25. ενικηcεν A

μεταλήψεται. οὐκέτι δὲ καὶ ἡ αὐτός εἰς τὸ ἐκεῖνος, οὐδὲ αἱ σύ-
ζυγοι, αὐτὸς ἐνίκησε, τοιγαροῦν οὗτος χαρήσεται· δύο γὰρ τὰ
νοούμενα πρόσωπα. τοῦτο δὲ συμβέβηκεν, ἐπεὶ ἡ μὲν ἐκεῖνος καὶ ἡ
οὗτος, δεῖξιν σημαίνουσαι, τὴν ὑπόγυιον γνῶσιν τοῦ προσώπου παρι-
B στᾶσιν, ἡ δὲ αὐτός ἐπ' ἀναπολούμενον πρόσωπον φέρεται. ὀρθῶς οὖν
ἐπὶ τὴν διὰ τοῦ ἐκεῖνος δηλουμένην δεῖξιν ἐπαναπολεῖται ἡ αὐτός,
οὐκέτι μέντοι ⟨ἡ⟩ ἐκεῖνος ἢ οὗτος ἐπὶ τὴν αὐτός δύναται ἀναπέμ-
πεσθαι· πρώτη γὰρ ἡ διὰ τῶν δεικτικῶν ἀντωνυμιῶν γνῶσις.

Οὐ μόνον δὲ διαφέρει τῶν κατὰ τὸ τρίτον φωνῇ, ᾗ αἱ μὲν ἀπα-
ρέμφατοι γένους διὰ τῆς φωνῆς, (οἷ γὰρ καὶ ἕ), ἡ δὲ καὶ διὰ τῆς
φωνῆς γένους ἐστὶ παραστατική, ἀλλ' ᾗ καὶ πρώτῳ καὶ δευτέρῳ συν-
C τάσσεται, αἱ δὲ οὔ. καὶ αἱ μὲν ἀκωλύτως ὀρθοτονοῦνται καὶ ἐγκλίνον-
ται, ἡ δὲ μόνως ὀρθοτονεῖται, ἀναμφιλέκτως μὲν κατὰ πᾶσαν πτῶσιν,
κατὰ δὲ αἰτιατικὴν οὐκ ἀναμφιλέκτως. τινὲς μὲν γὰρ ἐγκλίνουσιν, ὅτε
ἀπόλυτος ἡ σημασία, καθάπερ ἐκείνη ἡ ἀνάγνωσις

κόψε γάρ αὐτον ἔχοντα (Μ 204).

Τρύφων (p. 28 Velsen) δὲ παρῄνει καὶ ταύτην ὀρθοτονεῖν, «καθὸ αἱ
78 A τριγενεῖς τῶν ἀντωνυμιῶν μόνως ὀρθοτονοῦνται, αἱ δὲ ἐγκλινόμεναι οὔποτε
γένους ἐμφατικαὶ διὰ τῆς φωνῆς. — καὶ καθὸ αἱ κατὰ γενικὴν καὶ δο-
τικὴν μὴ ἐγκλιθεῖσαι οὐδὲ κατ' αἰτιατικήν· οὔτε δὲ ἡ αὐτοῦ οὔθ' ἡ
αὐτῷ ἐγκλίνονται, οὐκ ἄρα οὐδὲ ἡ αἰτιατική. — ἔτι αἱ ἐγκλινόμεναι καὶ
ὀρθοτονούμεναι κατὰ τὸ τρίτον, ἡνίκα ὀρθοτονοῦνται, πάντως καὶ
ἀντανακλῶνται, ἡ δὲ αὐτόν οὐκέτι.»

Ἀλλὰ ἀντίκειται τὸ σημαινόμενον· διαφέρει γὰρ τὸ ἔπαισέν αὐτον
B ἐγκλινόμενον τοῦ ὀρθοτονουμένου· ὃ μὲν γὰρ ἔμφασιν ὑπεροχῆς ση-
μαίνει, λέγω δὲ τὸ ὀρθοτονούμενον, ὃ δὲ καὶ ἐπ' εὐτελοῦς τινος τάσ-
σεται. αἱ γένους παραστατικαὶ καὶ δεῖξιν σημαίνουσαι ἀλλότριαί εἰσιν
ἐγκλίσεως· οὐδὲν οὖν τὸ κωλῦον τὴν αὐτόν ἐγκλίνειν, ἀμοιροῦσαν

Argvm. 9 Αὐτός a primitivis tertiae differt 1) ea re, quod genera terminatione distinguit; 2) quod cum primitivis primae secundaeque construitur; 3) quod usque rectum tonum habet praeter αὐτόν, quod inclinant quidam, ubi absoluta est eius significatio. — 17 Etiam αὐτόν recto tono proferri iubet Trypho; nam 1) pronomina trium terminationum rectum tonum servare; 2) quorum nec genetivus nec dativus inclinetur, eorum ne accusativum quidem inclinari; 3) quaecunque modo inclinata modo orthotonumena sint, ubi rectum tonum servent, reflexiva esse. — 24 At vero 3) αὐτόν etsi reflexivum non est, tamen differt notione orthotonum ab inclinato; 1) non est satis pronomen trium terminationum esse, sed demonstrandi vim habere oportet, ut inclinationem aspernetur.

Discr. script. 1. εκεινος A, idem coniecerat RSkrzeczka, ἐκεῖνο b, ⟨οὗτος καὶ⟩ ἐκεῖνος JGuttentag | 2. ενικησεν A | 4—5. παρίστασιν b, παριστασι A | 7. ἡ ἐκεῖνος b, εκεινος A | 10. γένους] fol. 167 r. | 11. εστιν A | 15. σημασία b, σημια A | 17. καὶ ταύτην b, καταυτην A | 20.—21. ουθ η αυτω A, οὔτε ἡ αὐτῷ b | 25. ορθουτονουμενου A

δείξεως. ἔτι δεικτικώτεραι γινόμεναι διὰ τοῦ ῐ ἐπεκτείνονται, οὑτοςί, ὁδί· ἀλλ' οὐκέτι ἡ αὐτός, οὐδὲ γὰρ δεικτική.

«Οὐχ ὑγιὲς λέγειν, ἐπεὶ καὶ τὸ ἕ ἐγκλίνεται, εὐθέως καὶ τὸ μεταλαμβανόμενον αὐτόν. ἰδοὺ γὰρ τὸ

ἐπεί ἑο κήδετο λίην (ξ 461) C

καὶ τὸ

καί οἱ ἐπευχόμενος (Φ 121)·

καὶ τὰ μεταλαμβανόμενα ταύτης τῆς τάσεως οὐ τυγχάνει.» Ἅπερ οὐκ ἤγειρε τὴν ὑπερκειμένην συλλαβὴν εἰς ὀξεῖαν, ὁμοίως τῇ αὐτόν αἰτιατικῇ, ἐπεὶ τοῖς τετραχρόνοις τὸ ἐγκλιτικὸν οὐ παρείπετο· οὐδὲ κατὰ τὴν προτέραν συλλαβὴν ὠξύνθη, ὅπερ τοῖς τετραχρόνοις παρηκολούθει, 79 A ὡς ἐπὶ τοῦ ἔδωκεν ἧμιν, ἥρπασεν ἧμων, ἐπεὶ Αἰολικώτερα τὰ τῆς προφορᾶς καθίστατο. ὅθεν οὐδὲ ἐπὶ τῆς ἀπολελυμένης σημασίας δεῖ τὸν τόνον τῆς περισπωμένης τρανότερον προφέρεσθαι, ἀλλὰ νοεῖν ὅπως τὸ τῆς ἐγκλίσεως σχῆμα φυλάσσηται.

Προείρηται ὡς παντὶ προσώπῳ ὀρθοτονουμένῳ σύνεστι, διὸ καὶ ἐπιταγματικὴ ἐκαλεῖτο ὑπὸ Ἀριστάρχου. Ἀλλὰ μὴν καὶ κτητικαῖς συντάσσεται, γενικῆς πτώσεως οὖσα. καὶ σαφές ἐστιν ὡς πάλιν σύνταξιν B ἔχει τῆς πρωτοτύπου, ἥτις ἐν τῷ κτήτορι νοεῖται κατὰ γενικήν,

αὐτῶν γὰρ σφετέρῃσιν (α 7),
ἢ ἑὸν αὐτοῦ χρεῖος (α 409)·

τὰ γὰρ ἐντὸς πρόσωπα τούτων ἐν γενικῇ πτώσει νοεῖται.

Μόνη διπλασιάζεται παρὰ Δωριεῦσιν ἡ αὐτός ἐν τῷ αὐταυτός, αἱ

Argum. 3 'Absurdum est dicere', inquit Trypho, 'ideo quod ἕ inclinetur, etiam id inclinari, quod pro eo usurpatur, αὐτόν; nam etiam οὗ οἷ enclitica sunt, non sunt quae in eorum locum substituuntur, αὐτοῦ αὐτῷ'. Quae non possunt comparari cum αὐτόν, quod omnino inclinari nequeunt; nam si accentum retraherent, aeolicae formae evaderent. — 16 Omni primitivo recto tono notato adicitur αὐτός, cuius genetivus etiam cum possessivis construitur. — 23 Unum αὐτόν geminatur, unum componitur, cum pronominibus ita, ut posteriorem, cum aliis vocabulis ita, ut priorem locum occupet.

Testim. 16 Prisc. XII, 6 p. 580, 11 Hertz *'ipse' vero omnibus verbis adiunctum perfectionem habet: 'ipse dedi', 'ipse dedisti'. ergo hoc pronomen ἐπιταγματικόν, hoc est impositivum vel subiunctivum, vocant Graeci, quod vel subiungit vel subiungitur alteri pronomini.*

Discr. script. 1. ἔτι — 2 δεικτική eicienda esse censet RSkrzeczka | δεικτικοτεραι A | 3—4. μεταλαμβανόμενον αὐτόν aut μεταλαμβανόμενον τὸ αὐτόν RSkrzeczka, μεταλαμβανόμενον καὶ αὐτόν Ab, 'Fortasse, τὸ μεταλαμβανόμενον εἰς αὐτό vel εἰς αὐτήν' b in var. lect. | 9. ηγειρην A | 10. τὸ ἐγκλιτικὸν GUhlig, τῶν ἐγκλιτικῶν Ab | 12. ἧμιν GUhlig, ἡμῖν b | 13. απολλυμενης A | 14. τρανωτερον A | ἀλλὰ νοεῖν Ab, ἀλλ' ἀνιέναι KLehrs | 15. ὅπως b, o$^{\pi\omega c}$ A, litterae πως ab A' | 16. συνεστιν A | 16.—17. διὸ καὶ ἐπιταγματική] fol. 167 v. | 21. ἢ b | 23. ε littera vocis εν ex η facta ab A^x in A | αυ,ταυτος A, αὐταυτός HLAhrens, αὔταυτος b | αἱ δε A, αἱ δὴ b, αἱ HLAhrens

δὲ μὴ ἐγὼν ἔμαθον ταῖς αὐταυτᾶς χερσίν, Cώφρων (fr. 65 Ahrens). Μόνη συντίθεται μετὰ ἀντωνυμιῶν κατὰ τέλος καὶ μετὰ ἄλλων μερῶν λόγου ἐν ἀρχῇ, αὐτάρεσκος, αὐτοδίδακτος. καὶ διὰ τοῦτο ἐσημειοῦτο τὸ φίλαυτος· εἴρηται ἡ αἰτία ἐν τῷ περὶ σχημάτων.

Ἐπεὶ πρώτῳ καὶ δευτέρῳ συντάσσεται προσώπῳ καὶ τρίτῳ, ὑπέλαβόν τινες αὐτὴν κοινὴν τῶν τριῶν προσώπων καθεστάναι. Πρὸς
80 A τοῦτο φαίημεν, ὅτι πρώτου καὶ δευτέρου νοεῖται διὰ τὰς συντάξεις τῶν ἀντωνυμιῶν ἢ ῥημάτων, αὐτὸς ἔδωκα, αὐτὸς ἰδέ· αὐτὴ μέντοι κατ' ἰδίαν τρίτου ἐστί· καὶ δῆλον ἐκ τῶν ἀπαρεμφάτων, ἅπερ ἀντωνυμίᾳ συντασσόμενα παρεμφατικὰ γίνεται προσώπου· τὸ γὰρ ἐμὲ γράφειν πρώτου καὶ τὸ σὲ γράφειν δευτέρου. ἐν ᾧ οὖν αὐτόν φαμεν γράφειν καὶ τρίτου νοεῖται, ὁμόλογον ὅτι τὸ αὐτός τρίτου προσώπου. — τὸ δὲ μεῖζον· αἱ κατὰ τὸ τρίτον εἰς αὐτὴν μεταλαμβά-
B νονται, ὅπερ οὐκ ἐνδεχόμενον, εἰ μὴ καὶ αὐτὴ τρίτου προσώπου καθειστήκει.

Τινὲς ἐπεχείρησαν εἰς τὰ ὀνόματα μεταλαμβάνειν τὴν αὐτός, «καθὸ ἰσοδυναμεῖ τῷ μόνος,

Τυδείδης αὐτός περ ἐών (Θ 99),

καὶ καθὸ ἄρθρου ἐπιδεκτική, τῶν εἰς ος πρωτοτύπων μὴ ἐπιδεχομένων τὰ ἄρθρα. — σύγκρισίν τε καὶ παραγωγὴν ἀνεδέξατο, ὡς ἐν Ἀλκυόνι

Argvm. 5 Αὐτός quod cum prima secunda tertia construitur, quidam trium personarum commune existimarunt. At per se tertiae est. — 16 Αὐτός nomen esse ut comprobent, quattuor argumenta afferunt, quae deinceps refelluntur. 1) Si αὐτός idem esse potest quod μόνος, non sequitur ut eidem orationis parti tribuatur. 2) Articulus cum nomine coniunctus unam, cum αὐτός plures relationes indicat. 3) Comparativus fictus est ut risus moveretur. 4) Ex accentu nihil colligitur.

Testim. 5 Prisc. XII, 5 p. 579, 28 Hertz *quidam commune existimaverunt, quia tribus adiungitur personis: 'ego ipse', 'tu ipse', 'ille ipse'; non est tamen verum; figurate enim vel discretionis vel significantiae causa primae et secundae adiungitur. quod autem tertiae est, ostenditur ex eo quod dicimus 'ego feci', 'tu fecisti', 'ipse fecit', et quod tertiae personae in id transferri possunt, quod maxime in interrogationibus animadverti potest. numquam enim interrogante aliquo 'quis dixit?' 'quis fecit?' 'quis audivit?' respondemus 'ipse' pro 'ego' vel pro 'tu', sed pro aliqua tertia persona. quidam etiam nomen hoc putaverunt, quia est quando pro 'solus' accipitur . . sed hic quoque per significantiam vel discretionem profertur. Nam cum pro nomine accipitur, quod suum est pronominis implet.*

Discr. script. 1. ἔμαθον HLAhrens, μαθον A, ἔματτον LCValckenaer b | αὐταυτᾶς HLAhrens, αυ,ταυταις A, αὐταύταις b | 3. αὐτάρεσκος (vel αὐθαίρετος) RSkrzeczka, αυταρεστος A, αὐτάρετος b | 6. τινες αυτην A, αὐτήν τινες b | καθιστᾶναι A | 7. φαιημεν A, φαίημεν ἄν b | 9. εστιν A | 9—10. αντωνυμιαι A, ἀντωνυμίαις b | 10. τ in συντασσομενα corr. in A ab A^x; quid ante fuerit non cernitur | προσωπου A, προσώπων b | 14—15. καθιστηκει A | 16. επεχειρισαν A | μέτάλαμβανειν A

Ἐπίχαρμος, αὐτότερος αὐτῶν (fr. 2 Ahrens). — ὀξύνεταί τε ὁμοίως C
τῷ καυτός, τῶν ἄλλων βαρυτονουμένων.» Πάνυ δ' εὐήθη τὰ προκεί-
μενα. οὐ γὰρ τὰ ἀντί τινων μερῶν λόγου παραλαμβανόμενα ταὐτά
ἐστιν ἐκείνοις. τὸ Ἴλιον εἴσω (Α 71) ἀντὶ τοῦ εἰς Ἴλιον, καὶ τὰ
ἐπιρρήματα οὐ ταὐτὰ ταῖς προθέσεσι. τὸ βριθομένη (Θ 307) μετο-
χικὸν ἀντὶ τοῦ βρίθεται, καὶ οὐ πάντως ῥῆμα καὶ μετοχὴ ταὐτόν.
ἄλλα μυρία. — διὰ τί ἄρθρου ἐστὶ δεκτική, εἴρηται. ἄλλως τε τοῖς
μὲν ὀνόμασι τὸ ἄρθρον προσελθὸν μιᾶς ἀναπολήσεώς ἐστι παραστατικόν, 81 A
ὁ ἄνθρωπος ἦλθεν, ὁ καὶ πάλαι γινωσκόμενος· ἐν δὲ τῷ ὁ αὐτός
πλείονες αἱ ἀναφοραί. — ἕνεκα γελοίου ἡ κωμῳδία σχήματά τινα
ἔπλασεν, ὥστε οὐ κριτήριον τῆς λέξεως τὸ αὐτότερος, ἐπεὶ καὶ Δανα-
ώτατος ὑπερτίθεται παρὰ Ἀριστοφάνει, τῶν κυρίων οὐ συγκρινομένων.
— εἰ δὲ καθὸ ὀξύνεται, ὄνομα, καὶ τὸ ἐκεῖνος ὅμοιον τῷ Φιλῖνος καὶ
τὸ οὗτος τῷ κοῦφος, καὶ οὐ πάντως ὀνόματα.

Ἀντ' ὀνομάτων παραλαμβάνεται, ὅπερ ἴδιον ἀντωνυμιῶν. — ἐδείχθη B
τε ὡς αἱ κατὰ τὸ τρίτον εἰς αὐτὴν μεθίστανται, καθὸ δυνάμει αἱ αὐταί
εἰσιν ἀντωνυμίαι. — τὰ τοῦ πρώτου καὶ δευτέρου προσώπου ῥήματα
⟨ἀντωνυμίαις⟩ παρατιθέμενα αὐτοτέλειαν ποιεῖ, ἐγὼ ἔγραψα, σὺ ἐλά-
λησας· ὀνόμασι δὲ οὔ, εἰ μὴ τὸ λέγεσθαι ἢ ὑπάρχειν ἤ τι τούτοις ἰσο-
δυναμοῦν, Δίων λέγομαι, Θέων ὑπάρχω. ἡ δ' αὐτός ἅπασι ῥή-
μασιν, αὐτὸς λέγω, αὐτὸς ἔδωκα. — εἰ τὰ τέλη τῶν συνθέτων C
ἐπικρατεῖ, καὶ τὸ εὔτακτος ὄνομα καὶ τὸ χειρογραφῶ ῥῆμα, πῶς οὐχὶ
γέλοιον τὸ μὲν σαυτοῦ καὶ ἐμαυτοῦ ἀντωνυμίας φάναι, τῆς αὐτοῦ
ἐγκειμένης κατὰ τὸ τέλος, τὸ δὲ τέλος ὄνομα;

Ἐμοῦ. Ὁμοφωνοῦσα αὕτη κτητικῇ τῇ ἀπὸ τῆς ἐμός, κατὰ τὰ
λοιπὰ σχήματα διαστέλλεται· ἐμοῖο γὰρ ἡ παρὰ τὴν κτητικήν, ἡ 82 A
δ' ἐμέο καὶ ἐμεῦ καὶ ἐμέθεν καὶ ἐμεῖο παρὰ τὴν πρωτότυπον. καὶ
ἔτι ἡ μὲν ἔγκλισις παρακολουθεῖ, ἡ δ' οὔ. — Ἀλλὰ καὶ ἡ μοῦ μονο-

---

Argum. 15 Αὐτός pronomen esse, quattuor argumentis comprobatur. — 25 Genetivi singularis primae personae. Una ἐμοῦ forma primitivi congruit cum genetivo possessivi, qui tamen nunquam inclinatur, cum ipsa inclinabilis sit; ceterae primitivi et possessivi formae diversae sunt.

Discr. script. 1. 'Mox autem scribendum fortasse, ὀξύνεταί τε ὁμοίως τῷ καυτός vel κλαυτός' b in var. lect., ὀξύνεταί τε ὁμοίως τὸ καὶ αὐτός Ab in textu | 5. προθέσεσιν b, προθεσιν A | 7. (αλλα μυρια) A | διὰ τί ἄρθρου ἐστὶ] fol. 168 r. | εστιν A | δεκτική b, δεικτικη A | 8. ονομασιν A | εστιν A | 13. Φιλῖνος b, Φιλεῖνος JGuttentag, φιλανθρωπος A | 14. κοῦφος b, κουφως A | 16. καθὸ b, και καθο A | 18. ἀντωνυμίαις b, om. A | 19. ονομασιν A | τούτοις b, τοιουτοις A | 20. δ' A, δὲ b | απασιν A | 21. εδωκα A, ἔδωκας b | 23. αυτου A, αὐτός b | 25. inscriptio περι της εμου maiusc. A | κτητικῇ τῇ ἀπὸ τῆς ἐμός Ab, γενικῇ τῇ ἀπὸ τῆς ἐμός vel γενικῇ τῇ ἀπὸ τῆς ἐμός κτητικῆς RSkrzeczka, ⟨τῇ⟩ κτητικῇ τῇ ἀπὸ τῆς ἐμός JGuttentag | 26. ἡ b, η A*, quid ante fuerit non liquet

cύλλαβος τῆς ἐμοῦ διcυλλάβου προείρηται τίcι διαφέρει. — Λείπεται
διαλαβεῖν, δι' ἣν αἰτίαν ἡ ἐμαυτοῦ cύνθετος μεταλαμβάνεται εἰς τὴν
ἐγκεκλιμένην, οὐκέτι δὲ εἰς τὴν ὀρθοτονουμένην. τὸ γὰρ

πρὸς ταῖς ἐμαυτοῦ νῦν θύραις (Menandri fr. CCXCIII Meineke)

ἴσον ἐστὶ τῷ πρὸς ταῖς θύραις μου, αὐτὸ μόνον τῆς ἀντιδιαστολῆς
B ἀφῃρημένον. εἰ δὲ ἐντελῶς ἐδείχθη, ὡς αἱ ὀρθοτονούμεναι τῶν ἀντω-
νυμιῶν, ὅτε τὴν τοῦ ῥήματος διάθεσιν ἐφ' ἕτερον οὐκ ἔχουσι πρόσωπον
συντείνουσαν, πάντως εἰς σύνθετον μεταλαμβάνονται, ὁμόλογον ὡς καὶ
ἐπὶ τοῦ πρώτου καὶ δευτέρου ταὐτὸν παρακολουθήσει. περισσὸν ἄρα
ζητεῖν, διὰ τί αἱ σύνθετοι ⟨οὐ⟩ μεταλαμβάνονται εἰς ἁπλᾶς ὀρθοτονου-
μένας· αὗται γὰρ εἰς σύνθετον μετατιθέμεναί εἰσιν ὑπὲρ τοῦ τὸ μετα-
C βατικὸν διαστεῖλαι τοῦ ἀντανακλωμένου.

Ἐμεῦ. κοινὴ Ἰώνων καὶ Δωριέων,

ἐμεῦ δ' ἕλετο μέγαν ὅρκον (δ 746)·

ἄκουε νῦν καὶ ἐμεῦ, Ῥώγκα, Σώφρων (fr. 64 Ahrens). καὶ Φερε-
κύδης ἐν τῇ θεολογίᾳ, καὶ ἔτι Δημόκριτος ἐν τοῖς περὶ ἀστρονομίας
καὶ ἐν τοῖς ὑπολειπομένοις συντάγμασι συνεχέστερον χρῶνται τῇ ἐμεῦ
καὶ ἔτι τῇ ἐμέο. διὸ καὶ ὁλοκληροτέραν ἄν τις αὐτὴν ὑπολάβοι τῆς
83 A ἐμεῖο καὶ σεῖο, καθὸ οἱ πεζολόγοι ⟨τῇ μὲν⟩ διὰ τοῦ ῑ οὐκ ἐχρήσαντο,
τῇ δὲ διὰ τοῦ ε̄· καίτοι τῶν περὶ Τρύφωνα (p. 27 Velsen) οὐκ ἀπιθάνοις
λόγοις προσκεχρημένων ὑπὲρ τοῦ τὴν ἐμεῖο ἐντελεστέραν εἶναι· «εἰ γὰρ
ἀπὸ τῶν εἰς φωνῆεν ληγουσῶν γενικῶν μείζονες γινόμεναι ἢ κατὰ τὸ
τέλος μεγεθύνονται ἢ κατὰ τὴν παραλήγουσαν, οὐδέποτε δὲ ἐν ἀμφοτέροις
βραχύνονται, Ἀτρείδᾱο Ἀτρείδεω, Πριάμοιο, καὶ ἔτι ἐπ' ἀντωνυμιῶν,
B ἐμοῖο, σοῖο, πῶς οὐχὶ κατὰ τόνδε τὸν λόγον ἡ ἐμέο καὶ σέο ἐλλείπουσι
τῷ ῑ, ἀπὸ τῆς ἐμοῦ καὶ σοῦ αὐξηθεῖσαι»; Ἀλλ' εἴρηται ὅτι ἰσχυρότερα
τὰ τῶν πεζολόγων μαρτύρια. ἄλλως τε εἰ ἐδείκνυντο αἱ ἀντωνυμίαι

Argvm. 1 Opus non est quaerere, cur ἐμαυτοῦ cum μου inclinato, non cum ἐμοῦ commutetur; nam composita facta sunt ex ἐμοῦ sim. ob id ipsum, ut discrimen appareat inter intransitiva (reflexiva) et transitiva (simplicia). — 16 Ἐμέο plenam formam esse scriptorum, quorum summa est auctoritas, testimoniis comprobatur. Trypho autem ἐμεῖο plenius esse censet, nam genetivi in vocalem (diphthongum) exeuntis, si distrahatur, aut paenultimam produci aut ultimam. At pronomina leges perfringunt.

Discr. script. 5 εστιν A | θ in θυραις voce ex alia littera facta ab A^x; ea quae fuerit non liquet | pro ἀντιδιαστολῆς scribendum esse ἀντανακλάσεως conicit GUhlig | 6. ἀφῃρημένῳ vel ἀφῃρημένου conicit JGuttentag | 6—7. 'Fortasse post τῶν ἀντωνυμιῶν exciderunt τῶν κατὰ τὸ τρίτον' RSkrzeczka | 7. εχουσιν A | 8. συντείνουσαν b, συντεινον A | πάντως εἰς] fol. 168 v. | και videtur in A fuisse, nunc fere evan., ταῖς b | 10. οὐ inseruit RSkrzeczka | 13. inscriptio περι της εμευ maiusc. A | τῇ μὲν b, om. A | 20. απειθανως A | 22. ante μείζονες JGuttentag inserit αἱ γενικαὶ | supra γιγνομεναι aliquid erasum in A | 26. τῷ ῑ b, το ι A | ισχυρωτερα A | 27. εδεικνυντο ex εδεικνυτο factum ab A[1]

πρωτοτυποῦcαι ἀνακόλουθοι καὶ κατὰ ἀριθμὸν καὶ κατὰ πτῶcιν, οὐκ
ἀπεμφαῖνον εἰ καὶ κατὰ αὐξήcειc τῶν πτώcεων.

Ἐμέθεν. Πυκνῶc αἱ χρήcειc παρὰ Αἰολεῦcιν,

ἔμεθεν δ' ἔχειcθα λάθαν·

ἤ τιν' ἄλλον C

⟨μᾶλλον⟩ ἀνθρώπων ἔμεθεν φίληcθα (Sapphus fr. 89 Ahrens, 21 et 22 Bergk[3]).

ἀλλὰ καὶ παρὰ Cυρακουcίοιc· ἔτι μεθὲν ἁ καρδία παδῇ, Cώφρων
Γυναικείοιc (fr. 46 Ahrens). παρά τε τῷ ποιητῇ ἡ χρῆcιc καὶ cχεδὸν
cυνεχήc. διὸ οὐδὲ Αἰολικώτερον χρὴ ἀναγινώcκειν, διηκούcηc καὶ ἐπὶ
πολλὰc διαλέκτουc τῆc χρήcεωc. — «Ἐπεὶ δέ», φαcίν, «ἀπὸ τῆc Λέ-
cβου γενικῆc ἐπίρρημά τι ἀποτελεῖται Λεcβόθεν, οἴκου οἴκοθεν, οὐρανοῦ 84 A
οὐρανόθεν, τοῦ ῡ παραιρουμένου, οὕτω καὶ ἀπὸ τῆc ἐμεῦ τὸ ἐμέθεν
ἀποτελούμενον ἐπίρρημα ἂν γένοιτο.» Πάνυ δὲ ληρώδηc ἡ τοιαύτη
παράδοcιc. οὔτε γὰρ τὰ παραγόμενα, μετατιθέντα τὰ τέλη, οὐχὶ τὸ
αὐτὸ μέροc λόγου καταcτήcεται, οὔτε φυλάξαντα τὸ αὐτὸ μέροc λόγου.
τὸ οἶκον δέ καὶ τὰ παραπλήcια τὸ αὐτὸ τέλοc ἐφύλαξε τῆc αἰτιατικῆc,
ἀλλ' οὐ τὸ αὐτὸ μέροc λόγου· τὸ

ἀπὸ χαλκόφι χαλκόc (Λ 351)

οὐκ ἐφύλαξε, καὶ ἴcον τῷ ἀπὸ χαλκοῦ. αὐτή τε ἡ διὰ τοῦ θεν παρα- B
γωγὴ ὁτὲ μὲν ἐπιρρηματικῶc τὸ ἐκ τόπου cημαίνει, Λεcβόθεν, πάν-
τοθεν, Ἰλιόθεν, ὁτὲ δὲ ταὐτὸ cημαίνει τῷ πρωτοτύπῳ. τί γὰρ ἂν
εἴη τὸ

cχεδόθεν δέ οἱ ἦλθεν Ἀθήνη (β 267);

ἢ οὐ δῆλον ὡc «cχεδόν»; οὐ γὰρ cύνεγγυc οὐρανὸc τῆc γῆc, ἵν' οὕτωc
ἀκούηται «ἐκ τοῦ cύνεγγυc τόπου».

Ἴδηθεν μεδέων (Γ 276)

ἀντὶ τοῦ Ἴδηc· εὔηθεc γὰρ τὸν ἐξ Ἴδηc τῆc κατὰ Κρήτην παραδέχεcθαι, C
τὸν ἐπιχώριον Ἰδαῖον Δία παραπεμψάμενον.

Argum. 3 Ἐμέθεν in multis dialectis usu receptum est. Quod qui adverbium putant, quia eodem modo ex ἐμεῦ factum sit, quo οὐρανόθεν ex οὐρανοῦ, falluntur. Non enim ex forma iudicium fertur de vocabulis per orationis partes distribuendis, sed ex notione; notione vero et usu ἐμέθεν pronomen est.

Discr. script. 1—2. και πτωcιν κατα πτωcιν A, sed prius πτωcιν delet A[1] | 3. inscriptio περι τηc εμεθεν maiusc. A | παρα A, παρ' b | 4. 'dicendum erat ἔχεcθα, et sic scriptum antiquitus, unde per errorem ἔχειcθα ortum' ThBergk | 5. τιν' b HLAhrens ThBergk, τινα A | 6. ⟨μᾶλλον⟩ adiecit ThBergk | ἔμεθεν HLAhrens ThBergk, ἐμέθεν b, ut l. 4 | φίληcθα A ThBergk, φιλῆcθα b, φίλειcθα HLAhrens | 9. γυναικιοιc A | 15. 'pro παράδοcιc vel ἀπόδοcιc scribendum vel ἀντιπαράθεcιc' b in var. lect. | οὔτε γάρ] fol. 169 r. | 16. καταcτήcεται b in var. lect., cυcτήcεται Ab in textu | 17. οἶκον δέ RSchneider, οἰκόνδε b | εφυλαξεν A | 20. εφυλαξεν A | 22. ταὐτὸ b, τ'αυτα A

Αἴας δ' ἐγγύθεν ἦλθεν (Ρ 128)·

ἄλλα μυρία. διὸ καὶ ἐπὶ τῆς προκειμένης λέξεως ἡ ἐξέτασις προαγέσθω. Εἰ μὲν οὖν ἐν τῷ ἐμέθεν καὶ σέθεν ἔγκειται τὸ ἔξ, καθάπερ ἐπὶ τοῦ οὐρανόθεν, Διόθεν, ὁμόλογον ὅτι ὁμοίως τούτοις παραχθέντα ἐπιρρή-
85 A ματά ἐστιν· εἰ δὲ τὴν αὐτὴν σύνταξιν ἔχει τῇ γενικῇ, σαφὲς ὅτι καὶ ταὐτὸ μέρος λόγου· οὐ γὰρ φωναῖς μεμέρισται τὰ τοῦ λόγου μέρη, σημαινομένοις δέ. τῶν γενικῶν μετὰ καὶ ἄλλων προθέσεων ἡ πρό ἡγεῖται, τῶν δὲ ἐκ τόπου ἐπιρρημάτων οὐδέποτε· οὐ γὰρ πρὸ οἰκόθεν φησί τις, πρὸ οἴκου δέ, οὐδὲ πρὸ Λεσβόθεν, πρὸ Λέσβου δέ. ὅθεν εἰ τὸ

πρὸ ἔθεν (Ε 96)

τὴν αὐτὴν σύνταξιν ἔχει τῷ πρὸ αὐτοῦ, ἀντωνυμία γενήσεται ἡ ἕθεν.
B ταὐτὸ καὶ ἐπὶ τοῦ

ἐξ ἐμέθεν (Ι 456).

ἶσον γὰρ τῷ ἐξ ἐμοῦ. παρὸν δὲ καὶ τὰς γενικὰς μεταλαμβάνοντας εἰς τὰς προκειμένας ἀνεπίληπτον τὴν φράσιν καθιστάνειν. τὸ δ'

ἐξ οὐρανόθεν (Θ 21)

πλεονάζει τῷ ἔξ, ἐντελὲς μέντοι τὸ

οὐρανόθεν προΐαλλεν (Θ 365).

[Οὐχ ὑγιὲς λέγειν ὅτι «τὰ ἐπιρρήματα πρόσωπα οὐκ ἔχει· πῶς οὖν
C ἐμέθεν, σέθεν, ἕθεν;» πρὸς γὰρ τοῦτο φήσει τις, ὅτι κατὰ πρόσωπα τὰ ἐπιρρήματα παρῆκται.]

Τὰς μὲν οὖν ἄλλας τῶν πλαγίων συμβέβηκεν ἐν μεταβάσει ἑτέρου προσώπου νοεῖσθαι, ἐμὲ ἐπαίδευσας, Διονυσίῳ ἐλάλησας· διὰ γὰρ τῶν ῥημάτων αἱ εὐθεῖαι· Τὰς δὲ συνθέτους τῶν ἀντωνυμιῶν τὴν μετάβασιν ποιεῖσθαι ἀπὸ τοῦ αὐτοῦ προσώπου εἰς τὸ αὐτὸ πρόσωπον,
86 A ἐμαυτὸν ἔπαισα, ἐμαυτῷ ἐλάλησα. (διὸ καὶ ἀντανακλώμεναι καλοῦνται, ἀπὸ μεταφορᾶς τῶν εἰς αὐτὰ ἀντανακλωμένων σωμάτων) τὴν μέντοι γενικὴν καὶ ἐπὶ ἕτερον πρόσωπον συντείνειν. ἐν οἷς καὶ ἄρθρον τότε ἐπιδέχεται, τῶν ἄλλων ἀντωνυμιῶν ἄρθρον οὐ προσλαμβανουσῶν, τῷ ἐμαυτοῦ φίλῳ διελεξάμην, τοῦ ἐμαυτοῦ δούλου δεσπόζω. καὶ σαφὲς τὸ αἴτιον. ἐπεὶ γὰρ ἅπαξ πᾶσα γενικὴ ἐπὶ πρᾶγμά τι φέρεται,
B Πλάτωνος ἤκουσα, ἢ ἐπί τι κτῆμα, Πλάτωνος δοῦλος, ἐμοῦ

Argvm. 25 De compositis (vel reflexivis). Composita ita comparata sunt, ut actio ad eandem personam, unde profecta est, redeat. Genetivus autem eorum etiam ad aliam personam simul pertinet, scilicet possessam. Ad eam articulus accedit, quem supra ostendimus non ad genetivum, sed ad personam possessam pertinere. Itaque ceteri casus, qui nunquam cum re possessa coniunguntur, articulo non indigent.

Discr. script. 4. παραχθέντα b, παραδεχθεντα A, punctum adiecit A' | 9. φησιν A | 16. το δ' A, τὸ δὲ b | 20—22. haec delet RSchneider | 20. ου υγιες A | 23. inscriptio περι της εμαυτου maiusc. A | 27. ἔπαισα b, επεσα A | ἐλάλησα b, ελαλησας A, sed altera ς deleta | 28. ἀπὸ μεταφορᾶς] fol. 169 v.

δοῦλος, τοῦτο κἀν τῇ προκειμένῃ παρακολουθεῖ. ἰδοὺ μὲν γὰρ κατὰ πράγματος ἐμαυτοῦ ἤκουσα, κατὰ δὲ κτήματος ἐμαυτοῦ δούλῳ διελεξάμην, ἐμαυτοῦ ἀγρὸν ἔσκαψα. ἐν οἷς καὶ τὸ ἄρθρον προστίθεται, οὐκ αὐτῆς ὄν· ἀδύνατον γάρ, ὡς προαπέδειξα· τοῦ δὲ κτήματος. ὁμόλογον ἐκ τοῦ μετασχηματίζεσθαι πρὸς τὸ σχῆμα τοῦ κτήματος, τῷ ἐμαυτοῦ δούλῳ, τοὺς ἐμαυτοῦ δούλους, καὶ ἔτι ἐκ τοῦ μὴ προσλαμβάνειν ἄρθρον, ἐν οἷς οὐδὲ ἐπὶ κτῆμα φέρεται, σαυτοῦ C ἀκούεις. διὸ καὶ αἱ ἑξῆς πτώσεις, οὐδέποτε ἐπὶ κτῆμα φερόμεναι, ἀπροσδεεῖς εἰσιν ἄρθρου.

Διὸ οὐδὲ συγκαταθετέον Τρύφωνι (p. 29 Velsen) φάσκοντι, «ἐν οἷς ἄρθρον προσλαμβάνει ἡ γενική, καὶ ἐν οἷς κτῆμα σημαίνει, ἐν τούτοις ὁμόλογος ἡ σύνθεσίς ἐστιν ὡς ἐκ τῆς ἐμοῦ κτητικῆς τὴν σύνθεσιν ἐποιήσατο· ἐν οἷς δὲ οὐκέτι, ἀπὸ τῆς ἐμοῦ, ἥ τις πρωτότυπός ἐστιν». — Εἰσὶ δὲ καὶ 87 A ἄλλαι ἀποδείξεις τοῦ μὴ ἐγκεῖσθαι τὴν ἀπὸ τοῦ ἐμός γενικήν. ταῖς κτητικαῖς τὰ ὑπακουόμενα ὁμοιόσχημα, ταῖς δὲ γενικαῖς ἀδιαφορεῖ τὸ ὑπακουόμενον. τοῦ μὲν οὖν προτέρου ἐμὸς οἶκος, Ἀριστάρχειος δοῦλος, ἐμοὶ δοῦλοι, ἐμοὺς δούλους· τοῦ δὲ δευτέρου Ἀριστάρχου δοῦλοι ἢ δοῦλαι ἢ οἱαιδήποτε πτώσεις μεθ' οἱουδήποτε γένους, μετὰ ἀριθμοῦ ἀδιαφόρου. εἰ τοῦθ' ὑγιές, ἐν οἷς τῷ ἐμαυτοῦ ἀδιάφορα τὰ ἐπιφερόμενα, ἐν τούτοις τῆς γενικῆς ἡ κτῆσις μηνύεται καὶ οὐ τῆς B κτητικῆς ἀντωνυμίας. — ἔτι γε μὴν καὶ ἐκ τῶν παρατιθεμένων ἄρθρων ἐνὸν πιστώσασθαι, ἐν οἷς πάλιν γενικῇ μὲν κτῆσιν σημαινούσῃ ἀδιάφορα τὰ ἄρθρα, κτητικῇ δὲ ἀντωνυμίᾳ ἢ ὀνόματι ὁμοιόσχημα παρατίθεται, ὁ ἡμέτερος, ὁ ἐμός, ὁ Ἀριστάρχειος, τοῦ Ἀρισταρχείου, τοῦ ἡμετέρου· γενικῇ δὲ τοὺς Ἀριστάρχου, τοῖς Ἀριστάρχου, τοῖς ἐκείνου. ἐν οἷς οὖν πάλιν ἀδιάφορα τὰ ἄρθρα, τοὺς ἐμαυτοῦ C καὶ τὰς ἐμαυτοῦ, ἐν τούτοις τῆς γενικῆς ἡ κτῆσις. — πρὸς τούτοις, ὅτε μὲν γενικὴ κτητική τινος κτῆσιν δηλοῖ, δύο κτήματα νοεῖται, καὶ φαίνεται ὅτι τὸ μὲν τῆς κτητικῆς ἐστὶ λέξεως, τὸ δὲ ἕτερον τῆς γενικῆς, ὡς εἰ ἔλεγε τοῦ ἐμοῦ ἀγροῦ καρπός, τοῦ ἐμοῦ δούλου παῖδα

Argum. 10 Tryphoni igitur non assentimur dicenti, ἐμαυτοῦ, ubi articulum habeat et aliquid possideri indicet, cum ἐμοῦ genetivo possessivi compositum esse, ceteroquin cum primitivo. — Immo genetivum primitivi semper inesse, etiam aliis argumentis demonstrari potest. 1) Cum possessivis eae res, quae possidentur, flexione congruunt, non congruunt cum ἐμαυτοῦ. 2) Articuli sequuntur flexionem possessivi: cum composito omnis casus generis numeri articulus coniungitur. 3) Ubi genetivus est possessivi, duae sunt res possessae; ubi ἐμαυτοῦ ponitur, una est.

Discr. script. 1. καν A, καὶ b | 3—4. προστίθεται b, προτιθεται A | 4. οὐ κτητικῆς pro οὐκ αὐτῆς CWachsmuth | 12. τὴν AdeVelsen, τῆς Ab | 13. δε A, δ' b | ειςιν A | 14.—15. ταῖς κτητικαῖς b, ταις κτητικοις A | 16. οὐν A, puncta ab A¹ | 19. μετα A, μετ' b | τῷ ἐμαυτοῦ b, το εμαυτου A (non εμαυτω, quod b in var. lect. enotavit) | 22. γενικῇ μὲν κτῆσιν σημαινούσῃ b in var. lect., γενικὴν μὲν κτῆσιν σημαίνουσιν Ab in textu | 26. ἀδιάφορα τὰ ἄρθρα] fol. 170 r. | 29. εστιν A | 30. ελεγεν A

ἔτυψα. εἴπερ οὖν ἡ cύνθεcιc ἐν κτητικῇ, κἂν δύο κτήcειc ἐνοοῦντο
88 A ἐν τῷ ἐμαυτοῦ δοῦλον ἔπαιcα μία δέ ἐcτι· μετάξαντεc γοῦν εἰc τὴν ἐγκεκλιμένην φαμὲν δοῦλόν μου ἔπαιcα. εἰ δὲ οὕτωc ἐνοοῦμεν δοῦλον τοῦ ἐμοῦ φίλου ἔπαιcα, κἂν ὅλωc ὁμόλογον ἦν τὸ cχῆμα ἐκ τῆc ἐμοῦ κτητικῆc cυγκείμενον.

Πάcῃ γενικῇ κτῆcιν cημαινούcῃ πᾶcα πτῶcιc μετὰ παντὸc γένουc καὶ ἀριθμοῦ ἐπιφέρεται, τῇ δὲ ἐμαυτοῦ οὔποτε εὐθεῖα cυντάccεται. τὸ δ' αἴτιον προῦπτον. αἱ γὰρ cύνθετοι τῶν ἀντωνυμιῶν ἰcόζυγον ἀπαι-
B τοῦcι ῥῆμα, αἵ τε εὐθεῖαι ἐν τρίτῳ προcώπῳ νοούμεναι τὰ ῥήματα εἰc αὐτὰc ἐπάγονται, Δίων περιπατεῖ, Cωκράτηc διαλέγεται. cαφὲc ὅτι οὐ cυcτήcεται ἡ τοιαύτη cύνταξιc τῶν ῥημάτων οὐ δυναμένων προcχωρεῖν οὔτε τῇ εὐθείᾳ διὰ τὴν ἀντανακλωμένην, οὔτε τῇ ἀντανακλωμένῃ διὰ τὴν εὐθεῖαν. Ἔcτι μέντοι εὑρεῖν φράcιν μετὰ γενικῆc καὶ εὐθείαc, ὅταν τὸ ῥῆμα μηκέτι μάχηται. πρώτου γὰρ καθεcτὸc μετ'
C εὐθείαc cυνταγήcεται, ὅταν ὕπαρξιν cημαίνῃ τὸ ῥῆμα, τῆc ἐμαυτοῦ ἀκωλύτωc καὶ αὐτῆc ἐπιζητούcηc ῥῆμα πρώτου προcώπου ἐν τῷ ἐμαυτοῦ εἰμι cύμβουλοc, ἐμαυτοῦ εἰμι κατήγοροc.

Εὐθείαc ἀμοιρεῖ ἡ προκειμένη γενική· οὐ γὰρ εἰ ἅπαξ εἴρηται, καὶ ταῦτα ὑπὸ κωμικῆc ἀδείαc, ὡc ἐν Μετοίκοιc Πλάτωνοc (fr. II Meineke), τοῦτο κανών ἐcτι τῆc κατὰ φύcιν εὐθείαc cιγηθείcηc. Πᾶcα πλάγιοc εὐθείᾳ cυν-
89 A τάccεται μετάβαcίν τινα προcώπου ἐπὶ πρόcωπον δηλοῦcα, ἐμὲ Διονύ-

ARGVM. 6 Cum ἐμαυτοῦ nunquam nominativus construitur praeter nominativum primae personae, qui in verbo latet. Nam ut ἐμαυτοῦ verbum eiusdem personae requirit, i. e. primae, ita nomen, si nominativo ponitur, tertiam verbi personam exposcit; itaque inter se pugnant. Potest tamen nominativus nominis accedere, si εἶναι verbum est. — 18 Ἐμαυτοῦ nominativo casu caret; nec mirum. Nam reflexivi ibi ponuntur, ubi actio e nominativo emanans ad ipsum reflectitur. Cum reflexivis igitur verbum eiusdem personae construatur necesse est, quo nominativus continetur; eo igitur reflexiva non indigent.

TESTIM. 21 Prisc. XIII, 23 p. 15, 6 Hertz *Nominativum autem ideo non habet hoc pronomen (id est 'sui sibi se a se'), quia necesse est, quando τὸ 'ἑαυτοῦ' significat tam actionem quam passionem, in eadem intellegi persona. non aliter igitur potest proferri is, in quem aliquid agitur, nisi per obliquos casus. evenit enim, ut a nominativis actus proficiscentes ad obliquos sive in transitione personarum intellegantur sive in una eademque persona. in transitione, ut 'Aristophanes Aristarchum docuit, ego te honoravi, tu mihi dixisti'; et per sola quoque verba nominativus intellegitur et transit rursus ad obliquos 'dedi tibi, honoravi te'. in una quoque eademque persona hoc idem fit, ut 'Phemius se docuit', docendi enim transitio non ad alteram fit personam, sed ad ipsum Phemium reciprocatur, 'Aiax se interfecit', rursum enim 'interfecit' ad ipsum Aiacem reciprocatur.* id. XIII, 28 p. 19, 9 Hertz *Et sciendum, quod, quotiens hoc pronomen reciprocum est, eiusdem personae verbum habet convenienti casui adiunctum, ut 'sui meminit, sibi placet'. et manifestum est, quod adiunctio verbi vim habet nominativi casus cum actione aliqua. si igitur pronominis quoque huiuscemodi significationem habentis, hoc est in se recurrentis, ponas nominativum et cum eo verbum eiusdem personae, erunt duo nominativi. duo autem nominativi per se, ubi et actio et passio ostenditur, coniungi non possunt*, e. q. s.

DISCR. SCRIPT. 2. δοῦλον b, δουλου A | εcτιν A | 3. ἔπαιcα Ab in ind. mendorum, ἔπειcα b in textu | 7. ἐπιφέρεται b, επιφαινεται A | 8. προῦπτον RSchneider, πρόυπτον b | 8—9. απαιτουcιν A | 11. cυcτήcεται b, cτηcεται A | 12. προcχωρεῖν b, προχωρειν A | 12—13. τῇ ἀντανακλωμένῃ b, την ανταναλωμενην A | 13. εcτιν A | 16. ακολυτωc A | 20. εcτιν A

σιος ἔπαισεν, ἐγώ σε ἐδίδαξα· ἀλλὰ μὴν καὶ αἱ διαθέσεις οὐ μόνον ἔκ τινων ἐπί τινας ἐγίνοντο, ἀλλὰ καὶ αὐτοχειρία δρᾶσις, καὶ ὅσα καὶ ἐν ἄλλοις προσώποις ἐνοεῖτο, ταῦτα καὶ ἐπὶ ταὐτὰ πρόσωπα μετῄει. ἐμερίζοντο γοῦν αἱ μὲν σύνθετοι τῶν πλαγίων εἰς τὰ αὐτοπαθῆ τῶν προσώπων, αἱ δ' ἁπλαῖ εἰς τὰ ἀλλοπαθῆ, ἐμαυτὸν ἔπαισα, ἐμὲ [σὺ] ἔπαισας, τῶν ῥημάτων τὰς εὐθείας ἐν αὐτοῖς δηλούντων, εἴγε πᾶν B ῥῆμα εὐθεῖαν ἔχει ἐγκειμένην. φανερὸν οὖν ὡς ταῖς συνθέτοις ἐξ ἀνάγκης ἐπιφερόμενα τὰ ῥήματα τῆς εὐθείας ἐγίνετο παραστατικά, ἧς καὶ χρείαν εἶχεν ἡ σύνταξις· περισσὸν οὖν ἐστι ζητεῖν εὐθεῖαν τῶν προκειμένων πτώσεων.

'«Ἀλλά», φασιν, «οὐ⟨δὲν⟩ κωλύει ἐν τῷ πρώτῳ προσώπῳ ἐν τῷ ἐμαυτός καὶ τὴν αὐτός εὐθεῖαν ἐγκεῖσθαι, ὅθεν καὶ τὸ ἐμαυτὸς ἔπαισα πλάγιον μὲν νοεῖσθαι ἐν τῇ ἀρχούσῃ κατὰ σύνθεσιν, εὐθεῖαν δέ, ᾗ καὶ C συντάσσεται τὸ ῥῆμα, ἐν τῇ κατὰ τέλος». — Ἀλλά γε πρὸς τοῦτο ῥητέον. — τὸ μὲν πρῶτον· ⟨ἄκλιτον⟩ μένει τὸ σχῆμα καὶ κατὰ τὸ τέλος καὶ κατὰ μέσην λέξιν, κατὰ μὲν τὸ τέλος, ὅτι πάντοτε ἡ εὐθεῖα σύνεστι πάσῃ πλαγίῳ, κατὰ δὲ μέσην λέξιν, ᾗ τὰ συντεθέντα ἀκίνητα. — τὸ δὲ δεύτερον, ὡς καὶ ἄδηλος ἡ φράσις γενήσεται· πότερον γὰρ ἡ συγκειμένη γενική ἐστιν ἢ δοτικὴ ⟨ἢ αἰτιατική⟩, οὐ γνωστόν, τοῦ τέλους ἐκθλιβέντος. 90 A — ἔπειτα, εἰ ὑπὲρ διαστολῆς τῶν μεταβατικῶν πλαγίων αἱ σύνθετοι γεγόνασι, περισσὸν ζητεῖν τὴν εὐθεῖαν· οὐδὲ γὰρ ἔστιν εὐθεῖα ἐν μεταβάσει προσώπου λαμβανομένη, ἓν δὲ καὶ τὸ αὐτὸ πρόσωπον δηλοῦσα, αὐτὸς ἔγραψε καὶ αὐτὸς ἐκλήθη. ἔνθεν ἄρα μοι δοκεῖ, ὡς καὶ προείρηται, τὴν ἐγώ ἀσύνθετον καθεστάναι, ἐπεὶ μὴ αὐτοπαθὴς ἐγίνετο ἐν συνθέσει, ἀλλοπαθὴς δὲ ἐν ἁπλότητι, ὅπερ καὶ ἐπὶ τῶν πλαγίων συνέβαινεν.

«Οὐχὶ οὖν καὶ τὸ B

ἀλλήλους τρώσητε (τ 12)

Argum. 11 Nec ἐμαυτός ita admitti potest, ut eius initium sit obliquus, finis rectus casus. Nam 1) indeclinabilis esset forma et extrema, quod semper nominativus esset, et media, quod media vocis compositae pars non variatur. 2) Ἐμαυτός vocis prior pars utrum nominativus esset, an genetivus, an dativus, terminatione elisa non appareret. 3) Omnino reflexiva excogitata sunt, ut casus obliqui, non ut recti, ab transitivis discernantur. — 27 Neque ἀλλήλους, quo uno et obliquus et rectus casus contineatur, tamquam exemplum afferre poteris. Eius enim posterior pars cum sit obliquus casus, ita flecti potest ut sententiae conveniat.

Discr. scr pt. 2. εγιγνοντο A | 3. ταὐτὰ b, ταυτα τα A | 5. ἁπλαῖ b, αλλαι A | εἰς τὰ αὐτοπαθῆ] fol. 170 v. | 6. ἔπαισας RSkrzeczka, σὺ ἔπαισας A b, in A utrum επαισας ex επεισας an hoc ex illo factum sit, non liquet | 8. εγιγνετο A | 9. εστιν A | 11. οὐδὲν κωλύει b, ου κωλυει A | 12. ἐμαυτὸς ἔπαισα b, εμαυτης επαισα A | 15. ἄκλιτον b, om. A | 16. οτι A, καθοτι b | συνεστιν A | 18. γενησεται A, γινεται b | 19. ἢ αἰτιατικὴ b, om. A | 21. γεγονασιν | 23. εγραψεν A | ἐκλήθη b, εκλιθη A | ἄρα RSkrzeczka, γάρ A b | 24. εγιγνετο A | 28. τρωσηται A

διὰ μιᾶς συνθέσεως φωνῆς εὐθεῖαν καὶ πλάγιον ἐν μεταβάσει προσώπων δηλοῖ;» Ἀλλὰ μὴν ἡ λέξις οὔτε ἀμφίβολος οὔτε ἄκλιτος, οὐκ ἀμφίβολος μέν, καθὸ ἐπὶ τέλει συντεθεῖσα ⟨ἡ⟩ πλάγιος δεόντως πρὸς τὸ σημαινόμενον ἐκλίνετο, ἀλλήλοις ἔδωκαν, ἀλλήλους ἔπαισαν· κλιτικὴ δέ, καθὸ οὐδὲν ἦν τὸ κωλῦσαν τὸ τέλος κλίνειν, τῆς εὐθείας C κατὰ τὸ ἄρχον μέρος τῆς συνθέσεως νοουμένης, ἥτις καὶ ἕνεκα τοῦ συντεθεῖσθαι ἀκίνητος ἐφυλάσσετο, καὶ ἕνεκα τοῦ τὴν εὐθεῖαν ἐν τοῖς μεταβατικοῖς προσώποις πάντοτε συνυπάρχειν. ⟨Περισσὸν οὖν ἐστι ζητεῖν, «εἰ κατ' ἀκολουθίαν φωνῆς οὐκ ἔχουσιν εὐθεῖαν αἱ σύνθετοι, ἀλλ' οὖν γε κατὰ τὸ σημαινόμενον· ὡς ἡ ἐγώ πρὸς τὴν ἐμοῦ, οὕτως ἡ ἐγὼ αὐτός πρὸς τὴν ἐμαυτοῦ». ἅπαξ γὰρ ἐδείχθη, ὡς ἕνεκα τῶν αὐτοπαθειῶν αἱ ἀντωνυμίαι τὴν σύνθεσιν ἀνεδέξαντο, ὅπερ ἐν μόναις πλαγίοις ἑωρᾶτο. οὔτε ἐν συνθέσει ἄρα εὐθείας ἔχουσιν, οὔτε ἡ ἐμαυτοῦ γενική ἐστι τοῦ ἐγὼ αὐτός. ἐγὼ γὰρ αὐτὸς ἤκουσα, καὶ κατὰ τοῦ αὐτοῦ προσώπου μετοχῆς ἐπιφερομένης, ἐμοῦ αὐτοῦ ἀκούσαντος, ὡς Ἀρίσταρχος εἶπεν, Ἀριστάρχου εἰπόντος. οὐκ ἔστι δέ τις εὐθεῖα μὴ ἔχουσα γενικὴν συντασσομένην τῷ αὐτῷ ῥήματι. ἔτι τὸ ἐγὼ αὐτὸς ἤκουσα σημαίνει ἔξωθέν τινα φωνήν, τὸ δὲ ἐμαυτοῦ ἤκουσα οὐκέτι.⟩

Ἑξῆς ῥητέον περὶ τοῦ ἀριθμοῦ τῶν συνθέτων, εἰ δεόντως τὰ μὲν τρίτα ἀφ' ἑνικῆς συντάξεως εἰς πληθυντικὰ προάγεται· Ἑαυτούς γὰρ καὶ ἑαυτῶν· τὰ δὲ πρῶτα καὶ δεύτερα οὐκέτι. Τὸν μὲν οὖν Ἀρί-91 A σταρχον ἐπιμέμφεσθαί φασι τὰ σχήματα, καθὸ ἀφ' ἑνικῆς συντάξεως τῆς ἑαυτόν πληθυντικὴ ἐγένετο ἡ ἑαυτούς, μάρτυρά τε ἐπάγεσθαι τὸν ποιητήν, «παρ' ᾧ τὰ τοῦ Ἑλληνισμοῦ ἠκρίβωται, ἐν οἷς πάντοτε ἐν διαλύσει ἐστὶ τὰ τρίτα, ὁμοίως τοῖς πρώτοις καὶ δευτέροις, σφᾶς αὐτούς καὶ σφῶν αὐτῶν. πρὸς οἷς καὶ τῶν πρώτων καὶ δευτέρων οὐκ ὄντων ἐν συνθέσει πληθυντικῇ, ἐξ ἀνάγκης καὶ τοῖς τρίτοις παρη-B κολούθει ταὐτόν». — Πρὸς ὃν οἱ ἀντιλέγοντές φασιν, «ὡς καὶ ἀφ' ἑνικῆς συνθέσεως τῆς ἑνδέκατος τὸ ἑνδέκατοι πληθυντικὸν ἐγίνετο, τήν τε χρῆσιν ὡς ὑγιῆ πιστοῦνται διὰ τῶν Πλατωνικῶν παραδειγμάτων· τάς τε κατὰ τὸ τρίτον πρόσωπον πολλάκις διαφεύγειν ⟨τὰ⟩ τῶν κατὰ

Argvm. 20 Formae ἑαυτῶν ἑαυτούς cet. quaeritur rectene a singulari ἑ simplici derivatae sint, cum prima et secunda similibus formis careant. Et Aristarchus quidem eas vituperat, Homeri nisus auctoritate. Cui alii adversantur dicentes, simili modo ex ἕν-δέκατος fieri ἑν-δέκατοι, omninoque ad regulas, quae in prima et secunda valeant, tertiam non dirigi. At Aristarcho assentiendum est. Nam pauciora similitudinem plurium sequi oportet;

Discr. script. 3. ἡ πλάγιος b, πλαγιος A | 8. post συνυπάρχειν inserenda esse, quae antea 73, 18 — 74, 2 legebantur (ubi vid. discr. script.), perspexit RSkrzeczka | 21. ἑνικῆς b, ενικης εστιν A | 22. εαυτων] fol. 171 r. | 26. εστιν A | 28. πληθυντικῇ b, πληθυντική A | 32. τριτον προσωπον A, τρίτον b | τὰ τῶν b, των A

τὸ πρῶτον καὶ δεύτερον. δυϊκαὶ γοῦν εἰσὶν εὐθεῖαι πρώτου καὶ δευτέρου
προσώπου, ἀλλ' οὐκέτι καὶ τρίτου. τί οὖν θαυμαστόν, εἰ καὶ τρίτου
εἰσί, πρώτου καὶ δευτέρου οὐκ οὐσῶν; ἄλλως τε καὶ ἄλλαι λέξεις κατὰ
τύχην ἐσιγήθησαν· οὕτω καὶ αἱ προκείμεναι». — 'Αλλ' ἔμοιγε δοκεῖ ὁ C
τοῦ 'Αριστάρχου λόγος κριτικώτερος εἶναι, ἔχοι δ' ἂν οὕτω τὰ τῆς
ἐπικρίσεως. Παντὶ προὖπτον ὡς ἡ πλείων παράθεσις τῆς ἐλάσσονος
κανών. ὅθεν εἰ δεκάδυο σχήματα ἐσιγήθη, πάσης πτώσεως δυϊκά, καὶ
πληθυντικά πρώτου καὶ δευτέρου προσώπου, δηλονότι γενικῆς καὶ δο-
τικῆς καὶ αἰτιατικῆς, πρὸς τρία πληθυντικὰ τρίτου προσώπου, γενικῆς,
δοτικῆς, αἰτιατικῆς, πῶς οὐχὶ παράλογα τὰ τρία πρὸς τὰ δώδεκα; — 92 A
«'Αλλὰ τρίτα οὐκ ἔστι, πρώτου καὶ δευτέρου ὄντος». Εἰ μὲν οὖν τὰ
ἄλλα πάντα τρίτα ἐσεσίγηντο, κἂν ἦν τις πιθανότης τοῦ καὶ τὰ τρίτα
ὄντα πρῶτον καὶ τρίτον μὴ εἶναι. εἰ δὲ ἕν που ἐσιγήθη διὰ τὸ ὑφ'
ἑτέρων συζυγιῶν ἀναπεπληρῶσθαι, πῶς οὐχὶ γέλοιον τοσαύτας φωνὰς
συζύγως κατὰ τύχην σεσιγῆσθαι; τούτου οὖν ἐν μηδενὶ μέρει λόγου
παρακολουθήσαντος, παντί τῳ δῆλον ὑπὲρ ἀκριβείας ἐξετάσαντι τῆς ἐν B
τοῖς μέρεσι τοῦ λόγου, ὡς ἡ 'Ομηρικὴ ποίησις μᾶλλον τῶν ἄλλων
ἠνύσθη. ὅθεν οὐ μᾶλλον ἡ Πλάτωνος χρῆσις ἀξιοπιστοτέρα τῆς οὐκ
οὔσης παρὰ τῷ ποιητῇ.

Παρὸν δὲ ἐξετάσαι καὶ διὰ λόγου τὸ ἀληθές. — «'Απὸ ἑνικῶν συν-
θέσεων πληθυντικαὶ ἐκφοραὶ γίνονται κατὰ τὸ τέλος, ἀνδροφόνος
ἀνδροφόνοι, ἑνδέκατος ἑνδέκατοι. ὅθεν καὶ ἀπὸ τοῦ ἑαυτόν
τὸ ἑαυτούς πεσεῖται». — Οὐδὲν γὰρ κωλῦον τὰ προκείμενα εἰς πλῆθος C
μετάγειν· ἐν δυσὶ γὰρ προσώποις ἕκαστον αὐτῶν ἀκούεται. ὁ γὰρ
ἄνδρα φονεύσας ἢ ὁ μετὰ δέκα εἷς ἢ οἱ μετὰ δέκα πλείονες ἀνεμπο-
δίστως εἶχον τὸ ἕτερον τῶν προσώπων πληθυντικόν· τὸ μέντοι τῆς
ἀντωνυμίας σχῆμα ἠδυνάτει, ἅτε δὴ καθ' ἑνὸς καὶ τοῦ αὐτοῦ προσώπου
λαμβανόμενον, κατὰ μὲν τὸ τέλος τῆς συνθέσεως εἰς πλῆθος μετάγεσθαι,
κατὰ δὲ τὸ ἄρχον εἰς ἕν, ἐπεὶ ἕνεκα τούτου ἑνικὸν καὶ πληθυντικὸν 93 A
ἐνοεῖτο διὰ μιᾶς φωνῆς καθ' ἑνὸς καὶ τοῦ αὐτοῦ προσώπου, ὅπερ ἄλο-
γον. εὐλόγως ἄρα τὰ σχήματα ἐσιγήθη.

Argum. 20 deinde in hoc ἑν-δέκατος duae sunt personae, quarum altera commode in pluralem transire potest: in ἑαυτοῦ una est persona.

Discr. script. 3. ειcιν A | 7. πάσης πτώσεως δυϊκά, καὶ πληθυντικὰ scripserunt JGuttentag et RSchneider, πάσης πτώσεως τέσσαρα δυϊκῶν καὶ πληθυντικὰ Ab, aut πάσης πτώσεως τέσσαρα δυϊκὰ καὶ πληθυντικὰ aut πάσης πτώσεως τέσσαρα δυϊκῶν καὶ πληθυντικῶν scribendum esse censet RSkrzeczka | 11. εcτιν A | 15. μέρει b, μερους A | 16. παρακολουθήσαντος RSchneider, κατακολουθησαντος A, puncta adscripsit A[1], κατακολουθήσαντος b | 17. μερεcιν A | 21. π in πληθυντικαι facta in A ex duabus litteris, quarum altera fuit η, ab A[x] | 22. ἀνδροφόνος] fol. 171 v. | 23. οὐδὲν γὰρ Ab, ἀλλ' οὐδὲν vel ἀλλ' οὐδὲν γὰρ scribendum esse conicit RSkrzeczka | 24. δυcιν A | 26. των supra lin. in A

Τὸ ἄρχον μέρος αἱ cύνθετοι κινοῦcαι πρόcωπα παριcτᾶcιν, ὁμοίως ταῖc ἁπλαῖc, τὸ δὲ τέλος, ὅτε γένος· ἐμαυτόν γὰρ καὶ ἐμαυτήν. ὅθεν ἐπιcτατέον τῷ οὐδετέρῳ cχήματι κατ' αἰτιατικὴν cιγηθέντι, ἐπεὶ ἴcωc καὶ ἡ κατάληξις cυνήγετο εἰc ō κατ' ὀξὺν τόνον, (καθὸ αἱ οὐδέ-
B τεραι τῶν ἀντωνυμιῶν, χωρὶc τῶν κτητικῶν, εἰc ο ἔληγον μετὰ τάcεως τῆc τοῦ ἀρcενικοῦ,) ὅπερ ἐν μέρει λόγου οὐκ ἐνὸν εὑρέcθαι (τῆc ἀπό καὶ ὑπό ὑφαιρουμένων, καθότι ἀδύνατον πρόθεcιν βαρύνεcθαι, χωρὶc εἰ μὴ ἀναcτρέφοιτο· οὐδὲ γὰρ Αἰολεῖc τὸν ἐπὶ ταύταιc τόνον ἀναβιβάζουcιν)· ὑπολείπεται οὖν cημειούμενον τὸ αὐτό (καί, εἰ ἕν ἐcτι, τὸ εἰcő). ἀλλ' εἰ καὶ τοῦτο ἁπλοῦν ἔcτιν, οὐ πάντως καὶ τὸ ἐξ αὐτοῦ cύνθετον, λέγω δὲ τὸ ἐμαυτό· ὑπὸ γὰρ ἀκριβεcτέρου λόγου ἐμποδί-
C ζεται. εἴ τι γὰρ οὐδέτερόν ἐcτιν αἰτιατικῆc πτώcεωc, τοῦτο καὶ εὐθείαc ἐcτίν· ἀλλ' ἀδύνατον τὸ τῆc εὐθείαc cυνίcταcθαι· εὐλόγως ἄρα καὶ τὸ τῆc αἰτιατικῆc cχῆμα ἐcιγήθη. ἀλλ' εἰ ἅπαξ Εὐριπίδηc ἐχρήcατο ἐπὶ δευτέρου προcώπου ἐν τῷ

ἔγειρέ μοι cεαυτὸ καὶ γίγνου θραcύ (fr. 694 Nauck Dindorf),

τοῦτο οὐ κανὼν γενήcεται τοῦ εὐλόγως cιγηθέντοc cχήματοc.

94 A [Περιccὸν οὖν ἐcτὶ ζητεῖν, «εἰ κατ' ἀκολουθίαν φωνῆc οὐκ ἔχουcιν εὐθεῖαν αἱ cύνθετοι, ἀλλ' οὖν γε κατὰ τὸ cημαινόμενον· ὡc ἡ ἐγώ πρὸc τὴν ἐμοῦ, οὕτωc ἡ ἐγὼ αὐτόc πρὸc τὴν ἐμαυτοῦ». ἅπαξ γὰρ ἐδείχθη, ὡc ἕνεκα τῶν αὐτοπαθειῶν αἱ ἀντωνυμίαι τὴν cύνθεcιν ἀνεδέξαντο, ὅπερ ἐν μόναιc πλαγίοιc ἑωρᾶτο. οὔτε ἐν cυνθέcει ἄρα εὐθείαc ἔχουcιν, οὔτε ἡ ἐμαυτοῦ γενική ἐcτι τοῦ ἐγὼ αὐτόc. ἐγὼ γὰρ αὐτὸc
B ἤκουcα, καὶ κατὰ τοῦ αὐτοῦ προcώπου μετοχῆc ἐπιφερομένηc, ἐμοῦ αὐτοῦ ἀκούcαντοc, ὡc Ἀρίcταρχοc εἶπεν, Ἀριcτάρχου εἰπόντοc. οὐκ ἔcτι δέ τιc εὐθεῖα ⟨μ⟩ὴ ἔχουcα γενικὴν cυνταccομένην

Argvm. 1 Initia pronominum reflexivorum variata personarum mutationes, terminationes flexae generum vicissitudines indicant: Neutrius generis accusativi non exstant, quia ne nominativi quidem admittuntur; hi enim casus una esse solent. — 20 Ἐγώ αὐτόc non est nominativus ad ἐμαυτοῦ genetivum pertinens.

Testim. 26 Prisc. XIII, 26 p. 17, 27: *nec potest esse nominativus, cuius etiam obliquus eidem verbo possit sine transitione vel reciprocatione adiungi, ut 'ego scribo', 'mei' autem 'scribo' dicere non possumus.*

Discr. script. 1. παρίcταcιν b | 6. ἐν ⟨ἑνὶ⟩ μέρει λόγου RSchneider, ἐν ⟨ἄλλῳ⟩ μέρει λόγου JGuttentag | 9. εcτιν A | 10. εἰcő RSchneider, εἰcό b, εico A | τοῦτο ἁπλοῦν ἔcτιν RSchneider, τοῦτο ἁπλοῦν ἐcτίν Ab, τοῦτο τὸ ἁπλοῦν ἔcτιν JGuttentag | 16. ἔγειρέ b ANauck GDindorf, εγειραι A | 18. Περιccὸν — 74, 2 οὐκέτι tollenda et 71, 8 post cυνυπάρχειν collocanda esse vidit RSkrzeczka | 21. αὐτοπαθειῶν αἱ ἀντωνυμίαι RSkrzeczka, αὐτοπαθῶν αἱ ἀντωνυμίαι JGuttentag, αὐτοπαθῶν ἀντωνυμιῶν Ab | 21—22. ἀνεδέξαντο A RSkrzeczka, ἀνεδέξατο b | 22. μόναιc b, μονοιc A | εορατο A | οὔτε b, ουδ' A | cυνθέcει b, cυνθεccι in fine versus A, puncta adscripsit A | αρα A, οὖν b | 23 εχουcιν A | οὔτε ἡ ἐμαυτοῦ b, ἡ ουδε εμάυτου A, punctis ab A[1] adscriptis indicatur quomodo verba collocanda sint | ἐγὼ αὐτόc] fol. 152 r. | 25—26. ⟨αὐτὸc⟩ εἶπεν et ⟨αὐτοῦ⟩ εἰπόντοc CWachsmuth | 26. εcτιν A | μὴ ἔχουcα RSkrzeczka, ἡ ἔχουcα Ab

τῷ αὐτῷ ῥήματι. ἔτι τὸ ἐγὼ αὐτὸς ἤκουσα σημαίνει ἔξωθέν τινα φωνήν, τὸ δὲ ἐμαυτοῦ ἤκουσα οὐκέτι.]

Εἰ τὰ συντεθέντα καθ' οἱανδήποτε πτῶσιν μένει κατὰ πᾶσαν πλάγιον, σύνθετον δὲ τὸ ἐμωυτοῦ παρ' Ἴωσι καὶ παρ' ἡμῖν, καθὸ καὶ ὁ τόνος ὁμολογεῖ (μία γὰρ ἡ περισπωμένη)· τί δήποτε τὸ ἐν τῇ αἰτιατικῇ C σχῆμα ἐσημειοῦτο, ὡς οὐ δυνάμενον τὴν διὰ τοῦ ω̄ γραφὴν ἀναδέξασθαι, «εἴ γέ», φασι, «τὸ ε̄ καὶ τὸ ᾱ οὐκ εἰς ω̄ κιρνᾶται»; — ἄλλως τε εἰ καὶ κατὰ πτῶσιν συνετίθεντο, οὐδὲν ἦν τὸ κωλῦον ἐν τῇ ἐμαυτόν αἰτιατικῇ τὸ ᾱ εἰς ω̄ μετατίθεσθαι Ἰωνικῷ ἔθει, καθάπερ καὶ τὸ αὐθαδής αὐτώδης.

Ἡ ἐμοῦς κοινὴ οὖσα Συρακουσίων καὶ Βοιωτῶν, καθὸ καὶ Κόριννα 95 A (fr. 37 Bergk[3]) καὶ Ἐπίχαρμος ἐχρήσαντο, πρὸς ἐνίων ἐδόκει ⟨μᾶλλον⟩ κατωρθῶσθαι τῆς δίχα τοῦ σ̄ προφερομένης, εἴγε τὰ εἰς ω λήγοντα εἰς ους κατὰ γενικὴν λήγει. Πρῶτον μὲν οὐ παρὰ Δωριεῦσιν· ἔπειτα τὸ σύμφωνον αὐτοὺς ἔλαθε· ποῦ γὰρ τῆς εὐθείας τὸ γ̄; πῶς δὲ καὶ τὸ δεύτερον εἰς ους λήγει; τεοῦς γάρ, τῆς εὐθείας εἰς ῡ ληγούσης. Ἔτι καὶ ἐμέος οἱ αὐτοὶ Δωριεῖς, καὶ ἐν συναλοιφῇ ἐμεῦς αἱ χρήσεις παρ' Ἐπιχάρμῳ. ἡ μέντοι ἐμίο καὶ ἐμίω καὶ ἔτι σὺν τῷ σ̄ ἐμίως καὶ B ἐμῶς δισυλλάβως, παρὰ Ῥίνθωνι.

Ἰτέον ἐπὶ τὰς κατὰ τὸ δεύτερον.

Τῇ μὲν οὖν ἐμοῦ σύζυγος ἡ σοῦ, πάλιν τὴν αὐτὴν ὁμοφωνίαν ἀναδεδεγμένη κτητικῇ τε καὶ πρωτοτύπῳ· τῇ δὲ ἐμεῦ ⟨ἡ⟩ σεῦ, ἐμέο σέο, ἐμεῖο σεῖο, ἐμέθεν σέθεν, συνθέτῳ τε τῇ ἐμαυτοῦ ἡ σαυτοῦ. ἀλλὰ μὴν καὶ τῇ ἐμοῦς Δωρίῳ ἡ τεοῦς, Ἡρακλῆς τεοῦς κάρρων ἦς, C Σώφρων (fr. 27 Ahrens), καὶ ἔτι Κόριννα·

περὶ τεοῦς Ἑρμᾶς ποτ' Ἄρευα πουκτεύϊ (fr. 3 Ahrens, 11 Bergk[3]).

Ἔστι καὶ ἡ τιοῦς, διὰ τοῦ ῑ, ἣν καὶ ἀναλογωτέραν ἡγητέον, ἐπεὶ τὸ ε̄ εἰς ῑ μεταβάλλουσι, φωνήεντος ἐπιφερομένου. Ἔτι τῇ ἐμέος ἡ τέος

Argum. 3 Mirum non est ab ἐμωυτοῦ genetivo descendere ἐμωυτόν accusativum, quod initia compositorum per omnes casus servantur. — 10 Reliquae formae genetivi singularis primae personae percensentur. — Ἐμοῦς quidam pro pleniore forma habuerunt, quam ἐμοῦ, sed falsi sunt. — 20 Genetivi singularis secundae personae. Formae omnium usu receptae, Homericae, doricae.

Discr. script 3. συντεθεντα A, σύνθετα b | 4. Ἴωσιν ⟨ὡς⟩ RSchneider, aut delendum καὶ παρ' ἡμῖν aut ⟨τὸ ἐμαυτοῦ⟩ addendum esse censet CWachsmuth | 7. φασιν A | 10. inscriptio περι της εμους maiusc. A | 11. ⟨μᾶλλον⟩ JGuttentag | 12. κατωρθῶσθαι b, κατορθωσθαι A | προφερομένης b, προσφερομενης A | 14. ελαθεν A | 16. ἐμέος οἱ LCValckenaer b, εμεο σευ A | συναλειφη A | ἡ χρῆσις pro αἱ χρήσεις CWachsmush | 17. ἐμίο HLAhrens, εμειο Ab | καὶ A, καὶ ἔτι b | ἐμίω HLAhrens, ἐμείω Ab | εμιως A, ἐμείως b | 21. inscriptio περι της σου maiusc. A | 22. ἡ σεῦ b, σευ A | 24. καῤῥων LCValckenaer b HLAhrens, καρων A | ἦς HLAhrens, ἦν Ab | 26. Ἄρευα πουκτεύϊ ABoeckh HLAhrens ThBergk, αρ'ευα πουκτευϊ A, Ἄρηα πουκτεύει LCValckenaer b | 27. εστιν A

κατ' ἔγκλιςιν ςύζυγος, ἐκπεφάναντί τεος ταὶ δυςθαλίαι, Cώφρων (fr. 75 Ahrens)· τὸ γὰρ ὀρθοτονούμενον κτητικὴν ςημαίνει.

96 A Τεῦς. Αὕτη ςύζυγος τῇ ἐμεῦς. Ἐπίχαρμος ἐν Κωμαςταῖς ἢ Ἁφαίςτῳ (fr. 64 Ahrens)·

⟨Ἀλλ'⟩ οὐδὲ ποτιθιγεῖν ἔτ' ἐγὼν τεῦς ἀξιῶ·
καὶ πόκ' ἐγὼν παρὰ τεῦς τι μαθών,

Θεόκριτος (V 39)· ἔςτι δὲ καὶ Βοιωτιακὸν δῆλον ὡς·

τεῦς γὰρ ὁ κλᾶρος (Corinnae fr. 17 Ahrens, 24 Bergk[3]).

ὃ περιςπαςθὲν τὴν πρωτότυπον ςημαίνει· ἴςον γὰρ ἔςται τῷ ςοῦ, οὐκ ἄλλης· τὸ δὲ ἐν ὀξείᾳ τάςει, ἐν μέντοι τῇ ἀναγνώςει ἐγκλιθέν, ἴςον τῇ ςός.

B Ἡ ςέο μεταβάλλει τὸ c̄ εἰς τὸ τ̄ παρὰ Δωριεῦςιν. Ἀλκμάν (fr. 19 Bergk[3])·

ἐμὲ Λατοΐδα τέο λάχος χόρον

καὶ ἔτι τεῦ.

Ἀπὸ τῆς ςοῦ Δώριος ἐγίνετο ἡ τεοῦ ὁμότονος, μεταθεῖςα τὸ c̄ εἰς τὸ τ̄ καὶ πλεονάςαςα τῷ ε̄, καθάπερ καὶ ἡ ςός ἐν τῷ τεός. Τινὲς μέντοι ἠξίουν βαρυτονεῖν, οἰόμενοι ἀπὸ τῆς τέο τῇ τοῦ ῡ προςθέςει γεγενῆςθαι. Ἡ χρῆςις παρ' Ἐπιχάρμῳ καὶ Cώφρονι.

C αἰνοδρυφὴς δὲ τάλαινα· τεοῦ κάτα τυμβοχόηςα (Callim. II p. 753 Schneider).

Cώφρων (fr. 76 Ahrens)· οὐχ ἧςςων τεοῦ. Ἐπίχαρμος (fr. 157 Ahrens)·

παιδὶ τεοῦ.

Καὶ ἔτι ἡ τίος. Ἡ μέντοι τίω καὶ τίως, ςυζυγοῦςαι τῇ ἐμίω καὶ ἐμίως, πάλιν παρὰ τῷ αὐτῷ Ῥίνθωνι εἴρηνται.

Εἰ αἱ ὁμοιοκατάληκτοι ἐν δευτέροις προςώποις ταῖς κατὰ τὸ πρῶτον
97 A ἀποβολῇ τοῦ c̄ τὰ τρίτα ἀποτελοῦςι, ςυμφανὲς ὡς καὶ ἀπὸ τῆς ςοῦ ἡ οὗ πρωτότυπος γενήςεται, πάλιν ὁμοφωνοῦςα τῇ ἀπὸ τῆς ὅς γενικῇ

Argvm. 26 Genetivi singularis tertiae personae.

Discr. script. 1. ἐκπεφάναντι HLAhrens, εκπεφαντι A, ἐκπεφήναντι b, ἐκπέφανται LCValckenaer | ταὶ A HLAhrens, αἱ b | 3. τῇ ἐμεῦς b, in A est τηεμευς, parte superiore ε̄ litterae fere evanida; ita factum est ut b in var. lect. τηςμευς enotaret | 5. sic fragmentum restituit HLAhrens, ουδεποτ' ἵοι γινετ' εγων τευς αξιω Ab, οὐδέποτ' . . . ἐγένετ' ἀγών τευς ἄξιος LCValckenaer | 6. ἐγὼν Ab, k apud CZieglerum, ἐγὼ vulg. | τεῦς Ab Iunt., τεῦ p k apud CZieglerum vulg. | 7. εςτιν A | 12. Ἀλκμάν· ἐμὲ Λατοΐδα τέο λάχος χόρον FWSchneidewin, Ἀλκμάν· ἐμὲ Λατοίδα τέο δ'αχοςχορον Ab, Ἀλκμὰν ἐν ε'· Λατοίδα, τέο δ'ἀρχέχορον GHermann, Ἀλκμάν· ἐμέ, Λατοΐδα, τέο δαυχνοφόρον ThBergk (in ed. III, antea coniecerat ὀςχοφόρον) | 15. τεῦ b, τευς A | 16. τεοῦ b, τεους — A | 18. τῇ τοῦ ῡ προςθέςει PEgenolff, τὴν τοῦ ῡ πρόςθεςιν Ab | 24. verba Καὶ ἔτι ἡ τίος fortasse post ἐμίως l. 26 transponenda esse censet HLAhrens | τίως b, τεως A | 24—25. ἐμίω καὶ ἐμίως HLAhrens, ἐμέω καὶ ἐμέως Ab | 26. inscriptio περι της οὗ maiusc. A | 27. αποτελουςιν A

cυνάρθρῳ. Τὴν μὲν οὖν χρῆcιν παρ' Ὁμήρῳ οὐκ ἐνὸν εὑρέcθαι, παρὰ μέντοι Ἀττικοῖc· καὶ ⟨γὰρ⟩ Πλάτων cυνεχῶc ἐχρήcατο, οἵ τε κωμικοὶ καὶ τραγικοί. ὁ μέντοι Ζηνόδοτοc καὶ ⟨τὸ⟩

ἀπὸ ἕο χειρὶ παχείῃ (Υ 261)

διὰ τῆc οῡ ἔγραφεν. ὅπερ παραπεμπτέον, οὐχ ὡc μὴ πρωτότυπον,
ἀλλ' ὡc μὴ cύνηθεc· τῇ γὰρ εἰc οῡ καταλήξει χρῆται ὁ ποιητὴc ἐπὶ B
μόνηc κτητικῆc, τῇ δὲ ἐμεῦ καὶ ταῖc cυζύγοιc ἀντὶ τῶν πρωτοτύπων μόνων,

πατρὸc ἐμοῦ κλέοc εὐρὺ μετέρχομαι (γ 83)·

ἐπὶ δὲ τῆc πρωτοτύπου

ἐμεῦ δ' ἕλετο μέγαν ὅρκον (δ 746).

Ἡ εὗ ἀπὸ τῆc cεῦ, ἐν ἐγκλίcει,

εἴ πώc εὑ πεφίδοιτο (Υ 464) . . . .

κἀκεῖνο δέ τινεc ὀρθοτονοῦcι προcπνέοντεc,

φρίξαc εὗ λοφιήν (τ 446)·

ἀντὶ τοῦ τὴν αὑτοῦ. C

Ἡ ἕο κατ' ἔγκλιcιν,

ἐπεί έο κήδετο λίην (ξ 461)·

καὶ κατ' ὀρθὸν τόνον,

ἀπὸ ἕο χειρὶ παχείῃ (Υ 261).

Εἴρηται δὲ περὶ τῆc εἷο, ὡc μόνωc ὀρθοτονεῖται.

Ἡ ἕθεν ὀρθοτονεῖται μέν, ὡc ἐπὶ τοῦ

ἀπὸ ἕθεν ἧκε χαμᾶζε (Μ 205),

ἐγκλίνεται δέ, ὡc ἐπὶ τοῦ 98 A

ἐπεὶ οὔ ἑθέν ἐcτι χερείων (Α 114).

Οὐ γάρ, ὡc ἔνιοι, χρὴ μόνωc ὀρθοτονεῖν, ὅτι καὶ τὸ πρῶτον καὶ τὸ δεύτερον ὀρθοτονεῖται μόνωc· ἰδοὺ γὰρ καὶ ἐπὶ τῶν δυϊκῶν, ὀρθοτονουμένων τῶν πρώτων καὶ τῶν δευτέρων, τὰ τρίτα ἐγκλίνεται. ἄλλωc τε τὸ ἔτι μεθὲν ἁ καρδία παδῇ (Sophronis fr. 46 Ahrens) ἐγκέκλιται. οὐκ ἐπειδὴ οὖν κατὰ τύχην παρ' Ὁμήρῳ τὰ πρῶτα ὠρθοτονήθη, εὐθέωc καὶ τὰ τρίτα.

Cαφὲc ὅτι καὶ τὸ Αἰολικὸν δίγαμμα ταῖc κατὰ τὸ τρίτον πρόcωπον B

Argum. 1 Οὖ personale non est apud Homerum, qui οῡ terminatione ita utitur, ut possessivorum sit, nunquam personalium. — Ceterae formae enumerantur. — 22 Ἕθεν quidam negant inclinari, quod ne ἐμέθεν cέθεν quidem inclinentur. At tertia hac in re primae et secundae analogiam non sequitur. — 32 Digamma aeolicum est ubi praefigatur personalibus tertiae personae.

Discr. script. 2. καὶ γὰρ b, και A | 3. καὶ τὸ b, και A | inscriptio περι τηc εὖ maiusc. A | 5. 'Excidit exemplum recti tenoris' b in var. lect. | 14. ορθοτονουcιν A | 17. inscriptio περι τηc εο maiusc. A | 18. ἐπεί ἕο b typothetae errore | 21. Εἴρηται] fol. 173 r. | 23. inscriptio περι τηc ἑθεν maiusc. A | 23. ηκεν A | 26. εcτιν A

προcνέμεται, καθὸ καὶ αἱ ἀπὸ φωνήεντος ἀρχόμεναι δαcύνονται. Ἀλκαῖοc (fr. 6 Ahrens, 11 Bergk[3])·

ὥcτε θέων μηδέν᾿ Ὀλυμπίων
λῦcαι ἄτερ Ϝέθεν.

Ἑοῦc. Αὕτη ἀκόλουθοc Δωρικῇ τῇ τεοῦc. ᾗ cυνεχῶc καὶ Κόριννα ἐχρήcατο. ἐν Κατάπλῳ (fr. 4 Ahrens, 2 Bergk[3])·

νίκαc᾿ ὁ μεγαλοcθένηc
C Ὠαρίων, χώραν τ᾿ ἀπ᾿ ἑοῦc
πᾶcαν ὠνούμηνεν.

Ἑοῦ. Αὕτη τῇ τεοῦ ἀκόλουθοc, ἀποβολῆc γενομένηc τοῦ κατ᾿ ἀρχὴν cυμφώνου. εἴρηται κατ᾿ ἀρχὴν περὶ τοῦ πλεονάcαντοc ε̄ κατὰ τὸ δεύτερον πρόcωπον.

Τῆc ἐκεῖνοc καὶ οὗτοc αἱ γενικαὶ παρὰ Δωριεῦcι διὰ τοῦ ω̄,
99 A τήνω καὶ τούτω, τοῦ τέλουc βαρυτονουμένου. πρὸc τῷ καὶ τὸν λόγον ἀπαιτεῖν, καθότι βαρύτονοι αἱ εὐθεῖαι, καὶ τὸ πλεῖcτον τῆc χρήcεωc οὕτωc ἔχει. πρὸc οἷc καὶ τὸ τουτῶ περιcπώμενον. ἐπιρρήματόc ἐcτι παραcτατικόν, τουτῶ θάμεθα, Cώφρων (fr. 42 Ahrens). τὸ δὲ αὐτῶ περιcπαcθήcεται, ὅτι καὶ τὸ αὐτόc ὀξύνεται.

Τὴν ἑαυτοῦ φαcιν ὠλιγωρῆcθαι, καθὸ τὴν μὲν ἐν ἀρχῇ cύνθεcιν αἰτιατικῆc ἔχει, τὸ δὲ τέλοc γενικῆc. Ἀλλ᾿ οὔτε τὰ cύνθετα τὴν αὐτὴν
B κλίcιν ἀναδέχεται τοῖc κατὰ παράθεcιν, ἐπεὶ ἰδοὺ τὸ λεοντοφόνοc ἐκ γενικῆc cυνεcτὸc εἰc αἰτιατικὴν ἀναλύεται, ὁ λέοντα φονεύcαc, καὶ τὸ φιλοπλάτων ἐξ εὐθείαc εἰc αἰτιατικήν, ὁ φιλῶν Πλάτωνα· οὔτε πάντωc αἰτιατικὴ ἔγκειται· τί γὰρ ⟨οὐ⟩ μᾶλλον ἡ εὖ ἐcτι cυντεθεῖcα ἢ ἡ διcύλλαβοc ἡ ἕο; πρὸc οἷc οὐδὲ ἡ δοκοῦcα ἐν cυνθέcει κατωρθῶcθαι ἐν δυcὶν αἰτιατικαῖc, λέγω δὴ τὴν ἑαυτόν, πάντωc δύο αἰτιατικὰc cημαίνει· αὐτὸc γὰρ αὑτὸν ἔπαιcεν.

C «Κἀκεῖνο δὲ ἐπιcτατέον, εἰ ὅλωc cὺν τῷ ε̄ γραφήcεται ἢ διcυλλάβωc μόνωc, μόνον κατ᾿ ἀρχὴν προcπνεόμενον· τὰ γὰρ τῆc χρήcεωc ἐπ᾿ ἴcηc.» Εἴρηται ὡc αἱ ἀπὸ τοῦ c̄ ἀρχόμεναι ὁμοιοκατάληκτοι ἀπο-

Argvm. 13 Genetivi dorici τήνω οὕτω recte gravi tono proferuntur, αὐτῶ acuto. — 19 In ἑαυτοῦ offendunt, quod initium eius sit accusativus ἕ, finis genetivus. Sed potius cum εὖ vel ἕο genetivo compositum est. — 30 Et ἑαυτοῦ et αὑτοῦ forma plena est; quibus formae secundae personae respondent. Ad memoriam prioris compositi partis servandam satis est densa aspiratio.

Discr. script. 3. ὥcτε ThBergk | 4. λῦcαι ἄτερ Ϝέθεν b HLAhrens ThBergk, λυcεατερ γεθεν A | 5. inscriptio περι τηc εουc maiusc. A | 7. ὁ A b HLAhrens ThBergk, ὃν GHermann | μεγαλοcθένηc A b ThBergk, μεγαλοcθένειc HLAhrens | 8. Ὠαρίων b HLAhrens ThBergk, ὠαρειων A | 10. inscriptio περι τηc εου maiusc. A | 10—11. κατ᾿ἀρχὴν aut eiciendum aut post περι τοῦ ponendum esse censet RSkrzeczka, περὶ τοῦ κατ᾿ ἀρχὴν etiam PEgenolff | 13. inscriptio περι των γενικων τηc εκεινοc και ουτοc maiusc. A | τῷ b, το A | 17. εcτιν A | 18. litteras ηc vocis περιcπαcθηcεται ex εν fecit A[1] | 19. inscriptio περι τηc εαυτοῦ maiusc. A | 24 γὰρ οὐ b, γαρ A 25. δοκοῦcα] fol. 173 v. | 28. κακεινο A, κἀκείνῳ b

βολῇ τοῦ c̄ τὰ τρίτα ἀποτελοῦcιν· ὅθεν ἀκόλουθος τῇ μὲν cεαυτόν ἡ ἑαυτόν, τῇ δὲ cαυτόν ἡ αὑτόν. — Φήcει τις τὴν διcύλλαβον ὠλιγωρῆcθαι, «ἐν οἷc πᾶcα λέξιc cύνθετοc μέροc ἔχει ἑκατέραc τῶν φωνῶν. ἡ γοῦν ἐμαυτόν, cαυτόν ἔχουcιν ἡ μὲν τὸ ε̄μ, ἡ δὲ τὸ c̄. ἀνάγκη οὖν 100 A καὶ τὴν ἑαυτόν μέροc ἔχειν, ὅπερ οὐκ ἄλλο γενήcεται ἢ τὸ ε̄.» Ἀλλ' ἡ τοῦ δαcέοc πνεύματοc μονὴ ἀρκετὴ εἰc ὑπόμνηcιν τῆc cυνθέcεωc, ἐπεὶ τὰ τρίτα τῶν δευτέρων οὐ πλεονοcυλλαβεῖ, εἰ μὴ ἐν πάθει πλεοναcμὸc γένοιτο, ὡc ἡ ἑοῖ καὶ ἑόc καὶ ἑέ. — «Ἀλλά», φαcιν, «εἰ τὸ ε̄ τῆc εὖ ἀντωνυμίαc κατὰ τὴν cύνθεcιν ἐκθλίβεται, δῆλον ὡc καὶ τὸ πνεῦμα ἀποβληθήcεται.» Ἀλλ' οὐκ ἐκθλίβεται, ἀλλὰ κιρνᾶται. ἔπειτα ἡ ἀφαίρεcιc τοῦ c̄ ἐν δευτέροιc δαcείαc ἐcτὶν ἐμποιητική, cέθεν ἕθεν. B δῆλον οὖν ὡc τῆc ⟨μὲν cαυτόν διcυλλάβου ἀκόλουθον διcύλλαβον τὸ αὑτόν, τῆc δὲ⟩ cεαυτόν τριcυλλάβου ἀκόλουθον τριcύλλαβον τὸ ἑαυτόν.

Φανερὸν ὡc οἱ προcχρηcάμενοι τῇ ἑαυτούc cὺν ταῖc cυζύγοιc ἐπὶ πρώτου καὶ δευτέρου παρὰ τὰ πρόcωπα ἁμαρτάνουcιν, ὅθεν καὶ τοὺc δαcέωc ἀναγνόνταc τὸ

αὑτῶν γὰρ ἀπωλόμεθ' ἀφραδίῃcιν (κ 27)

καὶ

ὃc δέ μοι οἷοc ἔην, εἴρυτο δὲ ἄcτυ καὶ αὐτούc (Ω 499) C

οὐ μετρίωc ἂν μεμψαίμεθα, οὐκ ὀλίγην ἀπειρίαν καταγγέλλονταc τοῦ ποιητοῦ διὰ τὴν ἰδίαν εὐήθειαν, εἴγε τρίτου καθεcτῶcαι ἐπὶ πρώτου λαμβάνονται. — πρὸc οἷc οὐδέποτε ἑνικὴ παρ' αὐτῷ cύνθετοc, μή τί γε καὶ πληθυντική, ἧc τὸ cχῆμα παράλογον ἐδείχθη. — καὶ εἰ μὲν τριcυλλάβωc ποτὲ εἴρητο, κἂν ἦν cυμφανὲc ἁμάρτημα· ἐν οἷc οὖν διcυλλαβεῖ, cαφὲc ὅτι ἁπλῆ ἐcτι, λείπουcα ἐθίμωc αὐτῷ τῇ ἡμῶν, «ἡμῶν 101 A αὐτῶν ἀπωλόμεθ' ἀφραδίῃcιν», καὶ «ἡμᾶc αὐτούc». καὶ γὰρ ἐφ' ἑνικῶν,

αὐτὸc νῦν ἰδὲ πῶμα, θοῶc δ' ἐπὶ δεcμὸν ἴηλον (θ 443)

καὶ

αὐτὸc ἑκών οἱ δῶκα (δ 649).

Ἀλλὰ καὶ ἐφ' ἑνικῶν, ὡc ἂν ἀπαιτοῦντοc τοῦ λόγου, ὑπὸ τῶν περὶ τὸν Ἀcκαλωνίτην ἐκεῖναι προcεπνεύcθηcαν,

---

Argum. 8 Quae ut abiciatur fieri non potest; nam ε̄ non detrahitur, sed crasi admiscetur. — 14 Qui ἑαυτούc ita usurpant, ut ad primam secundamve personam referatur, non recte loquuntur; quem abusum noli Homero obtrudere. — 22 Apud eum omnino composita non leguntur, nec in plurali, — 30 nec in singulari.

Discr. script. 2—3. ωλιγορηcθαι A | 4. τὸ ε̄μ RSchneider, τὸ ε̄ A b | 8. ἑοῖ et ἑέ RSchneider, ἕοι et ἕε b | φαcι A | 12—13. τῆc ⟨μὲν — ἑαυτόν RSchneider, τηc cεαυτον τριcυλλαβου ακολουθον τριcυλλαβον το εαυτον A, τῆc cαυτόν διcυλλάβου ἀκόλουθον διcύλλαβον τὸ αὑτόν b | 16. αναγνωνταc A | 24. εἴρητο b, ειρηται A¹, non ειρηται, ut b in var. lect. enotavit | κἂν ἦν cυμφανὲc ἁμάρτημα A b, 'sic fortasse leg. οὐκ ἂν ἦν cυμφανὲc τὸ ἁμάρτημα' b in var. lect., articulum addi vult etiam RSkrzeczka | 25. εcτιν A | 31. αcκαλωνικ'ῖν A, hinc fol. 174 r.

B αὐτόν μιν πληγῇσιν (δ 244),

ἵνα μὴ ὡς ὑπ' ἄλλου πεπληγμένος νοῆται· καὶ

ἄλλῳ δ' αὐτὸν φωτὶ κατακρύπτων (δ 247)

καὶ

τὴν αὐτοῦ φιλέει καὶ κήδεται (Ι 342),

καὶ

μέγα μὲν κλέος αὐτῆς

ποιεῖται (β 125)·

C ἐφ' ἧς οὐδὲ τὸ τῆς ἐπιφερομένης πτώσεως ἁρμοστόν· δέον γὰρ ποιεῖν «ποθήν» σὺν τῷ ν̄. Ἀλλὰ καὶ ἐπὶ τούτων ὁ αὐτὸς λόγος εἰρήσεται, ᾧ κατ' ἔλλειψιν πάλιν τῶν τρίτων ὁμοίως ταῖς κατὰ τὸ πρῶτον καὶ δεύτερον ἐξηνέχθησαν, εἴγε καὶ τὸ ἀκριβὲς τῆς ἀναγνώσεως κατὰ αὐτὸ τὸ τοῦ ποιητοῦ σύνηθες ἐξετάζεται. ἀξιοῦμεν γὰρ ἀπαρεμφάτως ἀναγινώσκειν

τὰ δ' ἄποινα δέχεσθαι (Α 20)

καὶ

102 A ἐπιτεῖλαι (Δ 64)

οὐ προπαροξύνοντες, τοῦ λόγου ἀπαιτοῦντος πρόσταξιν. δέον δὲ καὶ ἐπὶ τοῦ

μέγα μὲν κλέος αὐτῆς

ποιεῖται (β 125)

ἐκδέχεσθαι τὸ γίνεται, ἐν ᾧ καὶ ἁπλῆ ⟨ἡ⟩ ἀντωνυμία νοεῖται, καὶ ἡ ἐπιφερομένη πτῶσις ἀκόλουθος. ἀλλὰ μὴν καὶ τὸ

αὐτόν μιν πληγῇσιν (δ 244)

δασυνόμενον τρεῖς ἀντωνυμίας παραλήψεται· διὸ καὶ ὁ Πινδαρίων διὰ
B τοῦ ε̄ ἔγραφεν, ὁ δὲ Ἰξίων ἀξιοῖ, ὥστε ἀντὶ τῆς ἕ τὴν μίν παρειλῆφθαι. ὅπερ βέλτιον ἐπὶ τῶν τοιούτων παρέλκεσθαι τὴν μίν ὁμοίως τῷ

ἠέ μιν αὐτόν (Ω 472)

κὰδ δέ μιν αὐτὸν

εἰλύσω ψαμάθοισιν (Φ 318),

ἤ, ὡς Τρύφων (p. 30 Velsen) φησίν, ὅμοιον εἶναι τῷ σφέας αὐτούς αὐτοὶ
C αὐτούς καὶ αὐτὸς αὐτόν· ᾧ ἀντέκειτο τὸ ⟨μὴ⟩ ἐν δυσὶν ὀρθοτονουμέναις λαμβάνεσθαι τὸ αὐτόν μιν ὁμοίως τῷ σφέας αὐτούς. Τὸ

Argvm. 10 Ubi composita requiri videntur, potius ἕ οὗ e. q. s. cogitando supplenda sunt.

Discr. script. 1. μιν b, μεν A | 3. δ' b, δε — A | 7. αὐτῆς Ab, αὐτῇ Homerus vulg. | 9. ἁρμοστόν GUhlig, ἁρμοστέον Ab | 12—13. κατὰ αὐτὸ τὸ b, κατα το αυτο A | 13. τοῦ ποιητοῦ RSkrzeczka, τῶν ποιητῶν Ab | 15. τά τ' Homerus | 18—19. καὶ ἐπὶ b, κ'επι A | 22. ἁπλῆ ἡ b, απλη A | 23. ἀλλὰ μὴν b, αλλα μιν A | 24. αυτον A Homerus, αὐτός b | 26. τοῦ ε̄] τοῦ ψιλοῦ AdeVelsen | ὁ δὲ RSchneider, ὅ τε Ab | 31. τῷ b, το A | 32. τὸ μὴ b, το A

εὖ ἐντύναcάν ἑ αὐτήν (Ξ 162)

καὶ

πυκάcαcάν ἑ αὐτήν (P 551)

μόνως ἐν διαλύcει ληπτέον, εἴγε ἀcύνθετος ἐν τῷ καθόλου ἡ τῶν ἀντωνυμιῶν χρῆcιc παρ' αὐτῷ. ἄλλως τε καὶ ἐλέγχονται ἐκ τῶν cυζύγων ἀρcενικῶν,

ἕο δ' αὐτοῦ πάντα κολούει (Θ 211) 103 A

καὶ

ἑὲ δ' αὐτόν (Υ 173),

ἐφ' ὧν καὶ μέcουc cυνδέcμουc ἔταξεν. — Καὶ παρὰ τοῖc Αἰολικοῖc δὲ ὡc ἐν παραθέcει ἀνεγνώcθη

ἔμ' αὔτᾳ τοῦτ' ἔγων cυνόϊδα (Sapphus fr. 102 Ahrens, 15 Bergk[3])·

ἔμ' αὔτῳ παλαμάcομαι (Alcaei fr. 87 Ahrens, 72 Bergk[3]).

ἀλλ' ἐμάχετο τὸ

νόον δὲ Ϝαύτω

πάμπαν ἀέρρει (Alcaei fr. 88 Ahrens, 78 Bergk),

ἅπερ ἀcύνηθεc ἐν ἁπλότητι μὴ οὐχὶ τὸ ε̄ προcλαμβάνειν. καὶ ἔτι B ὁμοίωc παρὰ τῷ αὐτῷ Ἀλκαίῳ ἐν ἑβδόμῳ (fr. 89. 90 Ahrens, 87. 101 Bergk[3])·

cὺ δὲ cαύτῳ τομίαc ἔcῃ.

ἀλλὰ cαύτω μετέχων ἄβαc πρὸc πόcιν.

πῶc γὰρ ταῦτα cύνθετα, τῶν πρώτων ἐν διαλύcει ὄντων; δῆλον οὖν ὡc ἀνώμαλοc ἡ ἀνάγνωcιc τῶν πρώτων πρὸc τὰ ἑξῆc.

Αἱ κατὰ ⟨τὸ⟩ πρῶτον καὶ δεύτερον πρόcωπον τῆc δοτικῆc ὀξυνό-

Argum. 19 Idem usus Aeolensium est. — 24 Dativi singularis. — Sidonius οἶ vituperat, quod sit circumflexo notatum, cum cetera acutum habeant. Sed hoc potius analogiam sequitur.

Discr. script. 3. πυκάcαcα Homerus | 5—6. cυζύγων b in var. lect., cυζυγιῶν idem in textu, cυζυγϊῶν̈ A, puncta ab A¹ | 9. ἑὲ RSchneider, ἕε b | 12. ἔγων δ'ἔμ' αὔτᾳ τοῦτο cυνόϊδα Apollonius supra p. 51, 2, ἔμ' αὔτᾳ b HLAhrens, ἐμαύτᾳ ThBergk | cύνοϊδα HLAhrens, cύνοιδα b ThBergk | 15. ἔμ' αὔτῳ b et ThBergk, qui haec adnotat: 'Apparet ex Apollonii paradosi firmatum esse ἔμ' αὔτῳ, sed rectius ἐμαύτῳ scribas, ut cαύτω, Ϝαύτω', ἐμ' αὔτῳ HLAhrens, εμαυτῶ A | 15. νόον FJBast HLAhrens ThBergk, νόω Ab | δὲ Ϝαύτω HLAhrens ThBergk, δ'ἑαύτω Ab | 16. αερρει A HLAhrens ThBergk, ἀέρρεται b | 20—21. Duo esse fragmenta vidit b, quem secuti sunt HLAhrens ThBergk | 20. τομίαc ἔcῃ FJBast ThBergk, τομίαιc ἔcῃ b in var. lect., τομίαc ἔccῃ HLAhrens, το. μαιc εcη, ut videatur ταμαιc fuisse, A | 21. cαύτω μετέχων ἄβαc Ab ThBergk, cαύτῳ πεδέχων ἄβαc HLAhrens; verba πρὸc πόcιν traicienda et cum τομίαc ἔcῃ coniungenda esse censet ThBergk, qui totum locum inde a lin. 9—15 sic constituit: ἀλλ' ἐμάχετο τὸ Νόω δὲ Ϝαύτῳ πάμπαν ἀέρρει· καὶ· ἀλλὰ cαυτῶ μετέχων ἄβαc· ἅπερ ἀcύνηθεc ἐν ἁπλότητι μὴ οὐχὶ τὸ ε̄ προcλαμβάνειν· καὶ ἔτι ὁμοίωc παρὰ τῷ αὐτῷ Ἀλκαίῳ ἐν ἑβδόμῳ· cὺ δὲ cαύτῳ τομίαc ἔcῃ πρὸc πόcιν, nunc demum intellegi dicens, quo iure ἅπερ, non ὅπερ Apollonius scripserit | 22. ταυτα A, τὰ τοιαῦτα b | 23. inscriptio περι τηc εμοι coι οι maiusc. A | Αἱ κατὰ] fol. 174 v. | τὸ πρῶτον b, πρωτον A

C μεναι τὴν κατὰ τὸ τρίτον περισπωμένην ἔχουσι· σοὶ μὲν γὰρ ἐγώ, σὺ δ' ἐμοί (Δ 63)· ἐπὶ δὲ τοῦ

ἤ ὀλίγον οἷ παῖδα (Ε 800)

περισπῶμεν. ὅθεν ὡς παράλογον ὁ Σιδώνιος ὤξυνεν, ᾗ αἱ ὁμοιοκατάληκτοι καὶ ὁμότονοι κατὰ πᾶν πρόσωπον. — Καὶ ἕνεκα μὲν τῶν δύο πρὸς τὸ ἓν τὸ ἓν εὐθύνεται, ἕνεκα δὲ τῆς τῶν φωνῶν ἀκολουθίας εὐθύνονται αἱ δύο. — πᾶσα γὰρ δοτικὴ μακροκατάληκτος οὐδέποτε
104 A ὀξύνεται· αἱ γὰρ ὀξυνόμεναι βραχυκατάληκτοι, καὶ διὰ τοῦτο μᾶλλον τὸ ἐμίν Δωρικὸν ἀνάλογον. — ὁμότονοί εἰσιν αἱ γενικαὶ ταῖς δοτικαῖς ἰσοσυλλαβούσαις· πῶς οὖν αὗται ὀξύνονται, τῶν γενικῶν περισπωμένων; ἀνάλογος ἄρα ἡ οἷ. — αἱ μονοσύλλαβοι δοτικαὶ περισπῶνται· ἀνάλογος ἄρα ἡ οἷ. ὁμοτονοῦσιν αἱ κτητικαὶ ταῖς πρωτοτύποις, ἐμός ἐγώ, ἐμόν ἐμέ, σόν σέ· εἰ οὖν ἐμῷ καὶ σῷ, πῶς οὐχὶ καὶ ἐμοῖ καὶ σοῖ; ἀνάλογος ἄρα ἡ οἷ. — «Ἀλλά», φασιν, «ἡ μὲν ἐμοῦ διαιρεῖται,
B ἡ δὲ ἐμοί οὐκέτι». — Ἀλλ' οὐ τοῦτο αἴτιον γενήσεται τῆς τάσεως, εἴ γέ τινα περισπώμενά ἐστιν ἀδιαίρετα καὶ ὀξυνόμενα διαιρούμενα. ἐκεῖνο οὖν ῥητέον, ὡς πολλάκις τὴν ἀκολουθίαν διαψεύδονται αἱ ἀντωνυμίαι· τοιαῦται οὖν καὶ αἱ προκείμεναι.

Ἀττικοὶ ἔμοιγε. Αἰολεῖς ἔμοι βαρέως. Βοιωτοὶ διὰ τοῦ ῡ, ἐμύ, συνήθως, καθότι καὶ τὸ καλοί καλύ. Δωριεῖς ἐμίν καὶ ἔτι ἐμίνγα.
C Σώφρων (fr. 53 Ahrens) μόνον ἐμίνγα τὸ τοῦ γόγγρου τέμαχος. Ἡ ἐμίνη συνήθης Ταραντίνοις· ἡ δὲ χρῆσις παρὰ Ῥίνθωνι.

Σοί. Ἀττικῶς. Ἴωνες, Αἰολεῖς ὁμοίως:

σοὶ δ' ἔγω λεύκας ἐπὶ βῶμον αἶγος

Σαπφώ (fr. 7 Ahrens, Bergk[3]). καὶ τὸ κατὰ ἀπόλυσιν διὰ τοῦ τ̄·

κἀπιλείψω τοι (Sapphus fr. 91 Ahrens, 8 Bergk[3]).

καὶ σαφὲς ὡς μᾶλλον Δώριος ἡ μετάληψις, παρ' οἷς τὸ σ̄ τῶν ἀντω-
105 A νυμιῶν τ̄ γίνεται. τῶν δὴ ἀπολύτων διὰ τοῦ τ̄ λεγομένων μόνη σημειούσθω διασταλτικὴ οὖσα ἡ

νῦν δέ τοι οἴῳ πάμπαν (τ 369).

τὸ γὰρ

οὔ τοι, τέκνον ἐμόν, δέδοται (Ε 428)

δύναται ἔχειν τὸν λόγον οὕτως· «οὐ δέδοταί σοι πολεμήϊα ἔργα, ἀλλὰ τῷ Ἄρει· σὺ οὖν μετέρχου τὰ ἔργα τοῦ γάμου», ἵνα πρὸς τὸν Ἄρην

ARGVM. 19 Dativi singularis primae personae. — 23 Dativi singularis secundae personae.

DISCR. SCRIPT. 1. εχουσιν A | 9. δωρικον A, Δώριον b | 14. φασιν A, φησὶν b | 22. ταραντηνοις A | 24. σοὶ δ'ἔγω ThBergk, σοι δεγω A, σοῖ δ'ἔγω HLAhrens, σοὶ δ'ἔγων b | ἐπὶ βῶμον αἶγος b et ThBergk, qui adnotavit 'nisi forte fuit ἐπί τ' ὦμον (i. e. ὠμόν)', ἐπὶ βῶμον Αἶγας HLAhrens, επιδωμον αιγος A | 25. κατὰ ἀπόλυσιν scripsit RSchneider, κατὰ ἀπόλυτον Ab | 26. κ'απιλειψώ τοι A | 27. ως μᾶλλον A, ὅτι μᾶλλον b | μεταλῆψίς A, puncta adiecit A[1] | 33—34. ἀλλὰ τῷ Ἄρει Ab, ἀλλὰ ⟨ταῦτα μελήσει⟩ τῷ Ἄρει KLehrs

ἢ cύ διαcτέλληται. — ὀρθοτονεῖται δὲ καὶ παρ' Ἀλκμᾶνι, cυνήθωc Δωριεῦcιν·

ἅδοι Διὸc δόμῳ ὁ χορὸc ἁμὸc καὶ τοί, Ϝάναξ (fr. 86 Bergk[3]). — B

Λέγεται δὲ καὶ τίν καὶ ἔτι μετ' ἐπενθέcεωc τοῦ ε̄ τεῖν. ἰδίωc γὰρ ἡ μετάθεcιc ἡ εἰc τὸ ῑ τοῦ ε̄ δεκτική ἐcτι, cοῦ τοῦ τεοῦ, cόc τεόc. — Τίθεται παρὰ Κορίννῃ καὶ ἐπ' αἰτιατικῆc ἐν Κατάπλῳ,

οὐ γὰρ τὶν ὁ φθονερὸc δαίμων (fr. 5 Ahrens, 4 Bergk[3])·

ἀντὶ τοῦ cέ, καὶ caφὲc ὡc κατ' ἐναλλαγὴν πτώcεωc. — Τινὲc μέντοι ἠξίωcαν τείνειν τὸ ῑ, ἵνα ἐκ τῆc τεί παρὰ Δωριεῦcι διὰ τοῦ ει̅ γραφο- C
μένηc ᾖ ἐcχηματιcμένη, μεταθέcει τοῦ ει̅ εἰc τὸ ῑ, ὅπερ cύνηθεc, προcειληφυῖά τε τὸ ν̄ ὁμοίωc τῷ ἐκεινοcίν, οὑτοcίν. ἀλλὰ ἀντίκειται τὸ μόνον ἐν τρίτοιc τὸ ν̄ προcέρχεcθαι.

Cύζυγοc τῇ ἐμίνη ἡ τίνη, ἥ ἐcτι παρὰ Ταραντίνοιc.

Οἷ. Cυνήθηc Ἀττικοῖc καὶ Ἴωcι. πεζολόγοι ἐχρήcαντο Πλάτων
καὶ Ξενοφῶν. εἴρηται ὡc ὀρθοτονουμένη περιcπᾶται, τῶν cυζύγων 106 A
ὀξυνομένων. Αἰολεῖc cὺν τῷ Ϝ·

φαίνεταί Ϝοι κῆνοc (fr. 2 Ahrens, Bergk[3] ad fr. 2)

Cαπφώ. Βοιωτοὶ cυνήθωc εἰc τὸ Ϝῦ μεταλαμβάνουcι. καὶ Δωριεῖc ὁμοίωc ἡμῖν λέγουcιν οὐκέτι οἱ δῶ, Cώφρων (fr. 77 Ahrens). — Ἡ μετὰ τοῦ ε̄ μόνωc ὀρθοτονεῖται. εἴρηται δὲ ὡc καθόλου αἱ πλεονάcαcαι τῷ ε̄ μόνωc ὀρθοτονοῦνται. — Τῇ τίν cύζυγοc ἡ ἵν, τοῦ τ̄ ἀρθέντοc. Ἡcίοδοc·

ἶν δ' αὐτῷ θανάτου ταμίηc (fr. CCIV Goettling, V Schoemann).

ἔcτι καὶ ἡ ἑῖν ἀπὸ τῆc τεῖν παρὰ Ἀντιμάχῳ (p. 29 Stoll) καὶ Κορίννῃ B
(fr. 36 Bergk[3]), ἐπὶ αἰτιατικῆc ἔcθ' ὅτε παραλαμβανομένη·

Ἡ ἐμέ πρὸc παcῶν διαλέκτων λέγεται. παρὰ Δωριεῦcι μετὰ τοῦ ῑ, ἐμεί, ᾗ cυνεχῶc Ἐπίχαρμοc χρῆται. κοινῶc μέντοι ὁ Cώφρων (fr. 78

Argum. 14 Dativus singularis tertiae personae. Οἷ et inclinatur et recto tono profertur, ἑοῖ semper rectum accentum servat. — 26 Accusativi singularis primae personae.

Discr. script. 2. Δωρι|εῦcιν] fol. 175 r. | 3. 'δόμῳ de vitio suspectum' ThBergk | Ϝάναξ MMaittaire b ThBergk, γ'αναξ A | 4. καὶ ἔτι GKoen b, και ετιν A | 6. εcτιν A | αιτιατιατικηc A | 7. γὰρ τὶν HLAhrens ThBergk, γαρτιν A, γάρ τιν b | δαίμων b ThBergk, δαιμωτ A, δήμων HLAhrens | 9. τείνειν b, τινειν A | τεί HLAhrens, τέ Ab | ει̅ HLAhrens, ε̄ Ab | 10. ει̅ HLAhrens, ε̄ A | 13. εcτιν A | 14 ιωcιν A | 17. hoc fragmentum diversum esse ab eo, quod 59, 10 affertur, censet ThBergk | in margine A haec φαινεται μοι κηνοc repetita | 18. Ϝῦ HLAhrens, ἕ A et b in textu, qui in var. lect. ὗ proponit | μεταλαμβανουcιν A | 19. 'suspectum est οὐκέτι' b in var. lect. | οἱ δῶ HLAhrens, οι δω A et b in textu, 'scribendum οἷ δῶ' b in var. lect., οἱ δωcῶ conicit RSchneider | 23. ἶν b, ἷν CGoettling, ην A | 24. εcτιν A | αἰτιατικῆc b in var. lect. RSkrzeczka, δοτικῆc Ab in textu | 26. inscriptio περι τηc εμε cέ ἕ maiusc. A | δωριευcιν A | 27. ἐμεί HLAhrens, ἐμεῖ b

Ahrens) τί οὐ παρ' ἔμ' ἐcτράφθη. Ἡ ἀπολελυμένη οὐκ ἐπεκτείνεται.

Ἡ cέ ὁμοίως πρὸς πάντων κοινή. Δωριεῖς διὰ τοῦ τ̄·

C εἰς τὲ καταρρεῖ,

Θεόκριτος (I 5).

πρὸς δὲ τὲ τῶν φίλων,

Ἀλκμάν (fr. 52 Bergk[3])· καὶ ἔτι μετὰ τοῦ ῑ,

τεὶ γὰρ Ἀλέξανδρος δάμασεν (Alcmanis fr. 53 Bergk[3]).

καὶ ἔτι κοινῶς·

cὲ γάρ ἅζομαι (Alcmanis fr. 54 Bergk[3]).

Εἴρηται ὡς ἡ ἐγκλινομένη διὰ τοῦ τύ ἐκφέρεται.

107 A Ἡ ἕ cύζυγος τῇ cέ, κοινὴ ἐν διαλέκτοις. Αἰολεῖς μετὰ τοῦ F. Τὸ

ἐὲ δ' αὐτὸν ἐποτρύνει (Υ 171)

εἰ κατὰ τὸ ἄρχον ὀξύνοιτο, δῆλον ὡς παράλογον ἕξει τὸν τόνον. εἴτε γὰρ τὸ δεύτερον ε̄ ἐπλεόνασε, δῆλον ὡς καὶ ἐν αὐτῷ ὁ ὀξὺς τόνος γενήσεται, ὁμοίως τῷ ἤ καὶ ἠέ, καὶ ἥλιος καὶ ἠέλιος (οὕτω γάρ τινες ὑπέλαβον ἐκ τοῦ τὸ ἄρχον δασύνεσθαι, ὅπερ ἴδιον ἦν τῆς ἀντωνυμίας. B ἐλελήθει δὲ αὐτούς, ὅτι ἀρκτικὴ οὖσα ἡ δασεῖα ἐπὶ τοῦ πλεονασμοῦ ἀνατρέχει, ἑώρων καὶ ἕεδνα. ἄλλως τε τὸ πλεονάζον ε̄ ἔξωθεν ἐν ἀντωνυμίαις, ἑός, ἑοῦ, ἑοῖ)· εἴτε τὸ ἄρχον, ὅπερ ἔστι, πάλιν τῆς ἀντωνυμίας φυλάξει τὸν τόνον, εἴγε οἱ πλεονασμοὶ τοὺς τόνους τηροῦσιν, ἑοῖ, ἑοῦ. — ὑπόψυχρον γὰρ τὸ λέγειν ὡς ἐδιπλασιάσθη ἡ ἀντωνυμία, πρὸς οὐδὲν χρειῶδες τριῶν ἀντωνυμιῶν παραλαμβανομένων, συνήθους τε ὄντος τοῦ κατὰ τὸ ε̄ πλεονασμοῦ.

C Οὐκ ἔστι παρὰ Δωριεῦσιν ἐν τρίτῳ ἡ διὰ τοῦ ῑ ἐπέκτασις ὁμοίως τῇ τεί καὶ ἐμεί.

Ἡ μίν μόνως ἐγκλίνεται. διὸ καὶ ταῖς ἐγκλινομέναις μόναις ἰσοδυναμεῖ, οὐκέτι δὲ καὶ ταῖς ὀρθοτονουμέναις, ἐν οἷς κατ' ἀρχὴν ἐκεῖναι τιθέμεναι, λέγω δὲ τὴν αὐτόν, τὴν ἕ, οὐκ ἔχουσι τὴν μίν ἀνθυπαγο-

Argvm. 1 Ubi absolute ponitur, με forma usurpatur. — 3 Accusativi singularis secundae personae. — 12 Accusativi singularis tertiae personae. — 13 Ἑέ oxytonon est. Nam si posterior ε̄ redundaret, tonum sibi exposceret, ut in ἠέ; sin prior superflua est, sicut est, pleni ἕ pronominis accentus, i. e. oxytonesis, servatur, quoniam pleonasmi eundem tonum habent atque plenae formae. — 27 Μίν quod tantum inclinatur, in initio sententiae poni non potest.

Discr. script. 4. εἰς Ab, ἐς Theocriti libri | 8. τεὶ HLAhrens ThBergk, τεῖ b | Ἀλέξανδρος δάμασεν ThBergk, Ἀλεξάνδρῳ δαμασαι Ab in textu, 'fortasse Ἀλέξανδρος δεδάμασται' b in var. lect., 'rectius forsitan scripseris δάμασε sc. Aphrodite' HLAhrens | 12. κοινὴ b, κοινηι A | 13. ἐὲ RSchneider, ἕε b | 15. επλεοναcεν A | 16. τῷ ἤ b, τω ε̄ A | 18. ἐλελήθει] fol. 175 v. | 19. εξωθεν A, ἐξέπεσεν b | 20. ἑοῦ, ἑοῖ RSchneider, ἕου, ἕοι b | εcτιν A | 22. ἑοῖ, ἑοῦ RSchneider, ἕοι, ἕου b | γαρ το A, δὲ τὸ b | 25. εcτιν A | 26. τεί et ἐμεί HLAhrens, τεῖ et ἐμεῖ b | 27. εγκλινομεναι A

μένην· εἴρηται δὲ ὡς ἀδύνατον ἐγκλιτικὸν μόριον ἐν ἀρχῇ εὑρέσθαι.

Ἔτι διαφέρει τῆς ⟨αὐτόν ἡ⟩μίν, ᾗ ἡ ἐξ αὐτῆς μὲν μετάληψις γίνεται 108 A
εἰς τὴν αὐτόν, οὐκέτι δὲ ἡ αὐτόν εἰς τὴν μίν μεταλαμβάνεται, ἡνίκα ἐν πρώτῳ καὶ δευτέρῳ ἐστί. τοῦτο δὲ καὶ ἐπὶ τῶν κατὰ τὸ τρίτον πασῶν.

Ἴωνες διὰ τοῦ μ̄, Δωριεῖς δὲ διὰ τοῦ ν̄.

Ἔτι καὶ ἡ νίν τάσσεται ἐπὶ πλήθους·

ὅστις δὴ τρόπος ἐξεκύλισσέ νιν,

Πίνδαρος Ἰσθμιονίκαις (fr. 2 Boeckh).

προσφωνεῖτέ νιν ἐπὶ νίκαις,

Βακχυλίδης (fr. 8 Bergk[3])· καὶ πλεῖστα ἄλλα. ὁ δὲ πλάνος τῆς τοιαύτης B
ἀφορμῆς ἴσως ἐρρύη ἐκ τοῦ

εὕρομεν ἐν βήσσῃσι τετυγμένα δώματα καλά,
ἀμφὶ δέ μιν λύκοι ἦσαν ὀρέστεροι (κ 210. 212)

καὶ

ἦ μάλα δὴ τάδε δώματα κάλ' Ὀδυσῆος

καὶ

οὐκ ἄν τίς μιν ἀνήρ (ρ 264. 268).

ἦν δὲ τὰ τοιαῦτα ἐπὶ τὴν συνωνυμίαν φερόμενα τοῦ δῶμα, ὁμοίως τῷ C

νεφέλη δέ μιν ἀμφεκάλυπτε,
τὸ μὲν οὔ ποτε (μ 74. 75)

τὸ νέφος·

αἱ μὲν ἀγχιστῖναι· τὰ δ' ἐρῆμα φοβεῖται (Ε 141. 140).
ἐννῆμαρ μέν· τῇ δεκάτῃ δέ (Α 53. 54).

ἐποίσει γοῦν

γιγνώσκω δ' ὅτι πολλοὶ ἐν αὐτῷ δαῖτα τίθενται (ρ 269). 109 A

τὸ δ' ἐπὶ τοῦ Ἄρεως καὶ Ἀθηνᾶς

οὐδ' εἰ μάλα μιν χόλος ἥκει (Ρ 399),

Argum. 2 Ab αὐτόν accusativo ita differt μίν vocula, ut ipsa in eius locum substitui possit, ille, ubi ad primam secundamve personam pertinet, cum ea commutari non possit. — 9 Νίν etiam ad plures refertur; cuius usus origo ab Homero repeti potest, apud quem μίν aliquotiens ad pluralem pertinere videtur; quamquam videtur tantum, nam re vera ad synonymum singularis numeri pertinet.

Discr. script. 1. δε ωс A, γὰρ ὡς b | 2. αὐτόν ἡ b, om. A | 8. ἐξεκύλισσέ νιν ABoeckh, ἐξεκύλισέ νιν b in var. lect., ἐξεκυλίσθη b in textu, εξεκυλισθῆ A, puncta adiecit A[1] | 10. νίκαις] 'Pertinet ad fragmenta Isthmion.' b in var. lect. | 11. βακχυλλιδη A | 11—12. ὁ δὲ πλάνος τῆς τοιαύτης ἀφορμῆς ἴσως ἐρρύη ἐκ Ab, an sit scribendum ὁ δὲ πλάνος ἴσως ἐρρύη ἐκ τῆς τοιαύτης ἀφορμῆς dubitat RSkrzeczka, ἡ δὲ ἀφορμὴ τοῦ τοιούτου πλάνου ἴσως ἐρρύη ἐκ GUhlig | 13. εὕρομεν Ab, εὗρον δ' Homerus | καλά Ab, Κίρκης Homerus | 16. καλα A | 20. ἀμφεκάλυπτε] ἀμφιβέβηκε Homerus | 23. ἀγχιστῖναι Homerus, ἀγχιστῆναι A b | ταδερῆμα in ταδ'έρημα mutavit A[1] | φοβειτε in φοβειται mutavit A[1] | 24. 25. δέ. ἐποίσει b, δ'εποισει A | 27. Αρεωс A, Ἄρεος b | Ἀθηνᾶς b, αόπναс A

ὡς εἰ ἔλεγε χωρὶς ἐφ' ἑκατέρου. τὸ γὰρ πληθυντικὸν ἐφ' ἑνικοῦ μεταλαμβανόμενον καὶ εὔλογον καὶ σύνηθες, εἴγε ἐμπεριεκτικόν ἐστι τὸ πλῆθος τοῦ ἑνός, οὐκέτι δὲ τὸ ἑνικὸν τοῦ πληθυντικοῦ. καὶ ἔτι ἐπὶ δυϊκοῦ. διὸ πάλιν τὸ δυϊκὸν οὐκ ἔστιν ἐπὶ πληθυντικοῦ· τὸ γὰρ

B κρινθέντε δύω καὶ πεντήκοντα (θ 48)

πρὸς τὰ δύο, καὶ τὸ

οἶνον πινόντων (α 340)

ἀντὶ τοῦ πινέτωσαν Ἀττικόν ἐστι. — Τί οὖν οὐχὶ καὶ τὰ δύο ἐφ' ἑνός τάσσεται; Ὅτι καὶ τὸ δυϊκὸν ὄνομα κυρίου ἀριθμοῦ, ὅμοιον τῷ τέσσαρες ἢ τρεῖς ὄν· τὸ δὲ πληθυντικὸν κοινὸν παντὸς ἀριθμοῦ τοῦ ὑπὲρ τὴν δυάδα.

Αἱ δυϊκαὶ κατὰ πρῶτον καὶ δεύτερον πρόσωπον πάσης πτώσεως
C μόνως ὀρθοτονοῦνται· καὶ ἡ αἰτία εἴρηται. Εὐθείας μὲν καὶ αἰτιατικῆς κοινῶς, νῶι, σφῶι· Ἀττικαὶ δὲ τῶν αὐτῶν πτώσεων νώ καὶ σφώ, αἷς καὶ ὁ ποιητὴς προσχρῆται,

νὼ ἀναβησάμενοι (ο 475),

σφὼ δὲ μάλ' ἠθέλετον (Λ 782)·

γενικῆς καὶ δοτικῆς νῶιν ⟨καὶ⟩ σφῶιν. μονοσυλλάβως Εὔπολις Μαρικᾷ (fr. XIII Meineke)·

νὼ γάρ, ἄνδρες, οὐχ ἱππεύομεν,

110 A καὶ ἔτι ἐν Φίλοις

εὐφρανῶ δὲ νώ (fr. 1 Meineke).

τοιοῦτο δ' ἦν τὸ

Argvm. 1 Omnino pluralem de una re vel duabus usurpari licet, non licet dualem vel singularem de pluribus. Neque vero dualis de una re poni potest, ut qui definitum numerum indicet. — 12 Dualis primae et secundae personae. Atticis formis etiam Homerus utitur.

Discr. script. 1. ελεγεν A | εκατερου A, ἑκάστου b | 2. καὶ εὔλογον καὶ σύνηθες] 'Malim καὶ σύνηθες καὶ εὔλογον' b in var. lect. | εστιν A | 3. ἐπὶ ante τοῦ πληθυντικοῦ inserit JGuttentag | 4. πάλιν τὸ δυϊκόν] fol. 176 r. | 5. δυο A | 8. ἀντὶ A, quod ipsum RSchneider proposuerat, ἀνὰ b | εστιν A | 9. κυριου A, κύριον b | 9—10. τέσσαρες ἢ τρεῖς ὄν scripserunt RSchneider et JGuttentag ex A, qui haec habet δ. ηγον, δηγον b in textu, 'corrige ὅμοιον τῷ τέσσαρες ἢ τρεῖς, nimirum ex δ. ηγον' b in var. lect. | 12. inscriptio αρχη του δυικου περι της νωϊ και σφωϊ maiusc. A 'Hic δυϊκοῦ originem traxisse ex male intellecto Δ. i e. τετάρτου, manifestum est ex iis, qui praecedunt, titulis: nam Fol. 157 v. ante vocem Συμβέβηκε legitur [vid. ad 35, 5] et Fol. 166 v., post voces δύο κλίσεων γινομένων, αρχη του τριτου [male, vid. ad 60, 20]. Hos ego titulos, cum similibus pluribus, omittendos duxi, imperite saepe nec suis locis appositos' b in var. lect. Nos omnes eius generis titulos adscribimus | 14. Ἀττικαὶ b, αττικοι A | 18. καὶ add. b | verba μονοσυλλάβως· Εὔπολις — 22 εὐφρανῶ δὲ σφώ sic interpuncta et scripta transponit GUhlig v. 14 post σφώ; post v. 27 σφῶιν inserenda esse talia ⟨δισυλλάβως, παρὰ δ' Ἀττικοῖς μονοσυλλάβως νῷν, σφῷν, ἢ πάλιν καὶ Ὅμηρος προσχρῆται⟩ censet idem | 23. δ' ἦν b, γαρ ην A, quod servat GUhlig

p. 110 (370) A 4 — 112 (372) C 4 b

οὐ γὰρ cφῷν τε γένος ἀπόλωλε τοκήων (δ 62),

ὅπερ ἐδόκει ἐπίμεμπτον εἶναι, ὡς τρίτον πληθυντικὸν δίχα τοῦ ῑ γραφόμενον, τοῦ λόγου ἀπαιτοῦντος δεύτερον· πρὸς γὰρ αὐτοὺς ὑπὲρ αὐτῶν·

ἀλλ' ἀνδρῶν γένος ἐςτέ (δ 63).

ἡ πρόςθεςις οὖν τοῦ ῑ, ποιοῦςα τὸ Ἀττικόν, καὶ εἰς ἀκρίβειαν τὸν B
λόγον καθιςτάνει. καὶ ἦν ἱκανὴ ἀπόδειξις τοῦ εἶναι αὐτὴν γενικὴν
δευτέρου Ἀττικὴν τὸ καὶ ταῖς εὐθείαις ςυνεχέςτερον αὐτὸν κεχρῆςθαι.
πρὸς οἷς ἀκριβὴς πάντοτε περὶ τὰς ἀντωνυμίας ἐςτίν.

Αἱ Ἀττικαὶ κατὰ τὴν εὐθεῖαν ὀξυτόνως ἀνεγνώςθηςαν παρὰ τῷ
ποιητῇ καὶ ἅπαςι τραγικοῖς τε καὶ κωμικοῖς, αἵ τε γραφαὶ οὐκ ἔχουςι
τὸ ῑ προςκείμενον, οἰκεία τε πτωτικῷ ⟨τῷ⟩ διὰ τοῦ ῶ ἡ ὀξεῖα τάςις.
«καὶ διὰ τοῦτο ἐπαινετέα», φαςίν, «ᾗ καὶ ἡ γραφὴ ἀνάλογος καὶ ὁ C
τόνος, ⟨ἡ⟩

πρίν γ' ἐπὶ νὼ τῷδ' ἀνδρί (Ε 219).

ἡ μέντοι νῶι καὶ cφῶι πάλιν οὐκ ἀκόλουθοι, καθὸ οὐδὲν δυϊκὸν εἰς ῑ
λήγει». — Ἀλλ' οὕτως ἐχόντων τῶν ςχημάτων, εἰς ἄπορον περιίςταται
ὁ λόγος. οὔτε γὰρ ἀπὸ τῶν κοινῶν αἱ Ἀττικαὶ καταςταθήςονται, οὔτε
ἀπὸ τῶν Ἀττικῶν αἱ κοιναί. — Εἰ γὰρ τὸ ῑ προςῆλθε τῇ Ἀττικῇ ὡς 111 A
ὁλοκληροτέρᾳ, καθάπερ φίλοις καὶ φίλοιςι, πῶς ςυλλαβικῆς χώρας ἔτυχε;
πάντοτε γὰρ μετὰ φωνήεντος προςτιθέμενον ἀδιάςτατόν ἐςτι, μετὰ δὲ
ςυμφώνου ςυλλαβῆς τυγχάνει· τοῦ προτέρου κενή κεινή, δέους
δείους, τοῦ δευτέρου φίλοιςι, οὑτοςί, ἐκεινοςί. — πῶς δὲ οὐχὶ
ἐντὸς τοῦ ῑ ἡ κλίςις ἔπεςε, καθάπερ ἐπὶ τοῦ τουτουΐ, ἐκεινουΐ; φαμὲν
δὲ ἔξωθεν προςτιθέντες τὸ ν̄, ὡς ἂν τοῦ ῑ μὴ προςεληλυθότος, νῶιν.

Argvm. 1 In hoc versu contracta cφῷν forma legenda est; cφῶν enim si legeres, tertia esset, requiritur autem secunda. — 11 Neque atticae formae νώ cφώ a formis omnium usu receptis derivari possunt, neque vice versa. — 18 Nam si atticas formas plenas esse statuimus: 1) mirum est ῑ post vocalem additam per se esse syllabam. — 23 2) Nec per epectasin ῑ adiecta esse potest.

Testim. 6 schol. H. M. ad δ 62 *χωρὶς τοῦ ι ἡ σφῶν, ὡς Ἀρίσταρχος καὶ Ἡρωδιανός. Ἀπολλώνιος δὲ ἐν τῷ περὶ ἀντωνυμιῶν γράφει αὐτὴν μετὰ τοῦ ι, ἵν' ᾖ δευτέρου προσώπου κατὰ συναίρεσιν. ἀλλ' οὐκ ἔστι κτλ.* Eustath. 153, 42. Et. M. 610, 5. — 12 schol. A. B ad Ε 219 *περὶ δὲ τῆς τάσεως τοῦ μονοσυλλάβου, διὰ τί οὐ περιεσπάσθη, ἐν τῷ περὶ ἀντωνυμιῶν δηλοῦται· καὶ τάχα ἐπεὶ οὐδὲν δυϊκὸν εἰς ω̄ λῆγον περισπᾶται· οὕτως γὰρ ἔχει καὶ τὸ σφώ κτλ.*

Discr. script. 1. τε γένος Ab, γε γένος Homerus | απωλωλεν A | 3. ὑπὲρ Ab, οὐ περὶ ANauck | 6. τ in το ex π factum in A | 11. εχουςιν A | 12. οἰκεία b, οικειαι A | τε Ab, τε ⟨τῷ⟩ RSkrzeczka | ⟨τῷ⟩ διὰ τοῦ ω ἡ ὀξεῖα RSkrzeczka, ἡ διὰ τοῦ ῶ ὀξεῖα Ab, ⟨οἰκεῖαί τε πτωτικῷ⟩ ἡ διὰ τοῦ ω̄ ⟨γραφὴ καὶ ἡ⟩ ὀξεῖα GUhlig | 14. τόνος, ⟨ἡ⟩ b, τονος A | 19. προςηλθεν A | 20. ετυχεν A | 21. εςτιν A | 22. δέους RSchneider, δέος Ab | 24. τοῦ ῑ ἡ κλίςις] fol. 176 v. | επαιςεν A pro ἔπεςε | τουτουΐ, ἐκεινουΐ; φαμὲν b, τουτου εκεινου εφαμεν A

B — πρὸς οἷς καὶ βίαιον ὁλοκληρότερον τὸ Ἀττικὸν ἐκδέχεσθαι τῆς πάν-
των χρήσεως. — ἀλλ' εἰ διαίρεσις, ἑνὸς ὄντος τοῦ ω̄· καὶ τοῦτο
ἀσύστατον. πρὸ γὰρ τοῦ ω̄ τὰ τοιαῦτα, καὶ οὐδέποτε διὰ τοῦ ῑ,
νυμφέων, μουσέων, ὀρέων. — «ἀλλ' ἴσως ἐν τῇ κατὰ διάστασιν
διαιρέσει ἐστίν, ὡς κόϊλον, πάϊς· καὶ εὐλόγως προπερισπασθήσεται
τὸ νῶι διὰ τὴν τῆς βραχείας ἐπιφοράν». ἀλλὰ πολὺ πρότερον δοθή-
C σεται διὰ τοῦ ῑ αὐτὰς γράφεσθαι, ὅπερ οὐχ εὑρέθη. τεκμηριοῦνταί τε
ἐκ τοῦ Βοιωτιακοῦ, ἐπεὶ οὐδέποτε παρὰ αὐτοῖς νοί διὰ τοῦ οῑ. — οὐκ
ἐπεὶ δὲ παρ' Ἀττικοῖς ἔστι νωίτερος καὶ σφωίτερος, εὐθέως καὶ κατὰ
τὴν εὐθεῖαν τὸ ῑ προσγεγράψεται· ἀπὸ γὰρ γενικῶν αἱ κτητικαί, αἵτινες
σὺν τῷ ῑ γράφονται.

«Ἀλλ' ἐκ τῶν ἐναντίων ἀπὸ τῆς νῶι τὸ Ἀττικόν.» — Εἰ μὲν οὖν
κατὰ τὴν πρόσληψιν τοῦ ῑ, καθὸ Καδμῆδες καὶ Νηρῇδες, πάλιν ἡ
112 A γραφὴ τὸ ῑ ἕξει, ὅ τε τόνος περισπασθήσεται, οὐδενὸς ἐμποδίου ὄντος·
εἰ δὲ ἀπεκόπη, τὸ μὲν ῑ οὐχ ἕξει, τὸν δὲ τόνον περισπάσει, καθὸ καὶ
ἀπὸ τοῦ δῶμα δῶ καὶ ἀπὸ τοῦ ἧλος ἧλ.

Ἀπ' οὐδετέρας οὖν τοῦ λόγου καθισταμένου, θεματικὰς ἀμφοτέρας
εἰσηγήσαντο, εἴγε ἡ χρῆσις παρὰ τῷ ἀρχαιοτάτῳ ποιητῇ ἀμφοτέρων
ἐστί· καὶ παρὰ μὲν τοῖς μετοίκοις Ἴωσι τὴν δισύλλαβον ἐμμεῖναι, παρὰ
δὲ τοῖς καταμείνασιν Ἀττικοῖς τὴν μονοσύλλαβον. — Εἰ δὲ δέον ἐστὶν
B ἀπὸ τῆς κοινῆς τὴν Ἀττικὴν καθίστασθαι, καθὸ καὶ ⟨αἱ⟩ ἄλλαι ἔχονται
ἀφορμῆς τῶν κοινῶν, λεκτέον ὡς ἡ νώ καὶ σφώ ἀποκοπεῖσαι οὐκ
ἀήθως τοῖς Ἀττικοῖς (Ποσειδῶ γάρ φασι καὶ μὰ τὸν Ἀπόλλω του-
τονί) οὐκέτι περιεσπάσθησαν, κατάληξιν δυϊκὴν ἀναδεξάμεναι. ἄλλως
τε τὰ εἰς ω̄ λήγοντα πτωτικά, κλίσεως τυγχάνοντα, οὔποτε περισπασμὸν
ἀνεδέξατο. τούτῳ γὰρ τῷ λόγῳ καὶ ἡ νεώ γενικὴ ὠξυτονήθη, μετὰ
C καὶ ἄλλων λόγων τῆς γενικῆς τὸν περισπασμὸν ἀπαιτούσης· καὶ τὸ

Λητὼ γὰρ ἥλκησε (λ 580)

καὶ τὸ

Πυθὼ δ' ἐρχομένην (λ 581)

Argvm. 2 s) Nec ea diaeresis statui potest, qua ex una vocali fiunt binae; nec ea, qua diphthongi in sua dissolvuntur elementa. — 12 Neque vero ex νῶι σφῶι formis atticae ortae esse possunt. Nam aut ῑ, si servaretur, subscribendum esset, nec gravis imponendus; aut si ῑ supprimeretur, tamen circumflexus non mutaretur. — 18 Sunt igitur qui utrasque formas primarias esse statuant. Sed ponamus monosyllabas ex longiore forma factas esse: cur formarum, ex quibus ortae sunt, accentum non servaverint, haec causa est, quod analogiam dualis et omnino atticarum in ω̄ vocum sequuntur.

Discr. script. 2. ἀλλ' εἰ b, αλλ η A | 6. τ vocis το ex c facta in A | νῶϊ b, νω̄ A | 8. παρα A, παρ' b | νοί διὰ τοῦ οῑ] 'Fortasse, νύ διὰ τοῦ ῡ' b in var. lect. ABoeckh | 9. εστιν A | 10. την ευθειαν A, εὐθεῖαν b | 13. καδμηδες και νηρηιδες A | 19. εστιν | ιωσιν — A | 21. καὶ αἱ b, και A | 25. ουπωτε A | 26. τωυτω A pro τούτῳ | 28. ηλκησεν A | 30. Πυθὼ δ' RSchneider, Πυθώδ' b Homerus vulg. | ἐρχομένην Homerus b, ερχομενη A

καὶ τὰ τούτοις παραπλήσια, κἂν τὸ ἐντελὲς ἔχωσι Λητόα καὶ Πυθόα,
ἀναγκαίως ὠξύνθη. ἕνεκα γὰρ τούτου καὶ διστάσαι τὸν Ἀρίσταρχόν
φασι περὶ τοῦ

ἠῶ δῖαν ἔμεινε (I 662),

καθὸ ἦν τὸ ἐντελὲς ἠόα. — Αἱ ἀποκοπαί, ἐὰν τύχωσι πτωτικῆς κατα- 113 A
λήξεως, κλίνονται, μάκαρ, μάρτυρ,

γηράντεσσι τοκεῦσιν (Hesiod. O. D. 188)·

κλιθήσονται οὖν αἱ προκείμεναι ἀντωνυμίαι δυϊκῆς μᾶλλον καταλήξεως
τυχοῦσαι. — αἵ τε γενικαὶ αὐτῶν εὐλόγως διὰ τοῦ ῑ γράφονται, εἴγε
παντὸς δυϊκοῦ εὐθεῖα μὲν ἓν ἔχει φωνῆεν, γενικὴ δὲ δύο, ὧν τὸ δεύ-
τερον ῑ· ἀλλὰ καὶ περισπασθήσονται, εἴγε τὰ ὀξύτονα τῶν δυϊκῶν B
περισπᾶται κατὰ γενικήν.

Διὰ τοῦ ε̄ ἡ νῶε παρὰ Ἀντιμάχῳ ἐν Θηβαΐδι

ἔδρακε νῶε μολοῦσα (p. 28 Stoll)·

καὶ

τού τε νῶε

ἐν Ἰολάῳ Κόριννα (fr. 16 Ahrens, 5 Bergk[3]).

Σφωέ. Αὕτη αἰτιατικὴν μόνην σημαίνει,

τίς τάρ σφωε θεῶν (A 8)

καὶ ἐπεὶ σύνηθες Ὁμήρῳ τὸ δισυλλαβοῦν, σαφὲς ὅτι καὶ τὸ

ἤ τίς σφωε πόρεν θεὸς ἀντιβολήσας (K 546)

οὐ τοῦ ἔπορε τὸ ε̄ ἔχει, τῆς δὲ ἀντωνυμίας, Ἰακῶς κεκλιμένου τοῦ C
ῥήματος. Καὶ ἔτι

εἰ μή σφω᾽ Αἴαντε (P 531)

τὸ πλῆρες σφωέ. παρὰ γὰρ Ἀντιμάχῳ καὶ μονοσυλλάβως ἐν τρίτῃ
Θηβαΐδος (p. 28 Stoll)

τὸ καί σφω γείνατο μήτηρ,

Argum. 5 Νώ σφώ formae dualium more flectuntur; ut genetivis et dativis ab iis derivatis imponatur circumflexus, analogia flagitat. — 18 Dualis tertiae personae σφωέ nihil est nisi accusativus; quae forma una apud Homerum est, apud Antimachum etiam σφώ legitur.

Discr. script. 1. εχουσι A | 2. οξυν (superscr. θη) in extr. fol. 176 v.: 'Hinc fol. 185 r. ubi ne quis miretur interruptum foliorum ordinem, factum est incuria compactoris, ut extrema libri de Adverbiis pars cum primo folio huius, qui de pronomine est, h. l. insereretur' b in var. lect. | 3. φασιν A | 4. ἔμεινε Ab, ἔμιμνεν Homerus | 5. καθὸ Ab, καίτοι KLehrs | τυχωσιν A | 8. μᾶλλον inter οὖν et αἱ transponendum esse censet JGuttentag | 13. ἐν Θηβαΐδι HWStoll, qui dubitat, possitne ἐν Θήβῃσιν vel ἐν Θήβης ad finem antecedentis versus Antim. relegari, ενθηβεσιν Ab | 14. εδρακεν A | 16. τοῦ τε νῶε ABoeckh HLAhrens ThBergk, τουτε νῶε Ab | 18. inscriptio περι της σφωε maiusc. A | σφωέ RSkrzeczka, σφῶε b | 20. δισυλλαβοῦν RSkrzeczka, δισυλλαβεῖν Ab | κἀν τῷ pro καὶ τὸ RSchneider | 21. θεῶν erat in A, ex quo θεος factum ab A* | 22. ἔχεται pro ἔχει RSchneider | 23. ῥήματος b, σχηματος A | 24. σφω᾽ HGStoll JGuttentag, σφω Ab | 27. τὸ A et HWStoll, τῷ b

καὶ ἐν πρώτῃ (p. 28 Stoll)

ἀcπαcίωc τέ cφω ἄγεν οἶκαδε.

114 A Βίαιοc ὁ Ἰξίων ἐcτὶ τὴν c̄φ̄ω̄ε̄ καὶ ἐπὶ δευτέρου τάccων,

ἀμφοτέρω γὰρ cφῶε φιλεῖ (Η 280. Κ 552),

«ἐπεὶ καὶ ἡ νῶε διὰ τοῦ ε̄. — καὶ ἔτι ὡc τῇ cφώ ἐπὶ τρίτου νοουμένῃ τὸ ε̄ προcέρχεται, οὕτω καὶ τῇ κατὰ τὸ δεύτερον πάλιν νοουμένῃ Ἀττικῇ προcέρχεται». Ἀλλ᾽ οὔτε ἡ διὰ τοῦ ε̄ νῶε εὐπαράδεκτοc, καθότι cπανιωτάτη, ἅπαξ που ἢ δὶc εἰρημένη· οὔτε ἡ κατὰ τὸ τρίτον μονο-
B cύλλαβοc, κατὰ τὸν αὐτὸν λόγον. — πρὸc οἷc οὐδὲ ὁ χρηcάμενοc ἀξιοπιcτότεροc τῶν μὴ χρηcαμένων. — πάνυ δὲ εὔηθεc, τῆc κατὰ τὸ πρῶτον πρόcωπον εἰc ῑ ληγούcηc, μὴ οὐχὶ καὶ τὴν κατὰ τὸ δεύτερον παραδέχεcθαι. — πρὸc οἷc καὶ πάλιν πάμπολλοc ἡ χρῆcιc. — ποία δὲ καὶ ἀνάγκη, ὀρθῶc ἐχούcηc τῆc cφῶι, τὴν cφῶε παραλαμβάνειν;

Τρύφων (p. 28 Velsen) cυγκατατιθέμενοc τῷ Ἰξίωνί φηcι «τὴν cφέ ἀντωνυμίαν κατ᾽ ἐπένθεcιν τοῦ ω̄ δυϊκὴν γενέcθαι τῆc αὐτῆc πτώcεωc, καὶ ἔτι
C τὴν cφίν, ὡc τοῦ ω̄ πτωτικοῦ ὄντοc δυϊκῶν». Πῶc οὖν οὐχὶ καὶ αἱ κατὰ τὸ πρῶτον καὶ αἱ κατὰ τὸ δεύτερον τὸν αὐτὸν τρόπον ἐcχηματίcθηcαν; — Ἡ cφίν καὶ ἀποβάλλει τὸ ν̄, ἡ δὲ cφωίν οὐδέποτε. — ἡ cφίν δοτικῆc, ἡ δὲ γενικῆc καὶ δοτικῆc. — τί δὲ οὐχὶ καὶ ἐπὶ τῶν διcυλλάβων ἡ ἐπένθεcιc τοῦ ω̄, λέγω δὲ τῆc cφέαc καὶ cφίcιν;

Ὁμοίωc οὖν τὰc τοῦ πρώτου καὶ δευτέρου θέματά τινεc ἠξίουν
115 A εἶναι, καὶ ἐκδόcειc τινὰc παρατιθέμενοι τὸ

τάρ cφωι (Α 8)

cὺν τῷ ῑ γράφειν, «ἐπεὶ καὶ ἡ cφῶιν (Θ 415), δευτέρου οὖcα προcώπου, κατὰ τόνου ἐναλλαγὴν τὸ τρίτον ἀποτελεῖ ἐν τῷ

καί cφωιν δὸc ἄγειν» (Α 338).

Ἀλλὰ μήποτε τὸ μαρτύριον παράλογον· ποία γὰρ καὶ ἄλλη ἀντωνυμία τόνου ἐναλλαγῇ προcώπου γίνεται μεταβατική; —

Argvm. 3 Ixio c̄φ̄ω̄ε̄ i. e. cφῶε etiam secundae tribuere voluit; sed fallitur. Nam ex paucis testimoniis eisque non gravibus nihil colligitur. Deinde νῶι forma hanc cφῶι tuetur. Denique cφῶι usitatissimum est. — 14 Trypho cum Ixione consentit; formas tertiae cφωέ cφωίν ex cφέ cφίν factas esse censet. At nec in prima nec in secunda dualis eo modo ortus est; cφίν abicit ν̄, cφωίν non abicit; cφίν dativi est, cφωίν genetivi et dativi; cur non ex cφέαc cφίcιν similes formae, ω̄ inserta, ortae sunt? — 21 Inter duales secundae et tertiae personae quid rationis intercedat, quaerunt grammatici. Alii primae et secundae duales nativos esse, ex duali secundae dualem tertiae (cφωί ex cφῶι, cφωίν ex cφῶιν) inclinatum esse censent. — 27 At nullum aliud pronomen mutato accentu in aliam personam transit.

Discr. script. 2. litterae εν οικαδε vocum αγεν οικαδε in rasura A | 4. cφωέ b | 12. πάμπολλοc b, πολλοc A | 13. ι vocis cφωι in rasura A^x | 14. φηcιν A | 18. τὸ ν̄ b, τον ν A | cφῶιν b | 19. τί δὲ οὐχ(ὶ] fol. 185 v. | 21. τὰc τοῦ RSchneider; ταῖc τοῦ Ab | 23. cφωϊ b, cφωιν̇ A, punctum adiecit A[1]

«Ἀλλ' ἴςως ἐκεῖνος ὁ λόγος ἰςχυρός, ὡς αἱ φθάςαςαι κατὰ τὸ πρῶτον καὶ τὸ δεύτερον ὁμοιοκαταληκτῆςαι, πάντως καὶ κατὰ τὸ τρίτον· B ὅθεν εἰ νῶι καὶ ςφῶι καὶ ἐπ' αἰτιατικῆς, πάντως καὶ κατὰ τὸ τρίτον.» Ἀλλ' αἱ ὁμοιοκατάληκτοι οὐ πάντως τοῖς αὐτοῖς στοιχείοις χρῶνται· οὐκ ἄλογος οὖν ἡ κατὰ τὸ ε̄ ἐναλλαγή. — ἄλλως τε αἱ ὁμοιοκατάληκτοι καὶ ἰςόπτωτοι, ἡ δὲ ςφωέ αἰτιατικῆς μόνης, τῆς κατὰ τὸ πρῶτον καὶ δεύτερον καὶ εὐθεῖαν σημαινούσης. — οὐ γὰρ ὑγιὲς τὸ λέγειν ὡς ἀκόλουθος τῇ νῶε, ὅτε οὐδὲ Ὅμηρος ἐχρήσατο.

«Πρὸς οἷς. βοηθήσεται ἡ διὰ τοῦ ῑ γραφὴ ἀκόλουθος τῇ νῶι.» Ἀλλὰ C μὴν οὐδ' ἡ

καί ςφωιν δὸς ἄγειν (Α 338)

ἀνάλογος· θέμα γὰρ ἴδιόν ἐστιν ὀξύτονον, οὐχὶ ἔγκλιμα τῆς ςφῶιν. ποῖον γὰρ ἄλλο μόριον βαρυνόμενον δύναται ἐγκλίνεσθαι; διὰ τοῦτο καὶ τὸ ςφωέ κατ' ἰδίαν λεγόμενον ὀξύνεται. [εἴρηται μὲν ὡς ἀδύνατον ἔγκλιμα μετάβασιν προσώπου σημαίνειν.]

«Ἴςως τις φήσει, ἰδοὺ ⟨ἡ⟩ ἡμέων βαρυτονουμένη ἐγκλιτική ἐστι.» 116 A Πρῶτον οὐ φύσει βαρύνεται, διῄρηται δὲ ἐκ περισπωμένου· διόπερ ἀκωλύτως τὴν ἔγκλισιν ἀνεδέξατο. — ἔπειτα τὰ ἐγκλιτικὰ λεγόμενα τὴν τῆς ὑπερκειμένης λέξεως ὀξεῖαν ἐγείρει.

«Εἰ αἱ διὰ τοῦ ς̄φ, φασίν, ἐκφερόμεναι ἀντωνυμίαι τρίτου καθεστᾶσιν, ὥσπερ ἅπασαι αἱ πληθυντικαὶ καὶ πᾶσαι αἱ δυϊκαί, δῆλον ὡς αἱ κατὰ τὸ δεύτερον ἀπὸ τρίτου μετατιθέμεναί εἰσι.» κἀκεῖνο δὲ προς-

---

ARGUM. 1 Nec alterum argumentum firmum: 'Si qui casus primae secundaeque eundem exitum habent, ei in tertia eadem terminatione utuntur.' Sed quae eodem fine utuntur, non ab iisdem litteris incipiunt (νῶι ςφῶι); rursus igitur, quae ab iisdem litteris incipiunt (ςφῶι ςφωέ), par est diversos exitus habere. Deinde ςφωέ accusativus est, ςφῶι nominativus et accusativus. — 9 Neque tertium: 'respondere ςφωί illud νῶι formae'. Nam ex analogia νῶι formae non efficitur ςφωί exstare, cum ne ςφωίν quidem per analogiam ex ςφῶιν factum sit, sed sit primitivum. — 16 Neque quartum. 'Falsum est, barytonon (velut ςφῶιν) non posse inclinari, nam ἡμέων et barytonon est et encliticum'. At ἡμέων ex ἡμῶν factum, certe non est in encliticis; haec enim accentum vocis, quae praecedit, erigunt. — 20 Primum argumentum eorum, qui dualem secundae personae e duali tertiae ortum esse contendunt. 'ς̄φ litterae initiis pronominum tertiae personae propriae sunt; eae ostendunt, ςφωέ ςφωίν primitivas esse'; deinde: 'inclinata etiam recto tono proferuntur; ad ςφωίν inclinatum pertinet ςφῶιν orthotonon, quod secundae tributum est'. — At non licet usui nimiam constantiam obtrudere; ex accentu nihil colligitur; ne formae quidem congruunt; ςφωίν solum dativum significat, cum ςφῶιν sit genetivus et dativus.

DISCR. SCRIPT. 3. εἰ — καὶ κατά] sic scripsit b in var. lect., sed ita ut καὶ ante ἐπ' αἰτιατικῆς omitteret, ἡ νῶϊ καὶ ςφῶϊ καὶ ἐπ' αἰτιατικῆς πάντως κατὰ Ab in textu | 10. ουδη A, οὐδὲ ἡ b | 12. ἀνάλογος scripsit RSchneider, παράλογος Ab | ὀξύτονον b, οξυτονου A | 14. εἴρηται — σημαίνειν] haec eiecit RSkrzeczka | 16. ἰδοὺ ἡ b, ιδου A | 18. ακολυτως A | 22. εισιν A

B τίθενται, «ὡς αἱ ἐγκλινόμεναι καὶ ὀρθοτονοῦνται· ἐγκλινομένης οὖν τῆς σφωίν ἦν τὸ ὀρθοτονούμενον σφῶιν, ὅπερ ἐπὶ δευτέρου μετελήφθη». — Οὐ δεῖ μέντοι τῆς χρήσεως τὸ διηνεκὲς βιάζεσθαι. — ἔπειτα δὲ ἡ αἰτία τοῦ μόνως ὀρθοτονεῖν οὐ μόνον τὰς τοῦ δευτέρου, ἀλλὰ καὶ τὰς τοῦ πρώτου, εἴρηται. — πρὸς οἷς καὶ τὰ τῆς γραφῆς ἀντιπίπτει· ἰδοὺ γὰρ τὸ τρίτον σφωέ, τὸ δεύτερον διὰ τοῦ ῑ. — τὸ δὲ μεῖζον· τὰ δεύτερα
C ὀρθοτονούμενα δίπτωτά ἐστι, τὰ δὲ τρίτα οὐκέτι ἐγκλινόμενα, τῶν ἐγκλινομένων τὰς αὐτὰς πτώσεις ἀναδεχομένων. χωρὶς εἰ μὴ καὶ γενικὴν σημαίνοι ἡ σφωίν ἐν τῷ

ἀλλ' εἴπ' εἴ σφωιν καταλύσομεν (δ 28),

περὶ ἧς ἄξιον ἐπιστῆσαι ὡς ἐπὶ πλειόνων εὑρίσκεται γενικὴν σημαίνουσα, καθὸ ἐπὶ τοῦ

πρίν σφωιν ὑπὸ κροτάφοισιν ἰούλους (λ 319)

καὶ

γυιώσω μέν σφωιν (Θ 402).

117 A καὶ δῆλον ὅτι δοτικαί εἰσι καὶ εἰς γενικὴν μεταλαμβάνονται, ὡς ἐν σχήματος ἔθει, ὁμοίως τῷ

Ἀχιλῆι δαμασθείς (Χ 55)

καὶ

Τρωσὶ δαμείς (Σ 461).

«Καὶ δῆλον ὅτι ἡ κτητικὴ δυϊκὴ κατὰ ⟨τὸ⟩ τοῦ κτήτορος πρόσωπον ἀφορμὴν δέδωκε τοῦ τὴν γενικὴν τοῦ τρίτου σεσιγῆσθαι. εἰ γὰρ ἀπὸ
B γενικῆς τῆς νῶιν νωίτερος καὶ σφῶιν σφωίτερος, δῆλον ὡς καὶ ἀπὸ τῆς τοῦ τρίτου γενικῆς ἐγίνετο δυϊκόν· ὅπερ οὐκ ἔστιν. ἔνθεν οὖν τὸ πρωτότυπον τρίτον ἀπαράδεκτον.» Ἀλλὰ πρός γε τοῦτο ῥητέον, ὡς οὐχ ἡ τῶν παραγώγων ὑποστολὴ αἰτία γενήσεται τοῦ μηδὲ τὰ

Argvm. 21 Σφωίν solum dativum significare, adversarii mirum non esse dicunt, 'quod nullum exstet possessivum tertiae personae; id enim a genetivo derivari solere; sed cum derivatum non sit, consentaneum esse ne genetivum quidem exstare'. At centena primitiva exstant, a quibus nihil derivatum est, quamvis ratio cogat. Deinde derivata pronomina ab orthotonis descendunt; σφωίν autem semper inclinatur.

Testim. 23 — p. 92, 5 Choer. Epim. 86, 18 *Ἀπὸ τοῦ νῶι* (scr. *νῶιν*) *γίνεται ὁ νωίτερος, ἡ νωιτέρα, τὸ νωίτερον· ἀπὸ τοῦ σφῶι* (scr. *σφῶιν*) *ὁ σφωίτερος, ἡ σφωιτέρα, τὸ σφωίτερον· ἀπὸ τοῦ σφῶε* (scr. *σφωέ*) *οὐ γίνεται παράγωγος ἀντωνυμία διὰ τὸ μόνως ἐγκλίνεσθαι αὐτήν, πλὴν* (scr. *αὐτὴν. Πληθυντικαὶ*) *ἡμεῖς, ὑμεῖς, σφεῖς.* Cf. Et. M. 314, 20.

Discr. script. 3. δὲ ἡ αἰτία A et b in textu, 'Malim καὶ ἡ αἰτία' id. in var. lect. | 4. litterae ιν ου μ vocum ορθοτονειν ου μονον in rasura ab A¹ | τας του A, τὰ τοῦ b | τας του A, τὰ τοῦ b | 6. τὸ ⟨δὲ⟩ δεύτερον JGuttentag | in δια desinit fol. 185 v., ab litteris α του ι incipit fol. 186 r. | 7. εστιν A | 9. σημαίνοι b, σημαινει A | σφωίν scripsit RSchneider, σφῶιν b | 10. εἴ Ab, ἤ Homerus | καταχυσομεν A | 15. γυωισω A | 18. Αχιλληι A | 20. τρωσιν A | 21. τὸ τοῦ b, του A | κτητωρος | 22. δεδωκεν A | εἰ b, ἡ A

πρωτότυπα ὑπάρχειν. ἔcτι γὰρ μυρία, ἅπερ οὐ παρῆκται, τοῦ λόγου
ἀπαιτοῦντοc, ὥcπερ καί τινα cυνεξειλκυcμένα τιcὶ παραγωγαῖc, τοῦ
λόγου οὐκ ἐπιτρέποντοc. ἐπεὶ καὶ ἡ τοῦ κτητικοῦ ἔλλειψιc εὔλογοc,
εἴγε πᾶcα παράγωγοc ἀντωνυμία ἀπὸ ὀρθοτονουμένηc πρωτοτύπου C
cχηματίζεται, ὡc ἐν τοῖc πρὶν εἴρηται, ἡ δὲ μόνωc ἐγκλίνεται.

Παντί τῳ δῆλον, ὡc ἡ δυϊκὴ τοῦ ἐκεῖνοc, οὗτοc ἐκείνω, τούτω.
περὶ γὰρ τοῦ

τώδε δὲ νῶι (Θ 109)

ἐζητεῖτο. «ἕνεκα γάρ», φαcι, «τῆc ἑνικῆc δοτικῆc ὀξυτονηθήcεται τὸ
τώ, ἵνα τὸ δυϊκὸν διαcτολῆc τύχῃ». Ἀλλ' εἰ ἕνεκα τούτου, ληρῶδεc·
ἄπειρα γὰρ τὰ cυνεμπίπτοντα. «Ἔτι βαρείαc καὶ βραχείαc ἐπιφερο- 118 A
μένηc ἀδύνατον ὀξεῖαν εὑρέcθαι μετὰ μακρᾶc. διὸ τὸ τῶδε προπερι-
cπαcτέον.» Τί οὖν τὸ εἶθε, αἶθε, ναίχι; οὐχὶ καθὸ ἐπέκταcιc, τῆc
ἀρτίου ὑπερεχούcηc τὴν ἐπεκτεινομένην; οὐχὶ οὖν καὶ τὸ

τώδε δὲ νῶι (Θ 109)

τῶν ἐπεκτεταμένων; τὰ οὖν δυϊκὰ εἰc ω̄ λήγοντα οὐδέποτε περιcπᾶται·
οὐδὲ γὰρ θέλει τὸ πτωτικὸν ω̄ περιcπᾶcθαι ἐπὶ τέλουc. ὅτι γὰρ ἐπὶ B
τέλουc ἐcτίν, ὅτι ἐπεκτέταται, δῆλον, ὡc ἡ κλίcιc ἐντόc, τοῦδε,
τοῖνδε, οἵδε, τῶνδε, τοῖcδε, τούcδε.

Αἱ πληθυντικαὶ [καὶ] κοινολεκτοῦνται κατ' εὐθεῖαν πρόc τε Ἰώνων καὶ

Argum. 6 Τώδε dualis cur acuto notetur, quidam hanc esse causam censent, quod a dativo singularis discernatur. At sunt centena, quae, cum eandem formam habeant, induant diversas notiones. Alii leges, quae de accentibus valent, secuti τῶδε scribunt. Quos fugit formas amplificatas eundem accentum habere atque nativas. — 20 Pluralis. Formae ἡμεῖc ὑμεῖc cφεῖc non solum atticae sed etiam ionicae sunt.

Testim. 8 Choer. 441, 23. [Bekk. An. 1248]. — 13 Choer. 427, 28 [Bekk. An. 1236] *ναί γὰρ ἦν καὶ εἴ ὀξυτόνως, καὶ κατ' ἐπέκτασιν γινόμενα ναίχι καὶ εἴθε τὴν ὀξεῖαν τάσιν ἐφύλαξαν ἐν τῇ αὐτῇ συλλαβῇ. πρόσκειται δὲ 'μὴ ἐπεκτεινομένη διὰ τοῦ θ̄* (scr. δ̄) *καὶ ε̄ ἐν τοῖς δυϊκοῖς' διὰ τὸ τοιώδε καὶ τοσώδε δυϊκά· ταῦτα γὰρ παροξύνονται καὶ οὐ προπερισπῶνται διὰ τὸν χαρακτῆρα τῶν δυϊκῶν· τὸ γὰρ ω̄ ἐν τοῖς δυϊκοῖς ἀποστρέφεται τὴν περισπωμένην τάσιν, οἷον τὼ σοφώ, τὼ καλώ, τὼ ἀγαθώ. ἐπεὶ οὖν τὸ τοιώδε καὶ τοσώδε ἐπέκτασιν ἔχουσι τῆς δ̄ε̄ συλλαβῆς, τούτου χάριν, ὡς σχεδὸν ἐν τῇ τελευταίᾳ συλλαβῇ ἔχοντα τὸ ω̄, ἀποστρέφονται τὴν περισπωμένην τάσιν.*

Discr. script. 1. πρωτότυπα b, πρωτα A | εcτιν A | 2. τιcιν A | 6. inscriptio περι του τωδε δυικου οτι οξυνεται maiusc. A | 8. τωδε νῶιν A | 9. φαcιν | 12—13. προπεριcπαcτέον b, περιcπαcτεον A | 13. ἐπέκταcιc A b, 'vel potius ἐπεκτάcειc' RSkrzeczka | 14. ἐπεκτεινομένην b in var. lect., επι εκφερομενην A et b in textu, ἐπεκφερομένην KLehrs | 15. νωιν A | 18. ὅτι non recte habere videtur KLehrsio, ⟨ὁ τόνοc⟩, ὅτι RSchneider | ὅτι ἐπεκτέταται superfluum esse censet JGuttentag | ἐπὶ τέλουc ἐcτὶν ὅτι delet GUhlig | ὡc addubitat RSkrzeczka, καθὼc scribendum esse putat JGuttentag | 20. inscriptio περι πληθυντικῶν πρωτοτυπων maiusc. A | καὶ delevit RSkrzeczka

Ἀττικῶν, ἡμεῖς, ὑμεῖς, σφεῖς. ἔστι πιστώσασθαι καὶ τὸ ἀδιαίρετον
τῆς εὐθείας παρ' Ἴωσιν ἐκ τῶν περὶ Δημόκριτον, Φερεκύδην, Ἑκαταῖον.
τὸ γὰρ ἐν Εἰδωλοφανεῖ· «ὑμέες Αἰόλιον περιχεύετε» παρὰ Παρθενίῳ
C ὑπὸ ποιητικῆς ἀδείας παραληφθὲν οὐ καταψεύσεται διαλέκτου πιστου-
μένης ἐλλογίμοις συγγραφεῦσιν. Ἁμές Δώριον. Ἀλκμάν (fr. 65 Bergk[3])·

ὡς ἁμὲς τὸ καλὸν μελίσκον.

Οὐκ ἐπίληπτος δὲ ἡ τάσις, καθὸ τὰ πτωτικὰ ἀπέστραπται τὴν ἐπὶ τοῦ
ες̅ ὀξεῖαν (καὶ διὰ τοῦτο ἔνιοι τὸ βιόπλανες βαρύνουσιν ἀπὸ τοῦ βιο-
πλανής, καὶ ἐπίτηδες, καὶ

ἄκλεες αὔτως (Η 100)

119 A ἀπὸ τοῦ ἀκλεής). Πρῶτον αἱ πρωτότυποι ἀντωνυμίαι οὐκ ἀκόλουθοι
ἐδείχθησαν τοῖς ἄλλοις πτωτικοῖς. ἔπειτα Δωριεῖς ἐπὶ τὸ τέλος φιλοῦσι
τὴν ὀξεῖαν προσάγειν, παρ' οἷς πάλιν ἡ ἀφαίρεσις τοῦ ῑ ὀξείας γίνεται
ἐμποιητική, ἐπεὶ ποιεῖς ποιές, πάλιν τῆς καταλήξεως ἐπιλήπτως
ὀξυνομένης, εἴγε τὰ ῥήματα τὴν ὀξεῖαν τάσιν ἀπέστραπται· καὶ τὸ νοέν
καὶ τὸ δασμηφορέν ὀξύνεται πάλιν τῇ αὐτῇ ὑφαιρέσει τοῦ ῑ. πρὸς οἷς
B καὶ ἡ περισπωμένη συστελλομένη ὀξεῖα γίνεται, τύπου τινὸς μὴ ἐμπο-
δίζοντος. Αἰολεῖς ἄμμες·

ἄμμες δ' ἀν τὸ μέσσον (Alcaei fr. 10 Ahrens, 18 Bergk[3]).

τοιοῦτον καὶ τὸ

ἄμμες εἴσκομεν (ι 321).

Τοῦ δευτέρου ὑμεῖς. Δωριεῖς ὑμές· ὑμὲς δὲ ἐπεγγυάμενοι
θωκεῖτε, Σώφρων (fr. 41 Ahrens). Αἰολεῖς ὔμμες·

οὔ τί μοι ὔμμες (Sapphus fr. 23 Bergk[3])·
ἂς θέλετ' ὔμμες,

ἐν δευτέρῳ Σαπφώ (fr. 95 Ahrens, 24 Bergk[3]). Βοιωτοὶ μετὰ διφθόγγου
C τοῦ ου̅·

οὐμὲς δὲ κομισθέντες
Κόριννα ἔπτ' ἐπὶ Θήβαις (fr. 9 Ahrens, 6 Bergk[3]).

ARGVM. 6 Acutus doricae ἁμές formae vituperandus non est; nam 1) personalia analogiam non sequuntur; 2) Dores ultimam acuto signare solent; 3) circumflexi locum, syllaba correpta, acutus occupat, praeterquam ubi forma impedimento est. — 22 Pluralis secundae personae.

DISCR. SCRIPT. 1. εστιν A | καὶ fortasse ante πιστώσασθαι collocandum esse existimat RSkrzeczka | ἀδιαί[ρετον] fol. 186 v. | 3. sic locum restituit LDindorf, τὸ γὰρ ἐν Εἰδωλοφανεῖ ΥΜΈΕΣ Αἰόλιον. περιχεύετε b | 5. Ἁμές HLAhrens, Ἅμες b | 6. μελίσκον Ab, μελίσκιον ThBergk | 7. τὴν ἐπὶ τοῦ RSchneider, την επι το A, τὴν εἰς τὸ b | 8. βιοπλανεις A | 10. αὔτως JGuttentag, qui versum indicavit, 'fortasse αὕτως' KLehrs, αυτως A, ὡσαύτως b | 11. ακλεεις A | 12. φιλουσιν A | 13. προάγειν RSchneider | 19. ἀν τὸ μέσσον ThBergk, ὀν τὸ μέσσον HLAhrens, ἂν τὸ μέσον Ab | 20. κ in και ex τ factum ab A[x] | 22. ὑμές· ὑμές FWSturz b, ὕμμες A | 24. Homero (Α 335) tribuerat b | 25. ἃς b, ἄς HLAhrens, ἆς ThBergk | θελετε A | 26. διφθόγγου b, φθογγὸ in fine versus A | 27. του ου est in A, non του ο, quod enotavit b in var. lect.

Αἱ ὑποςτολαὶ τοῦ ῑ ὁμολογοῦςι τὴν διὰ τοῦ ει̅ γραφήν· παραπεμπτέον οὖν τοὺς διὰ τοῦ ε̅ ἠξιωκότας γράφειν, ὡς τοῦ ῑ εἰς τὸ ε̅ μεταβαλλομένου, κέρνημι, πέρημι. ἐπὶ γὰρ βραχυνομένου ἡ μετάληψις. «Ἔτι εἰ πᾶςαί», φαςι, «δι' ἑνός, καὶ ἡ εὐθεῖα ἓν ἕξει φωνῆεν». Ἀλλὰ καὶ ἡ ςοφῶν ἓν ἔχει φωνῆεν, αἱ δὲ ὑπόλοιποι δύο. εἰ δὲ οὐ 120 A
διαιρεῖται εἰς δύο ε̅, καθότι αἱ εἰς ει̅c̅ εὐθεῖαι τοῦτο ἀναδέχονται, φαίνονται τὴν ἐν ὀνόμαςιν ἀκολουθίαν ζητοῦντες ἐν ἀντωνυμίαις, ἥνπερ οὐχ εὕρομεν. πολλῷ δὲ πρότερον καὶ τὴν εἰς c̅ γενικὴν ἑνικήν· αὕτη γὰρ τῶν διὰ δύο ε̅ ἐκφερομένων εὐθειῶν γενική ἐςτιν.

Οὐδ' ὑγιὲς διὰ τὸν μακρὸν χρόνον τῆς εὐθείας δύο φωνήεντα παραδέχεςθαι, ὥς τινες ᾠήθηςαν. ἐπεὶ τί ἂν εἴη τὸ ἰχθῦς ἢ νέκυς καὶ B
τὰ τούτοις ὅμοια ςυναιρούμενα, αἵ τε παρ' Ἴωςι γραφαί, πόλις, φύςις; Πάλιν δὲ καὶ τὴν δοτικὴν γράφειν διὰ τοῦ ε̅, «ἐπεί», φαςι, «καὶ ἡ εὐθεῖα καὶ ἡ γενική· ἡμέων γάρ· καὶ ἡ αἰτιατική, ἡμέας». Ἀλλ' ἡ μὲν γενικὴ καὶ αἰτιατικὴ διῄρηνται, ἡ δὲ ἀδιαίρετος τυγχάνει, πιςτουμένη παραδόςει ⟨καὶ⟩ διαλέκτων ἐκφορᾷ· ἁμίν γὰρ Δωριεῖς, καὶ ἄμμιν Αἰολεῖς. ἄλλως τε οὐδὲ τὸ νύμφαις ἔχει τὸ ε̅, τοῦ νυμφέων ἐν διαι- C
ρέςει ἔχοντος τὸ ε̅.

Ἡ ςφεῖς ⟨οὔτε παρ' Αἰολεῦςιν⟩ οὔτε παρὰ Δωριεῦςιν ἀκολουθίαν ἔςχε πρὸς τὰ τούτων πρῶτα καὶ δεύτερα, οὐκ ἀπεοικότως· καὶ γὰρ ἡ ἐμεί καὶ τεί, παρὰ τοῖς Δωριεῦςι προςλαβοῦςαι τὸ ῑ, οὐκέτι κατὰ τὸ τρίτον προςέλαβον.

Ἡ ἡμέων τριςυλλαβοῦςα παρ' Ἴωςιν ὑπεμφαίνει ἀκολουθίαν, καθὸ αἱ εἰς ει̅c̅ λήγουςαι εὐθεῖαι τὸν τρόπον τοῦτον κλίνονται· ταχέων 121 A

ARGVM. 1 Ceterum ὑμεῖς ἡμεῖς genuinas formas esse, ea ex re apparet, quod ῑ iis subtrahitur: ex ὑμεῖς oritur ὑμές. Ex ὑμεῖς autem ὑμέες, quae forma iam supra explosa est, nasci non potest. — 5 Neque quidquam comprobatur aliarum in ει̅c̅ vocum analogia; eam enim non sequuntur pronomina. — 10 Neque nominativi ἡμεῖς ὑμεῖς terminatio duabus vocalibus constat (sed una diphthongo), neque dativi fini ε̅ adicienda est, ut sit ἡμεῖν. — 19 Nominativus pluralis tertiae personae ςφεῖς cum etiam doricus et aeolicus sit, nominativorum primae secundaeque analogiam non sequitur; sed idem de ι̅ ἐμεί τεί dici potest. — 23 Genetivi pluralis primae forma ἡμέων ionica videtur illa quidem analogiam vocum earum sequi, quarum nominativi pluralis in ει̅c̅ exeunt, sed videtur tantum, nam aliis rebus ab his diversa est. Itaque diaeresi ab ἡμῶν vulgari descendere putanda est.

DISCR. SCRIPT. 1. διὰ τοῦ ει̅ b, δια του ε A[1], sed ex ε factum est ει ab A[x] | 2. διὰ τοῦ ε̅ RSchneider, διὰ τοῦ ῑ Ab | 4. πᾶςαί b, παςα A | φαςιν A | 11. ἢ νέκυς b, οι νεκυς A | 12. ιωςιν A | 13. φαςιν A | 15. τυγχαννει A | 16. διαλέκτων ἐκφορᾷ] fol. 187 r. | καὶ post παραδωςει add. b | ἁμίν HLAhrens, ἁμῖν b | 18. εχοντοςτος A | 19. inscriptio περι της ςφεις maiusc. A | οὔτε παρ' Αἰολεῦςιν add. b | ακολουθειαν A | 20. εςχεν A | 21. ἐμεί καὶ τεί HLAhrens, ἐμεῖ καὶ τεῖ b | δωριευςιν A | 23. inscriptio περι της ημέων maiusc. A | 24. τουτον bis scriptum in A

γὰρ καὶ βαcιλέων. ὡc τὴν ἁμέc Δωρικὴν καὶ ἔτι τὴν ἄμμεc Αἰολικὴν
ὁμοίωc ταῖc εἰc̣ ε̅c̅ ληγούcαιc εὐθείαιc ἰcοcύλλαβον ἔχειν γενικήν·
ἁμῶν γὰρ καὶ ἄμμων. — Ἀλλ' εἴπερ μὴ ἦν διῃρημένη, οὐκ ἂν παρὰ
μόνοιc Ἴωcιν εὑρίcκετο, διαιρετικωτάτοιc οὖcι. — πρὸc οἷc ἐδείχθη,
B ὡc ἀνακόλουθοι ἕνεκα φωνῆc αἱ ἀντωνυμίαι. ἐχρῆν γὰρ καὶ τὴν εὐθεῖαν
ἑνικὴν λόγου ἔχεcθαι, καὶ τὴν γενικὴν εἰc ο̅c̅ περατοῦcθαι, ὡc ταχέοc
καὶ βαcιλέωc. — οὐδέποτε τὸ ῑ προcλαμβάνουcιν ἥ τε ταχέων καὶ αἱ
παραπλήcιοι· εἴπερ οὖν ἀκόλουθοc, οὐκ ἂν ἐγίνετο ἡμείων.

Ἡ ἁμῶν παρὰ Δωριεῦcι καὶ cύναρθρον γενικὴν cημαίνει ἀκόλουθον
τῇ ἁμόc. τῇ μέντοι διαιρέcει ἡ πρωτότυποc διαλλάccει τῆc κτητικῆc,
οὐκέτι τὸ αὐτὸ ἀναδεχομένηc. Ἀλκμάν (fr. 66 Bergk^3)·

ὅcαι δὲ παῖδεc ἁμέων
C ἐντί, τὸν κιθαριcτὰν αἰνέοντι.

Ὁμοίωc Αἰολεῖc. Ἀλκαῖοc (fr. 67 Ahrens, 88 Bergk^3)

μηδ' ὀνίαιc τοῖc πέλαc ἀμμέων παρέχην.

ἐπὶ δὲ τῆc cυνάρθρου

πατέρων ἄμμων

καὶ τῇ ἐντελεcτέρᾳ

ἀμμετέρων ἀχέων (Alcaei fr. 103. 104 Ahrens, adesp. 57. 58 Bergk^3).

Ὁμοίωc Βοιωτοί, ἁμίων, ἐπὶ δὲ τῆc κτητικῆc ἁμῶν,

ἁμῶν δόμων (Corinnae fr. 25 Bergk^3).

122 A Ὑμῶν. Αὕτη κοινὴ καὶ Δωριέων, cημαίνουcά τε πάλιν καὶ κτη-
τικὴν τὴν ἀπὸ τῆc ὑμόc εὐθείαc. πάλιν δὲ ἐν διαιρέcει διαφέρει ἡ
πρωτότυποc. ὑμέων γὰρ ἀπρὶξ ἔχονται, Cώφρων (fr. 79 Ahrens).
καὶ Ἴωνεc·

ὑμέων δ' ἀνδρὶ ἑκάcτῳ (ν 7).

ἔτι αἱ πρωτότυποι διοίcουcι τῷ ἐγκλίνεcθαι καὶ ὀρθοτονεῖcθαι, τῶν κτη-
τικῶν αὐτὸ μόνον ὀρθοτονουμένων. Τὸ δ'

ὧδέ τιc ὑμείων μεμνημένοc (Τ 153)

Argvm. 9 Ἁμῶν personale in dialecto dorica a genetivo ἁμῶν possessivi ita differt, ut illud patiatur diaeresin, hic non patiatur. — 23 Idem de ὑμῶν dici potest: praeterea personalia et inclinantur et recto tono proferuntur, possessiva tantum modo orthotona sunt.

Discr. script. 4. ουcιν A | 9. δωριευcιν A | 12. παῖδεc b, παίδεc ThBergk | 15. τοῖc πέλαc BHase HLAhrens ThBergk, τοι cπλεαc Ab | ἀμμέων AGiese HLAhrens ThBergk, ὑμεων Ab | παρέχην HLAhrens ThBergk, παρεχειν Ab | 17. αμμ in fine versus et in versu, qui sequitur, αμμων A | 19. ἀχέων b HLAhrens ThBergk, αχαιῶν A | 23. inscriptio περι τηc υμῶν maiusc. A | 24. τῆc ὑμόc b, του εμοc A | 25. ἀπρὶξ ἔχονται] 'Ita codex. Quod mireris fefellisse Ruhnkenium ap. Valcken. ad Theocr. p. 368 B, etsi illum etiam plura fefellerunt.' b in var. lect. Nimirum Ruhnkenium in errorem induxit exemplar, quo utebatur, a Capperonnerio et Musgravio conscriptum | 28. τῷ b, το A | 29. δ' A, δὲ b

πλεονάζον ἀκόλουθον τῇ ἡμείων. Αἰολεῖς ὑμμέων. Ἀλκαῖος (fr. 77 B
Ahrens, 96 Bergk[3])·

οἵ τινες ἔςλοι
ὑμμέων τε καὶ ἀμμέων.

οὐμίων Βοιωτοί· τὸ δέ τις οὐμίων ἀκουςάτω, Κόριννα (fr. 13 Ahrens, 22 Bergk[3]).

Cφῶν. Καὶ Cφέων ἀκολούθως τῇ ἡμέων,

τῷ cφεων πολέες κακὸν οἶτον ἐπέςπον (γ 134)

καὶ

ὦςαν ἀπὸ cφείων (Δ 535. Ν 148), C

ὡς ὑμείων. Τῇ cφείων καὶ Αἰολεῖς χρῶνται καὶ Δωριεῖς, Δωριέων δὲ Cυρακούςιοι διὰ τοῦ ψ πάςας τὰς διὰ τοῦ cφ, μονοςυλλαβούςας μὲν ἀναμφιλέκτως, ἐπὶ δὲ τῶν ὑπὲρ μίαν ςυλλαβὴν ἀμφίβολα τὰ τῶν γραφῶν· ἔνια γὰρ δίχα τοῦ ψ.

Ἐν ἴςῳ τῷ αὐτῶν παρὰ Cυρακουςίοις τίθεται τὸ ὦν. Cώφρων (fr. 80 Ahrens)· ὁ δ' ἐκ τῶ ςκότεος τοξεύων αἰὲν ἕνα τινὰ ὦν 123 A
ζυγαςτροφεῖ.

Ὃν τρόπον τὸ γυμφέων διαιρεῖται, τὸν αὐτὸν τρόπον καὶ τὸ αὐτέων, ὁπότε θηλυκὸν ςημαίνει. καὶ ἔτι αὐτάων.

Δῆλος ἡ ἀπὸ τοῦ ἐκεῖνος καὶ τῶν ὁμοίων κλίςις.

Ἡμῖν Ἴωνες, ᾧ καὶ Ἀττικοί. Τὸ ἐγκλινόμενον παρ' Ἴωςι ςυςτέλλει τὸ ῑ· ςημειῶδες, καθὸ αἱ ἐγκλινόμεναι τὸν αὐτὸν χρόνον φυλάττουςι B
ταῖς ὀρθοτονουμέναις. Ἡ ἁμίν Δωρικὴ ςυςτέλλει τὸ ῑ, ἐν οἷς ἐγκλινομένη προπεριςπᾶται,

αἱ γὰρ ἅμιν τούτων μέλοι (Alcm. fr. 77 Bergk[3])·

Argum. 7 Genetivus pluralis tertiae personae. Pro cφείων Syracusani dicunt ψείων (ψέων?). — 15 Syracusani ὦν eadem notione usurpant atque αὐτῶν. — 21 Dativus pluralis primae personae. Notabile est ἡμῶν pronominis, ubi inclinatur, ultimam corripi; quantitas enim vocum inclinatione mutari non solet. Ἁμίν doricum ultimam corripit, nam inclinatum properispomenon est.

Discr. script. 1. ὑμμέων b, υμεων A | 3. οιτινες A, οἵ τινες b, ὅττινες HLAhrens, οἵτινες ThBergk | ἔςλοι FWSchneidewin HLAhrens ThBergk, ἐcθλοὶ Ab | 4. ὑμμέων b, υμεων A | 5. in priore ουμιων non liquet utrum ι ex ε, an ε ex ι factum sit in A; pro altero in A ουμμιων; a priore incipit fol. 187 v. | in margine adiecit A Κοριννα|ο̊υ κυρῖ|ςυγγραφέως | 7. inscriptio περι της cφων maiusc. A | 11. cφείων] 'quod in cφέων mutaverim' HLAhrens | 13. ἐπὶ δὲ b, επι γαρ A | 14. ἔνια Ab in textu, 'corr. forsan ἔνιαι' id. in var. lect. | 16. εκ τω A, ἐκ b | 17. ζυγαςτροφεῖ Ab in textu et HLAhrens * adiecto, 'corr. ζυγοςτροφεῖ' b in var. lect., ζυγοςτοιχεῖ FVReiz | 19. αὐτέων ChALobeck, αὐτῶν Ab | 21. inscriptio περι της ημῖν maiusc. A | ᾧ scripsit RSchneider, οι A, ἧ b | ιωςιν A | ςυςτέλλει] 'Malim ςυςτέλλον' b in var. lect. | 22. φυλαττουςιν A | 23. ἁμίν HLAhrens, ἁμῖν b | 23—24. ςυςτέλλει τὸ ῑ, ἐν οἷς ἐγκλινόμενη προπεριςπᾶται RSkrzeczka, ἐγκλινομένη ςυςτέλλει τὸ ῑ, ἐν οἷς προπεριςπᾶται Ab | 24. dimidia pars primae π litterae in voce προπεριςπαται erasa in A | 25. τούτων b ThBergk, τωυτων A, τωυτῶ LCValckenaer

ὀξυνομένη τε

ἁμὶν δ' ὑπαυλήσει μέλος,

Ἀλκμάν (fr. 78 Bergk[3]). οἰκεῖος ὁ χρόνος πληθυντικῇ διὰ τοῦ ῑ ἐκφερομένῃ. Αἰολεῖς ἄμμι·

ἀλλά τις ἄμμι δαίμων (Sapph. fr. 113 Ahrens, adesp. 56 Bergk[3]).

τοιοῦτον ἦν καὶ τὸ

C ἄμμι δ' ἀρήγει (Ο 493).

ὁμόλογον ὅτι, κἂν ὀρθοτονῆται, μίαν καὶ τὴν ⟨αὐτὴν⟩ τάσιν ἔχει.

Ὁμολογουμένης δὲ τῆς διὰ τοῦ ῑ γραφῆς, πάλιν τινὲς ἐπιθανεύσαντο, εἰσηγούμενοι τὸ ε̄ ἐγκεῖσθαι· «καθάπερ γὰρ τῷ ταχεῖς παράκειται τὸ ταχέσιν, οὕτω καὶ τῷ ἡμεῖς τὸ ἡμέσιν. τό τε ἐν τετάρτῳ Ἀλκαίου (fr. 91 Ahrens, 100 Bergk[3])

ἄμμεσιν πεδάορον

124 A οὕτω φέρεσθαι ἀπὸ τοῦ ἡμέσιν. ἀπὸ δὴ τοῦ ἡμέσιν κατὰ ἀφαίρεσιν τοῦ σ̄ καὶ συνέλευσιν τοῦ ε̄ ἐγίνετο ἡμεῖν, εὐλόγως καὶ τοῦ χρόνου μηκυνθέντος καὶ τοῦ τόνου περισπασθέντος, εἴγε πᾶσα δοτικὴ πληθυντικὴ τεινομένη διὰ δύο φωνηέντων ἐκφέρεται». Πρῶτον τὰ τῆς γραφῆς διαφέρεται. — ἔπειτα θεματικαὶ πᾶσαι ἐδείχθησαν, πρὸς τῷ τὰς δοτικὰς ἐν πλεονάσματι ἔχειν τὸ ν̄, οὗ αἰρομένου ἀλύμαντα τὰ τῆς προφορᾶς·

B ὅπερ τῷ ἡμῖν οὐ παρέπεται. τὰ γὰρ παρ' Αἰολεῦσιν ἕνεκα τῆς συντάξεως πολλάκις ἀποβάλλει τὸ ν̄ δι' εὐφωνίαν,

ἄεισον ἄμμι τὰν ἰόκολπον (Alcaei fr. 4 Ahrens, 63 Bergk[3])·

αἰ δέ κ' ἄμμι Ζεὺς τελέσῃ νόημα

Ἀλκαῖος (fr. 60 Ahrens, 77 Bergk[3]), καὶ ἐπ' ἄλλων. μένει τε ἐπὶ τοῦ

ἄμμιν ἀθάνατοι θέοι

νίκαν

Ἀλκαῖος τρίτῳ (fr. 86 Ahrens, 80 Bergk[3]), καὶ ἐπ' ἄλλων πλειόνων.

Ὑμῖν. Πάλιν παρ' Ἴωσι προπερισπᾶται ἐγκλινομένη, καθὸ συστέλλει

C τὸ ῐ. καὶ ἔτι παρὰ Δωριεῦσιν· ὅσαις ὗμιν αἰνέσω, Σώφρων (fr. 81

Argvm. 9 Ἡμεῖν genuinam formam esse quidam ita probare student, ut ἡμέσιν formam statuant, quae aeolicae ἀμμέσι respondeat, ex qua ἡμεῖν orta sit. — 17 At illa inter se non possunt conferri; omnino personalia suis tenentur legibus. — 27 Ut ὗμιν, ita ἧμιν apud Iones properispomenon est, quia ultimam corripit.

Discr. script. 1. ὀξυνομένη scripsit LCValckenaer, οξυνονομεν A in fine versus, ὀξύνομέν b | 8. ωρθοτονηται A | αὐτὴν b, om. A | 11. τετταρω A | 13. c in αμμεσιν ab A*, ἄμμεσιν HLAhrens, ἀμμέσιν b ThBergk | πεδάορον LCValckenaer b, HLAhrens ThBergk, παιδα ορον A | 14. κατα A, κατ' b | 18. comma post ἐδείχθησαν posuit RSkrzeczka, punctum b | 19. πλεονασματι A, πλεονασμῷ b | 21. ἀποβάλλει τὸ ν̄] fol. 188 r. | 22. 'nisi forte hoc prius fragmentum Sapphus est' ThBergk | 23. τελέσῃ b ThBergk, τελέση HLAhrens, τελεσση A | 24—25. sic locum restituit HLAhrens, μένει etiam b in var. lect. et ἀθάνατοι θεοὶ GHermann, ἄλλων μὲν ειτε ἐπὶ τοῦ υμμιν αθανατοιο εοινικαν A b | 28. περι της υμῖν inscriptio maiusc. A | ιωσιν A | προπερισπᾶται b, περισπαται A, sed vid. quae 98, 7 in A leguntur | 28. ὅσαισιν GHermann

Ahrens). καὶ ἐν ὀρθῇ τάϲει· οὐ μάν τοι δίφρον ἐπημμένον ὑμίν (Sophr. fr. 82 Ahrens). Ὕμμιν Αἰολεῖϲ·

ταῖϲ κάλαιϲ ὔμμιν ⟨τὸ⟩ νόημα τὦμον
οὐ διάμειπτον (Sapph. fr. 114 Ahrens, 14 Bergk[3]).

ὁμοίωϲ αἱ Αἰολικαί, ἀποβάλλουϲαι τὸ ν̄ καὶ φυλάϲϲουϲαι, τὴν ἐν ὀνόμαϲι δοτικῆϲ πληθυντικῆϲ ϲύνταξιν ἀναδέχονται.

Εἰ ὁμόχρονοι αἱ κατὰ τὸ πρῶτον καὶ δεύτερον, ϲαφὲϲ ὅτι ἡ ϲφίν ϲυϲτελλομένη ὁμολογεῖται ἀπ' Ἰακῆϲ ἐγκλίϲεωϲ, εἴγε, ὅτε ἐγκλίνουϲιν 125 A
οἱ Ἴωνεϲ, ϲυϲτέλλουϲι τὸ ῑ, ἡ δὲ μόνωϲ ἐϲτὶν ἐγκλιτική· ὑπὸ γὰρ Ἡϲιόδου ἐν ἀρχῇ τεθεῖϲα εὐλόγωϲ ὠρθοτονήθη ἐν τρίτῳ,

ϲφὶν δ' αὐτοῖϲ μέγα πῆμα (fr. 63 Goettling, 49 Schoemann).

Ϲφίϲιν. Αὕτη ἐπεκταθεῖϲα καὶ ὀρθοῦ τόνου ἔτυχεν. Ἀμφοτέραιϲ μέντοι ἐπακολουθεῖ τὸ ν̄ ἀποβάλλειν δι' εὐφωνίαν,

ἀλλά ϲφι δόϲαν (ι 93),
ἔτι γάρ ϲφιϲι κῦδοϲ ὀρέξω (Ρ 453)·

φυλάϲϲεται δὲ ἐν τῷ B

ὅϲ ϲφιν ἐϋφρονέων (Α 73),
μετὰ ϲφίϲιν εἶχον ἀτυζομένην (Χ 474).

Οὐχ ὑγιὲϲ δὲ πάλιν εἰϲηγεῖϲθαι τὴν «ϲφίϲιν ἀπὸ τῆϲ ϲφέϲι, ⟨διὰ⟩ μεταθέϲεωϲ τοῦ ε̄ εἰϲ τὸ ῑ, Βοιωτικῶϲ ἢ Ἰακῶϲ· καὶ οὕτωϲ ὁλόκληροϲ ἡ ϲφίϲιν, ἧϲ ϲυγκοπὴ ἡ ϲφίν». Παρὰ Βοιωτοῖϲ οὐ μετατίθεται, ϲυμφώνου ἐπιφερομένου, τὸ ε̄ εἰϲ τὸ ῑ· ἀλλ' οὐδὲ παρ' Ἴωϲιν, ὅτε μὴ ἀπ' εὐθείαϲ εἴη τῆϲ διὰ τοῦ ῑ. ἐν οἷϲ οὖν αἱ κατὰ τὸ τρίτον μιᾷ ϲυλλαβῇ C

Argum. 3. Ut nominum dativi pluralis, ita aeolicae ἄμμι ὔμμι formae ν in fine et abiciunt et assumunt. — 7 Ϲφίν formam correptam esse vel ea ex re apparet, quod in dialecto Ionum enclitica est; in ea enim encliticae non sunt nisi correpta vocali. — 12 Ϲφίϲιν aucta forma rectum tonum servat. — 19 Falluntur qui ϲφίν ortum esse putant ex ϲφέϲιν ϲφίϲιν forma; ϲφέϲιν enim nihil est. Deinde tertiae personae personalia una syllaba a secundae personalibus superari, et tertiae personalia amplificari solent.

Testim. 23 Cramer. An. Ox. I 385. Et. M. 738, 11 *Τὸ σφέας κατὰ πλεονασμόν ἐστι τοῦ ε̄, ἢ τὸ σφᾶς κατὰ συναίρεσιν· καὶ λέγομεν ὅτι τὸ σφέας κατὰ πλεονασμὸν τοῦ ε̄ γίνεται· κατὰ τὸν κανόνα τὸν λέγοντα· καθόλου ἐν πληθυντικοῖς ἀριθμοῖς ἡ τοῦ τρίτου προσώπου ἀντωνυμία, ἀρχομένη ἀπὸ τοῦ σφ̄, ἐνδεῖ συλλαβῇ [κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον* del. RSchneider] *τοῦ πρώτου τε καὶ δευτέρου προσώπου· οἷον ἡμεῖς ὑμεῖς σφεῖς· ἡμῶν ὑμῶν σφῶν· ἡμῖν ὑμῖν σφίν· οὕτως καὶ ἡμᾶς ὑμᾶς σφᾶς.*

Discr. script. 2. ὑμίν HLAhrens, ὑμῖν b | 3. τὸ adiecit b | νόημα b, νοημμα A | 5. αἱ Αἰολικαὶ RSkrzeczka, καὶ Αἰολικαὶ Ab | 5—6. ονομαϲιν A | 7. inscriptio περι τηϲ ϲφὶν maiusc. A, deinde repetuntur quae sunt 97, 27 υμιν παλιν παρ' ιωϲιν προπεριϲπαται usque ad 98, 2 υμμιν αιολειϲ, sed omnia deleta sunt, tum iteratur inscriptio περι τῆϲ ϲφιν, denique sequuntur ει ομοχρονοι e. q. s. | 8. ὁμολογεῖται scripsit RSchneider, ὁμολογεῖ Ab | ἐγκλίϲεωϲ b, κλιϲεωϲ A | 9. ϲυϲτέλλουϲιν] in margine tres voces erasae in A | 11. ϲφὶν δ' αὐτῷ pro ϲφὶν δ' αὐτοῖϲ Max Schmidt | 12. inscriptio περι τηϲ ϲφιϲιν maiusc. A | 13. επακολουθει A, ἀκολουθεῖ b | 17. ὅ Homerus vulg. | 19—20. διὰ μεταθέϲεωϲ FWSturz, μεταθεϲεωϲ A, μεταθέϲει b

ἐνδέουσι τῶν κατὰ τὸ δεύτερον, ἡ σφίσιν ἀπὸ τῆς σφίν ἐπεκτέταται,
καὶ καθὸ αἱ τοῦ τρίτου εὐεπέκτατοι μονοσύλλαβοι.

«Αἱ τοῦ τρίτου κτητικαί, ἑνικαὶ κατὰ τὸ ἐντὸς πρόσωπον, διὰ
τοῦ σφ πλήθους παραστατικαὶ γίνονται κατὰ τὸν κτήτορα παρὰ Δω-
ριεῦσιν, ὅς **σφός**· ἴσον γὰρ τῷ σφέτερος· ὅν **σφόν**· καὶ ἐπὶ τῶν
126 A λοιπῶν ταὐτόν. καὶ ἐπὶ πρωτοτύπων οὖν ταὐτόν· ἰδοὺ γὰρ ἕ καὶ
σφέ. εἰ τοῦτο, καὶ τὸ σφίν ἀπὸ ἑνικοῦ τοῦ ἵν, Δωρικῶς.» Παρα-
πεμπτέον δὲ τὸν λόγον, εὐδιάσειστον ὄντα, ἐν οἷς καὶ ὁλόκληρον τὴν
σφέ παραδεξόμεθα καὶ αὐτήν τε τὴν σφίν. — πῶς δὲ οὐχὶ καὶ τὸ
κοινολεκτούμενον ζητήσει τις; — οὐκ ἐξομαλίζεται δὲ τὸ τῆς εὐθείας
καὶ γενικῆς· ἀπὸ γὰρ τῆς ἵ καὶ οὗ οὐκ εἰσὶν ἀκόλουθοι πληθυντικαί. —
B ἐπηυξήθη οὖν ἀπὸ μονοσυλλάβου τῆς σφίν ἡ σφίσιν, οὐχ ὁμοίως τοῖς
ὀνόμασιν· οὐδὲ γὰρ ταὐτὰ παρακολουθεῖ, ἃ καὶ τοῖς ὀνόμασι. **ταχέος**
γὰρ καὶ **ταχέες**, ἀφ' οὗ καὶ τὸ ταχέεσσιν, ἅπερ οὐκ ἐπὶ τῆς σφεῖς.

Συρακούσιοι ψίν· **αμανι ψιν γενομενα**; Σώφρων (fr. 83 Ahrens).
Ἡ διὰ τοῦ ψ γραφὴ ἐπὶ πλήθους τασσομένη οἰκειοτέρα τῆς διὰ τοῦ σφ.

Καὶ σὺν τῷ ᾱ λέγεται παρ' Αἰολεῦσιν·

ὄτα πάννυχος **ἄσφι** κατάγρει,

Σαπφώ (fr. 98 Ahrens, 43 Bergk[3]).

C Ἡ**μᾶς**. Ταύτης ὁλοκληροτέραν φασὶ τὴν παρὰ τοῖς Ἴωσι διῃρη-
μένην, λέγω δὲ τὴν ἡμέας. «ὃν γὰρ τρόπον παρὰ τὸ ταχεῖς ταχέας,
οὕτως ἡμεῖς ἡμέας, καὶ Ἀττικῶς ἡμᾶς, ὡς Εὐβοέας Εὐβοᾶς.» Ἀλλ'
οὔτε ἡ ἡμεῖς ὁμοία τῇ ταχεῖς, ὡς ἀπεδείχθη, οὔτε Ἀττικοὶ τὸ ε̄ καὶ
τὸ ᾱ συναιροῦσιν, ὅτε μὴ καθαρεύοι τὸ ε̄, ὡς ἐπὶ τοῦ ἰέασιν ἰᾶσιν· οὐ
γὰρ ἔτι ἐπὶ τοῦ τιθέασι. καὶ Εὐβοᾶς φασίν, ἀλλ' οὐκέτι ταχᾶς.

Argvm. 3 Alii σφίν ex ἵν natum esse putant, ut σφός ex ὅς, σφέ ex σφί. At σφέ et σφί nativas esse formas persuasum nobis est. — 15 Syracusani ψίν, Aeoles ἄσφι dicunt. — 20 Accusativi pluralis primae personae. Pleniorem formam ἡμέας ionicam esse ex ταχέας forma colligunt. At pronomina nominum analogiam non sequuntur; neque Attici ε̄ et ᾱ (in ᾱ longam) contrahunt, nisi praecedente vocali.

Discr. script. 1. ενδεουσιν A | 2. εὐεπέκτατοι scripsit RSchneider, ἀνεπέκτατοι Ab | 3. inscriptio περι της σφος maiusc. A | Αἱ τοῦ τρίτου] fol. 188 v. | πρόσωπον διὰ bγ evan. in A praeter πρ litteras | 4. ν. vocis τον evan. in A | κτητωρα A | 5. καὶ ἐπὶ b, κ' επι A | 7. ϲ in voce σφε supra lin. A | 8. τὴν b, τηι A | 9. post παραδεξομεθα iteratur ευδιασειστον οντα in A | αυτην τε A, αὐτὴν δὲ b | 10. ζ in εξομαλιζεται ex ϲ facta videtur in A | 15. αμανι ψιν A, Ἀμῖν ἢ ψίν FWSturz, 'Saltem corr. Ἀμῖν' b in var. lect. | 18 ὄτα b HLAhrens, ὄτα ThBergk | κατάγρει HLAhrens ThBergk, καταγρεῖ b 'Fortasse scribendum ⟨ὄππατ' ἄωρος⟩ ὄτα πάννυχος ἄσφι κατάγρει' ThBergk | 20. inscriptio περι της ἡμας maiusc. A | φασιν A | ιωσιν A | 23. τὸ ε̄ GKoen b, τὸ ϲ̄ A | 24. ante συναιροῦσι inserendum esse ⟨εἰς μακρὸν ᾱ⟩ conicit RSchneider | 25. τιθεασιν A

Τὸ 127 A

μηδ' ἧμας ὑπεκφύγοι (π 372)

Ἰώνων ἔθει φαcὶ cυνεcτάλθαι κατὰ τὴν ἀπόλυτον cημαcίαν.
Ἀμέ Δωριεῖc· ἁ δ' ἄρ' ἄμ' ἐλωβῆτο, Cώφρων Γυναικείοιc (fr. 66 Ahrens). Ἄμμε Αἰολεῖc·

ὄπταιc ἄμμε,

Cαπφὼ πρώτῳ (fr. 93 Ahrens, 115 Bergk[3]). τινὲc δὲ ἀποκεκόφθαι φαcὶν ἀπὸ τοῦ ἀμμέαc καὶ ἀμέαc, ἐπεὶ οἰκεία αἰτιατικαῖc ἡ εἰc αc κατάληξιc.
Ὑμᾶc. Καὶ ὑμέαc, ἀκολούθωc τῇ ἡμέαc. Δωριεῖc ὑμέ· ἐμὲ B
δ' Ἀρχωνίδαc ἴαλλε παρ' ὑμέ, Ἀνδρείοιc Cώφρων (fr. 25 Ahrens). ὔμμε Αἰολεῖc·

τὸ γὰρ θέων ἰότητ' ὔμμε λαχόντων γέραc ἄφθιτον
ἀνθήcει,

Ἀλκαῖοc πρώτῳ (fr. 63 Ahrens, 83 Bergk[3]).
Ἡ cφᾶc ἔcθ' ὅτε cυcτέλλει τὸ ᾱ κατ' ἔγκλιcιν, cυζύγωc τῇ

μηδ' ἧμαc (π 372), C

ἐν τῷ

μέγα δέ cφαc ἀποcφήλειε πόνοιο (Ε 567).

Τὴν μὲν οὖν κτητικήν, cύζυγον οὖcαν τῇ ἁμάc Δωρικῇ,

cαωcέμεναι νέαc ἁμάc (Ν 96)

ἀντὶ τοῦ ἡμετέραc, προcῆκον ὀξύνειν,

cφὰc γὰρ παρθέμενοι κεφαλάc (β 237)·

τὴν δὲ πρωτότυπον περιcπᾶν ὁμοίωc τῇ ἡμᾶc καὶ ὑμᾶc· ἀφ' ἧc Ἰακὴ 128 A
διαίρεcιc ⟨ἡ⟩

cφέαc αὐτοὺc ἀρτύναντεc (Μ 43. 86)·

cαφέc ἐcτιν ὡc ἐγκλιθεῖcα ἐν τῷ

οὐ μέν cφαc ἔτ' ἔολπα (θ 315)

περιεγράφετο τῆc περιcπωμένηc.
Cφέ. Εἴρηται ὡc μόνωc ἐγκλιτική ἐcτι, cυζυγεῖ μέντοι Δωρικῇ

Argvm. 10 Accusativi pluralis secundae personae. — 16 Accusativi pluralis tertiae personae.

Discr. script. 3. φαcιν A | 4. ἄμ' ἐλωβῆτο HLAhrens, ἀμὲ λωβῆτο Ab in textu, 'corrige ἀμ' ἐλωβῆτο' id. in var. lect. | 6. ὄπταιc HLAhrens ThBergk et sine dubio A (in eo enim ι non subscribitur), ὀπτᾷc b | 8. αἰτιατικαῖc b, αττικ^ A | 10. inscriptio περι τηc υμᾶc maiusc. A | ἡμέαc b, ημαc A ⁊ 13. τὸ γὰρ Ab ThBergk, τοὶ γὰρ HLAhrens | θέων HLAhrens ThBergk, θεῶν b | ἰότητ' b HLAhrens ThBergk, qui adicit 'exspectaveram ἰότατι', ϊοτητι A | ὔμμε λαχόντων A b ThBergk, ὔμμ' ἔλαχον τῶν HLAhrens | γέραc ἄφθιτον ἀνθήcει b ThBergk, γέραc ἄφθιτον ὀνθήcει HLAhrens, αφυτον θηcει γεραc A | 16. inscriptio περι τηc cφᾶc maiusc. A | Ἡ cφᾶc] fol. 189 r., in vocibus η cφαc litterae η c evan. in A | 20. cυζυγον ουcαν A, cυζυγοῦcαν b | 21. νῆαc A | 23. παρθεμεναι A | 25. ἡ add. b | 26. εαυτουc pro αὐτούc A | 28. cφεαc Homerus vulg. | 30. inscriptio περι τηc cφε maiusc. A | εcτιν A

τῇ ἀμέ καὶ ὑμέ. Πάλιν δὲ καὶ ταύτην ἀπὸ τῆς σφέας φασὶν ἀποκε-
B κόφθαι. Ψέ Συρακούσιοι. Σώφρων· πῶς ψε καὶ γινώσκωμες; (fr. 84 Ahrens). Ἄσφε Αἰολεῖς·

ὅτ' ἄσφ' ἀπολλυμένους σάως,

Ἀλκαῖος δευτέρῳ (fr. 92 Ahrens, 73 Bergk[3]).

Ἐχομένως καὶ ὑπὲρ τῶν κτητικῶν ῥητέον, ὧν καὶ διαφορὰς ἐξεθέμεθα ὡς πρὸς τὰς πρωτοτύπους ἐν τοῖς κατ' ἀρχήν. — Αἱ κτητικαὶ τῶν ἀντωνυμιῶν εἰς γενικὴν ἐγκλινομένην ἀναλύονται μετὰ τοῦ ὑπακουομένου κτήματος, καθ' οἱανδήποτε ἂν ὦσι πτῶσιν, ἐμὸς οἶκος οἶκός μου, ἐμῷ δούλῳ δούλῳ μου,

C ἵνα νωιτέρην ὄπ' ἀκούσῃς (μ 185),

ἵνα ἡμῶν τῆς φωνῆς ἐπακούσῃς· καὶ ἐπὶ τῶν λοιπῶν τὸ αὐτό. — Παντὶ κτητικῷ τὸ ὑπακουόμενον κτῆμα ὁμοιόσχημόν ἐστιν, Ἑκτόρειοι δοῦλοι, Ἀριστάρχειοι δοῦλοι, ἡμέτεροι δοῦλοι, δοῦλοι ἐμοί· γενικῇ μέντοι κτῆσιν δηλούσῃ πάλιν τὸ ὑπακουόμενον κτῆμα ἀδιάφορον, αὐτοῦ δοῦλοι ἢ δοῦλαι ἢ οἶκος ἢ ὁτιδηποτοῦν κτῆμα. διὸ καὶ
129 A τὰ κτητικῶς ὑπακουόμενα ἐὰν μὴ ὁμοιοειδῆ τυγχάνῃ, οὔτε κτητικὴ ἀντωνυμία παραλαμβάνεται οὔτε κτητικὸν ὄνομα, γενικὴ δέ. σαφὲς δὲ ἐκ τοῦ

θαύμαζεν δ' Ὀδυσεὺς λιμένας καὶ νῆας ἐΐσας,
αὐτῶν θ' ἡρώων ἀγοράς (η 43)·

ἡ γὰρ ἀνομοείδεια γενικὴν ἀπῄτησε τὴν αὐτῶν. — Μὴ ὑπολαβέτω δέ τις, ὡς αἱ κτητικαὶ τὸ γένος παρεμφαίνουσι μόνον τοῦ κτήματος, τοῦ
B δὲ κτήτορος οὐκέτι. «ὡς ἐπὶ τοῦ ἐμός, ἡμέτερος· ἀρσενικὰ γὰρ τὰ κτήματα, τὰ δὲ τοῦ κτήτορος ἄδηλα ἐν γένει· καὶ γὰρ ἐπ' ἄρσενος τὸ ἐμός καὶ ἐπὶ θήλεος.» — Λέληθε γὰρ ὡς μᾶλλον ὥρισται τὸ τοῦ

Argum. 6 De possessivis. Pro possessivis omnium casuum genetivi personalium ponuntur inclinati. — 13 Cum omni possessivo forma vocabuli eius, quo possessio indicatur, convenit, cum genetivo personalis non convenit. — 22 Ne quis credat rei possessae quidem indicari genus, non indicari possessoris: — 26 nam possessoris persona aut demonstratione aut relatione definitur per ipsum possessivum.

Discr. script. 2. ψε καὶ b, και ψε και A, sed prius και deletum, ψέ κα HLAhrens | γινώσκωμες HLAhrens, γινώσκωμεν FWSturz b, γινωσκομεν A | 4. ὅτ' b, ὄτ' HLAhrens, ὅτ' ThBergk, οτ A | 'ἄσφ' Apollonius legit, sed fuit fortasse ὅτα σφ'' ThBergk | ἀπολλυμένους A b, ἀπολλυμένοις HLAhrens ThBergk | σάως A b in textu HLAhrens ThBergk, 'corrigendum forsan σάωσα vel σάωσεν' b in var. lect. | 6. inscriptio περι κτητικων maiusc. A | 9. κατοιαν δηποτε A | ωσιν A | 11. ιν' ανωιτερην A | 13. παντὶ κτητικῷ b, παν κτητικω A | 16. οτιδηποτ' ουν A | 17. ομοιοειδη A, ὁμοειδῆ b | 18. οὔτε b, ουτετ A | 19. δε εκ A, δ' ἐκ b | 20. θαύμαζε A b | οδυσσεος A | λημενας A | 22. ἀνομοείδεια RSchneider, ανομοειδια A, ἀνομοιοείδεια b | απητησεν A | 23. παρεμφαινουσιν A | 24. κτητωρος A | ἐπὶ τοῦ b, απο του A | 25. κτητωρος A | γένει b, γενεσει A; inde fol. 189 v. | 26. litterae θε vocis λεληθε evan. in A

κτήτορος πρόςωπον διὰ τῆς δείξεως καὶ ἀναφορᾶς. καὶ δείξεως μὲν ἐμός, cός, ἀναφορᾶς δὲ ὡς cφέτερος, τῶν κτημάτων ἀδήλων ὄντων κατὰ τὴν ποιότητα. τῷ γὰρ ἐμός τί μᾶλλον ὑπακούεται οἶκος ἢ ἵππος ἢ δοῦλος ἤ τι τῶν τοιούτων;

Αἱ κτητικαὶ ἀπὸ γενικῶν μόνων cχηματιζόμεναι, κτῆcιν cημαινουcῶν, C καὶ εἰς γενικήν, ὡς προείρηται, ἀναλύονται κτῆcιν cημαίνουcαι. καὶ αἱ μὲν ἀπὸ πρώτου ἑνικοῦ πρώτου ἂν ῥηθεῖεν, ἑνικαί τε κατὰ τὸν κτήτορα, οἷον ἐμοῦ ἐμός. ὁμοίως αἱ ἀπὸ ⟨τοῦ⟩ δευτέρου, cοῦ cός, καὶ ἔτι αἱ ἀπὸ τρίτου, οὗ ὅς. καὶ ἐπὶ δυϊκῶν ταὐτόν, νῶιν νωίτερος, cφῶιν cφωίτερος. τούτων τὸ τρίτον ὑπεστάλη διὰ τὸ μόνως ἐγκλίνεcθαι, ὅπερ ἡ παραγωγὴ οὐ παραδέχεται· προείρηται 130 A δὲ καὶ ἐν τοῖς ἐπάνω. καὶ ἐπὶ πληθυντικῶν, ἡμῶν ἡμέτερος, ὑμῶν ὑμέτερος, cφῶν cφέτερος.

Τούτων τὰ τρίτα ἐν δυcὶ τρίτοις νοεῖται, τὰ μέντοι πρῶτα καὶ δεύτερα οὐ πάντως ἐν πρώτοις καὶ τρίτοις, καὶ δευτέροις καὶ τρίτοις, ὥς τινες ὑπέλαβον ἐκ τοῦ ἐμός ἐcτι καὶ cός ἐcτιν. ἰδοὺ γὰρ πρώτου πρὸς δεύτερον, ἐμὸς εἶ φίλος, καὶ δευτέρου πρὸς πρῶτον,

ἀλλὰ πατὴρ τεός εἰμι (π 188). B

δύναται γὰρ καὶ τρίτου πρὸς πρῶτον, ὡς ἐπὶ τοῦ ὅς εἰμι· ἴcον γάρ ἐcτι τῷ αὐτοῦ εἰμί. — cκληρὸν γάρ ἐcτι τὸ λέγειν καὶ πρώτου πρὸς πρῶτον καὶ δευτέρου πρὸς δεύτερον ἐν τῷ ἐμός εἰμι καὶ cὸς εἶ. μόναις γὰρ ταῖς ἀντανακλωμέναις τὸ τοιοῦτο παρακολουθεῖ, χωρὶς εἰ μὴ καὶ αὐταὶ μεταλαμβάνοιντο εἰς τὰς cυνθέτους, καθάπερ καὶ ἐνίας

Argum. 5 Possessiva ut genetivorum personalium notionem induunt, ita a solis genetivis eorum derivantur: — 10 a cφωίν genetivo dualis tertiae personae nihil ducitur, quod semper est encliticus. — 14 Primae personae possessiva ita usurpantur, ut possessio sit aut tertiae aut secundae, secundae possessiva ita, ut res possessa aut tertiae aut primae sit; tertiae possessivis ita plerumque utimur, ut et possessor et possessio sit tertiae; quamquam in his ὅς εἰμι possessio primae est. Ubi et possessor et possessio est primae aut secundae, ibi reflexiva locum habent, pro quibus possunt sane possessiva poni, sed ea necesse est cum 'esse' verbo construi: ἐμὸς enim γράφω nihil est.

Testim. 14 Prisc. XII 10 p. 582, 23 Hertz *Et primae quidem personae possessivum tam ad secundam quam ad tertiam transit personam, secundae vero ad primam vel ad tertiam, ut 'tuus sum', 'tuus est'; ipsa enim sese possidere non potest, quomodo nec prima; nam possessiva necessario in duabus diversis intelleguntur personis et sunt transitiva . . . potest in tertia simul utraque inveniri in diversis, quod in prima et secunda non potest, ut ipsa habeat et possessorem una et possessionem, nisi figurate dicamus 'meus sum' et 'tuus est', hoc est 'meae potestatis' et 'tuae', vel pro reciprocis, quae apud Graecos compositae sunt: ἐμαυτοῦ φίλος εἰμί 'meus amicus sum' e. q. s.*

Discr. script. 8. κτήτορα b, κτηρα A | ἀπὸ τοῦ b, απο A | 11. οὐ b, ο A | 12. καὶ ἐν b, κ' εν A | 13. cφοτεροc A | 14. δυcιν A | 16. εcτιν A | 19. γαρ A, δὲ b | τρίτου b, τριτον A | 20. εcτιν A | εcτιν A

C τῶν κατὰ τὸ τρίτον κτητικῶν ἐπιδείκνυμεν εἰς συνθέτους μεταλαμβανομένας. νοείσθω δὲ ὡς ἡ τοιαύτη σύνταξις ῥήματα ἀπαιτεῖ ὕπαρξιν σημαίνοντα· ἐπὶ γὰρ τῶν ἄλλων οὐκέτι· ἐμὸς γράφω· οὐκέτι δὲ καὶ ἐν δευτέρῳ.

Ἴσως τις δόξει τὰ κτήματα ὁρίζεσθαι ἐν τοῖς πρὸς πρόσωπον λόγοις, [παῖδες ἐμοί] ἐμὸς εἶ, σός εἰμι, ἡμέτερε. Ὅπερ οὐ τοῦ κτήματος ἴδιον, τοῦ δὲ μετειλημμένου δευτέρου προσώπου, ὅπερ πάλιν οὐδὲ
131 A τοῦτο κατὰ τὸ παντελὲς ὥρισται. προσδέεται γὰρ τὸ σός εἰμι· ἢ δοῦλος ἢ ἄλλο τι, καὶ ἡμέτερε· δοῦλε ἢ πάτερ. πάλιν οὖν καὶ ἐπὶ τῶν τοιούτων ἡ ποιότης ἐνδεῖ.

Βραχὺς λόγος πρὸς τοὺς οἰομένους ἀπ' αἰτιατικῶν παρῆχθαι τὰς ἀντωνυμίας· «παρὰ γὰρ Δώριον τὴν ἁμέ καὶ ὑμέ καὶ ἔτι σφέ τὸ ἁμέτερος καὶ ὑμέτερος καὶ σφέτερος, καὶ ἔτι παρὰ τὴν Αἰολικὴν τὴν ἄμμε
B τὸ ἀμμέτερος, καὶ παρὰ τὴν νῶι καὶ σφῶι νωιτερος καὶ σφωιτερος.» — Πρῶτον οὐκ ἐξωμάλισται· πῶς γὰρ αἱ ἑνικαί; ἐμέ γὰρ καὶ ἐμός, σέ σός καὶ ἕ ὅς, οὐδαμῶς τοῦ ε̄ ἐγκειμένου. πῶς δὲ καὶ τὸ ἡμέτερος καὶ ὑμέτερος τῷ ᾱ οὐ προσχρῆται, εἴγε τὸ ἡμᾶς καὶ ὑμᾶς; — ἔπειτα εἰς γενικὰς ἀναλυόμεναι συμφανεῖς εἰσι καὶ ἀπὸ γενικῶν παρηγμέναι. — ἔπειτα ἡ αὐτός ἐπιταγματικὴ ὁμοιόσχημος οὖσα ἀεὶ ἐπιτάσσεται ταῖς πρωτοτύποις, ταῖς δὲ κτητικαῖς κατὰ μόνην γενικήν·
C καὶ δῆλον ὡς τῇ κατὰ τὸ ἐντὸς πρόσωπον νοουμένῃ συντάσσεται, ἥ τις οὐκ ἄλλη ὀφείλει πτῶσις εἶναι ἢ γενική, ἀφ' ἧς καὶ ἡ παραγωγή,

αὐτῶν γὰρ σφετέρῃσιν (α 7)

καὶ

ἢ ἑὸν αὐτοῦ χρεῖος (α 409).

Ὃν τρόπον αἱ σύνθετοι τὸ γένος ἢ τὴν πτῶσιν μετατιθεῖσαι κατὰ
132 A τὸ τέλος κινοῦνται, τὸ δὲ πρόσωπον κατὰ τὸ ἄρχον, τὸν αὐτὸν τρόπον καὶ αἱ κτητικαὶ ἐπὶ γένους καὶ πτώσεως κατὰ τὸ τέλος, ἐν προσώποις κατὰ τὸ ἄρχον. ἔχουσι μέντοι περισσὸν τὸ ἐν ἀριθμοῖς κατ' ἄμφω τὰ μέρη κινεῖσθαι· ἐμὸς γὰρ καὶ νωιτέρω καὶ ἡμέτεροι.

Argum. 5 Si quis dicat possessionem definiri, ubi aliquem alloquimur: id ut fiat non efficere possessivi naturam, sed secundae personae monemus; quamquam ne haec quidem omni ex parte definita est. — 11 Possessiva non sunt derivata ab accusativis; nam 1) formae non conveniunt. 2) In possessivorum locum quoniam substituuntur genetivi, a genetivis ea descendere consentaneum est. 3) Αὐτός appositivum cum personalibus semper eodem casu, cum possessivis genetivo coniungitur. — 26 Possessivorum ut genus et casus distinguantur, fines mutantur; personarum vicissitudines initiis indicantur; numerum variari et initia et terminationes ostendunt.

Discr. script. 3. γράφω RSchneider, γράφει A b | 6. παῖδες ἐμοί aut παῖδες expungendum esse vidit RSkrzeczka | 8. παντελὲς b, παντελως A | ἢ δοῦλος] fol. 190 r. | 14. νῶι καὶ σφῶι b, νωιν̇ και σφωιν̇ A, puncta adscripsit A' | 15. κ in και voce ex ε facit A² | 18. ἐπεὶ ταεις accentu fere eraso A | ειςιν A | 21. ως τῇ A, ὡς ἡ b | νοουμένη A b | 29. εχουςιν A | περιςον A

Ἄξιον ἐπιστάσεως ἐκεῖνο, ὁτιδήποτε τὰ μὲν ῥήματα κινούμενα ἐν προσώποις κατὰ τὸ τέλος κινεῖται, αἱ δὲ ἀντωνυμίαι οὐκέτι, ἀλλὰ κατὰ τὸ ἄρχον. Καὶ ἴσως τις οἰήσεται τὸν λόγον περισσὸν εἶναι, φάσκων τὰ μὲν ῥήματα εἶναι, τὰς δὲ ἀντωνυμίας. Ἀλλὰ κοινὸν ἔχουσι τὸ B πρόσωπον δηλοῦν, καὶ ἔτι μένει ἡ ζήτησις. ἔπειτα ἡ μετοχὴ καὶ ἡ κτητικὴ ἀντωνυμία ἐν γένει καὶ πτώσει κινούμεναι κατὰ τὸ τέλος κινοῦνται, καθάπερ καὶ τὰ ὀνόματα, καὶ οὐ διήλλαξε, διάφορα καθεστῶτα. Λεκτέον οὖν ὡς φυσικῶς τὸ τοιοῦτον ἀπετελέσθη. αἱ πτώσεις ἐν τῷ τέλει κινοῦνται, καὶ τοῦτο ἀποδείξεως οὐ δεῖται· πτῶσιν δὲ ἐπιδέχονται αἱ ἀντωνυμίαι· ὀφείλουσιν ἄρα κατὰ τὸ τέλος κινεῖσθαι. ὅπερ καὶ C παρακολουθεῖ. ἀλλὰ μὴν εἰ καὶ κατὰ τὸ τέλος ἐν προσώποις ἐκινοῦντ⟨ο⟩, σαφὲς ὅτι παρηκολούθησεν ἂν συγχύνεσθαι τὴν π⟨τῶσιν⟩ διὰ τὴν μετάθεσιν τὴν ἐκ τοῦ προσώπου. προνοητικώτατα ἄρα κατὰ τὸ ἄρχον κινεῖται, ἵνα ἄχραντος ἡ πτῶσις μείνῃ. τὰ μέντοι ῥήματα, οὐκ ὄντα δεκτικὰ πτώσεως ἢ μόνης εὐθείας, ἀκωλύτως τὸ τέλος ἐκίνει ἐν προσώποις, ἐπεὶ οὐκέτι τὰ τῆς πτώσεως ἀμφήριστα.

Νοείσθωσαν οὖν πάλιν αἱ πληθυντικαὶ τῶν κτητικῶν, αἵ τε δυϊκαί, 133 A ἐν συλλήψει καθεστῶσαι πρώτου καὶ δευτέρου ἢ καὶ τρίτου, καθότι καὶ αἱ πρωτότυποι ἐδείχθησαν. ἡμέτερος γὰρ ὁ ἐμὸς καὶ σὸς καί, εἰ τύχοι, ἄλλου του· καὶ νωίτερος ὁ ἐμὸς καὶ σός, ἢ ἐμὸς καὶ ἐκείνου.

Κοινὸν μὲν ἔχουσιν αἱ κτητικαὶ ἀντωνυμίαι πρὸς τὰ κτητικὰ ὀνό-

---

Argum. 1 Personis variantibus verborum fines, initia pronominum mutantur. Cuius rei haec est causa. Pronomina necesse est uti casibus, qui suapte natura fines eorum sibi vindicarunt; nihil igitur ad personas significandas superest praeter initia. — 13 Verba autem, ut in quibus unus nominativus insit, nihil obstat quominus ad indicandas personas varient exitus, cum de casu non dubitetur. — 17 Ut personalium, ita possessivorum duales pluralesque complures personas complectuntur; et in prima quidem etiam secundam vel etiam tertiam continent. — 21 In possessivis et pronominibus et nominibus possessio subauditur; inest et possessoris et possessionis persona; pro iis substituitur genetivus possessoris cum possessione. His vero rebus inter se differunt: 1) quod pronomina quemlibet possessorem, nomina interdum certum quendam indicant; 2) quod in nominibus possessivis semper duae insunt tertiae personae, in pronominibus non semper; 3) quod in possessivis ab appellativis ductis, quot sint possessores, ignoratur, non ignoratur in pronominibus,

---

Testim. 21 Prisc. XII 20 p. 588, 16 *Commune habent possessiva pronomina cum possessivis nominibus, quod in utrisque possessio subauditur, quod binae intelleguntur personae, quod in genetivos primitivorum similiter resolvuntur cum possessione; non commune, quod pronomina possessiva omnis sunt communia possessoris, nomina vero possessiva non omnis . ., et quod nomina tertiae intelleguntur personae, nisi adiungantur verbis sustantivis vel vocativis, pronomina vero et primae et secundae inveniuntur personae. dubitatur numerus possessoris in nominibus possessivis, quae ab appellativis derivantur, . . in pronominibus vero non. . . possessiva nomina ascendentibus non solent adiungi, ut 'Hectoreus pater' non dicimus, 'frater' vero vel 'servus' dicimus; pronomina vero adiunguntur, ut 'meus pater'.*

Discr. script. 7. διηλλαξεν A | 11. ἀλλὰ μήν] fol. 190 v. | ο (non ουντο, ut b in var. lect. refert), quod charta a bibliopega membranae illita est, in fine vocis εκινουντο non cernitur in A | 12. vocis πτῶσιν nihil videtur praeter vestigium π litterae in A | 15. ακολυτως A | 18. καὶ δευτέρου RSkrzeczka, ἢ δευτέρου Ab | 20. σός b, η σος sed η delet A

B ματα τὴν ἐν ἀμφοτέροις κτῆσιν ὑπακουομένην, τὴν τῶν δισσῶν προσώπων ἔννοιαν, τὸ εἰς γενικὰς ἀναλύεσθαι μετὰ τοῦ κτήματος· οὐ κοινὰ δέ, καθὸ αἱ ἀντωνυμίαι κοιναὶ παντὸς κτήτορός εἰσι,· τὰ δὲ κτητικὰ ἰδιάζει κατὰ τὸν κτήτορα ἔσθ' ὅτε. τὸ μὲν γὰρ ἐμός, σός κοινὸν ἐπὶ πάντων, τὸ δὲ Ἑκτόρειος ἴδιον· ἐπὶ γὰρ μόνου Ἕκτορος. ᾧ τρόπῳ διαφέρει καὶ τὸ Ἰλιόθεν τοῦ ἄλλοθεν· τὸ μὲν ἐκ τόπου μετὰ ἰδιότητος, τὸ δὲ κοινὸν παντὸς τόπου. — Πάντοτε ἐν δυσὶ τρίτοις τὰ κτητικὰ C νοεῖται, αἱ δὲ ἀντωνυμίαι οὐ πάντοτε, ὡς ἐδείχθη. — Κατὰ τὸν κτήτορα ἀμφιβάλλεται ὁ ἀριθμὸς ἐν προσηγορικοῖς, ἀνθρώπεια ἴχνη, πότερον ἑνὸς ἢ πλειόνων· αἱ δὲ ἀντωνυμίαι οὔποτε. αἴτιον δὲ οὐκ ἄλλο ἐστὶ τῆς ἀμφιβολίας ἢ τὸ τέλος τοῦ ὀνόματος, δι' οὗ τὸν ἀριθμὸν καταλαμβανόμεθα, ὅπερ κατὰ παραγωγὴν τοῦ κτητικοῦ παραφθείρεται. ὅτε μὲν γάρ ἐστιν ὑός ἢ ὑῶν, νοεῖται ὁ ἀριθμός, ἐπὶ δὲ τοῦ 131 A ὕειαι ἢ βόειαι σάρκες οὐκέτι. αἱ μέντοι ἀντωνυμίαι, κατὰ ἀριθμὸν θέματα οὖσαι, οὐκέτι ἀμφιβολίαν ἐνεποίουν· οὐδὲ γὰρ ἀπὸ τῶν αὐτῶν συλλαβῶν ἤρχοντο. διὰ τοῦτο ἀπὸ τῆς ἐμοῦ γενικῆς ⟨ἑνικῶς⟩ παρελαμβάνετο ἡ ἐμός, καὶ ἔτι νῶιν νωίτερος δυϊκῶς κατὰ τὸν κτήτορα, καὶ ἔτι πληθυντικῶς ἡμῶν ἡμέτερος. ἐπεὶ δὲ τὰ κύρια ἑνικῶς πάντοτε νοεῖται, εἴγε ἰδίαν ποιότητα σημαίνει, ὀρθῶς ⟨οὐδὲ⟩ τὰ ἀπ' αὐτῶν κτητικὰ ἐπὶ πλήθους νοεῖται, λέγω δὲ τὸ Ἑκτόρειος καὶ τὰ παραπλήσια. B Κἀκεῖνο δὲ διαφέρουσιν, ᾗ ἀσύνηθες τῷ μὲν Αἰάντειος τὸ πατήρ ἐπιφέρειν, ⟨παῖς δὲ⟩ ἢ ἀδελφός, τῷ δὲ ἐμός καὶ σός.

Ὃν τρόπον τὰ εἰς $\overline{\text{ος}}$ λήγοντα τριγενῆ ὀνόματα εἰς τὰ γένη καὶ τοὺς ἀριθμοὺς καὶ τὰς πτώσεις μετασχηματίζεται, τὸν αὐτὸν δὴ τρόπον καὶ αἱ κτητικαὶ τῶν ἀντωνυμιῶν κατὰ τὸ τέλος σχηματίζονται κατὰ πᾶν πρόσωπον. ὡς γὰρ τὸ καλός, οὕτω καὶ τὸ ἐμός καὶ σός.καὶ ὅς, κατὰ C τὸ ἐντὸς ἑνικῶς νοούμεναι, καὶ ὡς τὸ ὁσιώτερος, οὕτω καὶ τὸ νωίτερος καὶ σφωίτερος, δυϊκῶς κατὰ τὸ ἐντὸς νοούμεναι (ὑπὲρ γὰρ τῆς τοῦ τρίτου ἐκλείψεως εἴρηται)· καὶ ἔτι ὡς τὸ χαριέστατος, οὕτω καὶ τὸ ἡμέτερος, ὑμέτερος, πληθυντικῶς κατὰ τὸν κτήτορα νοούμεναι.

Ἡ τεός Δωρικὴ τῇ σός ὁμωνυμεῖ. καὶ κοινῶς μέν πού φησιν ὁ ποιητὴς

Arguм. 18 neque in possessivis a propriis nominibus ductis. — 22 Ut adiectiva in $\overline{\text{ος}}$ trium terminationum, ita possessiva per genera, numeros, casus flectuntur. — 31 Possessiva singillatim percensentur.

Discr. script. 1. δυϲϲων — A | 3. κτήτορός RSkrzeczka, κτήματός Ab | ειϲιν A | 8—9. κτητωρα A | 10. ουπωτε A | 11. εϲτιν A | 12. παραγωγὴν τοῦ Ab, 'scr. fortasse παραγωγὴν τὴν τοῦ' b in var. lect. | 13. ἐπὶ δὲ b, οπου δε A | 16. γενικῆς ἑνικῶς RSchneider, γενικης A, ἑνικῶς b | 19. οὐδὲ adiecit b in var. lect., om. A et b in texta | 20. παραπλήσια] fol. 191 r. | 21. κακεινο A, κἀκείνῳ b | 21—22. ἐπιφέρειν, παῖς δὲ ἢ ἀδελφός RSkrzeczka, ἐπιφέρειν ἢ ἀδελφός Ab, 'aliam scripturam expressit Priscianus' b in var. lect. | 24. τὰς πτώσεις b, τα γενη A | 29. χαριέστατος b, χαριεστερος A | 31. inscriptio περι της τεός A | ομονυμει A

cὸc δέ που ἔκφυγε κῆρας ἀδελφεόc (δ 512),

Δωρικῶc δὲ τὸ 135 A

πατὴρ τεόc (π 188)

καὶ ἔτι τὰ ἀπ' αὐτῆc,

τεὰ ἅρματα καὶ τεὼ ἵππω (Ε 237).

καὶ παρ' Αἰολεῦcιν. Ἀλκαῖοc ἐν πρώτῳ·

τὸ δ' ἔργον ἀγήcαιτο τέα κόρα (fr. 57 Ahrens, 14 Bergk[3])·

καὶ

οἴκω τε περ cῶ καίπερ ἀτιμίαιc (fr. Alc. 93 Ahrens, 74 Bergk[3]),

ὁ αὐτὸc κοινῷ ἔθει. Ἐπὶ ταύτηc τῆc λέξεωc Βοιωτοὶ μεταβάλλουcι τὸ
ε̄ εἰc ῑ, καθότι καὶ τὸ θεόc θιόc. Εἴρηται ὡc cυναλειφθεῖcα, τεύc, ὀξυ- B
τόνωc λέγεται.

Ἡ ὅc καὶ ἑόc διcυλλάβωc λέγεται. ἐν οἷc ἀμφίβολον κἀκεῖνο, πότερον διὰ τοῦ θ̄, ὡc Ἀρίcταρχοc,

ὅθ' ἑὸc δόμοc ἀμφεκάλυψεν (ο 118),

ἢ διὰ τοῦ τ̄,

ὅτε ὃc δόμοc·

καὶ γὰρ τὰc πλαγίουc διττῶc ἔcτιν εὑρέcθαι,

ἀλλ' οὐδ', ἀχνύμενόc περ, ἑοῦ (Ν 419)·

ἡ δ' ὅτε δὴ οὗ πατρὸc (η 3)· C

κὰδ δ' ἐν Ἀθήνῃc εἷcεν, ἑῷ (Β 549)·

καὶ

οὕνεκ' ἄρ' οὐχ ᾧ πατρί (ν 265),

καὶ

αὐτὰρ Ἀχιλλεὺc κλαῖεν ἑὸν πατέρα (Ω 511)·

ὃν καὶ Ὀδυccῆοc φθῖcαι γόνον (δ 741).

καὶ ἐπὶ τῶν θηλυκῶν καὶ οὐδετέρων,

Ζεὺc δὲ πρὸc ὃν λέχοc ἤι' (Α 609)·

ἣν ἄτην ὀχέων (φ 302), 136 A

καὶ

μεθ' ἑὸν βέλοc (Ν 513)·

καὶ ἐπὶ πληθυντικῶν·

Argum. 1 Possessiva secundae personae; nominativus singularis. — 3 Τεόc forma et dorica et Homerica; aeolica τέοc, boeotica τιόc et τεύc (cum personale sit τεῦc). — 13 Nominativus tertiae. Ὅc et ἑόc promiscue apud Homerum leguntur.

Discr. script. 5. τέ' Homerus vulg. | 7. δ'ἔργον Ab HLAhrens ThBergk. Ϝέργον FWSchneidewin | ἀγήcαιτο FJBast HLAhrens ThBergk, ἀγήcατο Ab | τέα HLAhrens ThBergk, τεὰ b | 9. οἴκω τε περ cῶ FJBast HLAhrens ThBergk, οἴκῳ τε περ cῷ Ab | καίπερ ἀτιμίαc Ab HLAhrens, καὶ περ' ἀτιμίαc ThBergk | 10. τῆc λέξεωc b, τηcδε ληξεωc A | μεταβαλλουcιν A | 11. καθοτι A, καθὸ b | cυναληφθειcα A | 13. inscriptio περι τηc ος̅ A maiusc. | 14. τ in ποτερον ex π factum ab A* | 17. οτ' εοc A | 21. ηcεν εω A | 25. πατέρ' Homerus vulg. | 26. οδυccηοc A, η ex εω factum ab A* | 28. ἤι' Homerus, ἤει b, ειη A

ἢ ἑοὶ αὐτοῦ
θῆτές τε δμῶές τε (δ 643).

Κἀκεῖνο δὲ δύναται ὀρθὴν πληθυντικὴν σημαίνειν, εἰ κατ' ὀρθὸν τόνον ἀναγνοίημεν,

οἳ δὲ οἷ ἐβλάφθησαν (Ψ 387).

B Οὐ πιθανὸν τὸ λέγειν, ὡς οὐ πεπλεονάκει τὸ ε̄ ⟨ἐν⟩ τῇ ἑός, ἀπὸ μέντοι τῆς ἕο Ἰακῆς παρῆκτο. Τί οὖν οὐχὶ καὶ ἀπὸ τῆς ἐμέο καὶ σέο σύζυγοι ἐγίνοντο ἐμεός καὶ σεός; ἄμεινον οὖν λέγειν ὡς ἢ πεπλεονάκει τῷ ε̄, καθὰ καὶ αἱ πρωτότυποι πολλάκις, ἢ ἀπὸ τῆς τεός Δωρικῆς ἀπετελέσθη, ἐπεὶ ἀδύνατον τὰ τρίτα τῶν δευτέρων πλεονοσυλλαβεῖν.

Αἰολεῖς μετὰ τοῦ F κατὰ πᾶσαν πτῶσιν καὶ γένος·

τὸν Fὸν παῖδα κάλει,

C Σαπφώ (fr. 106 Ahrens, 117 Bergk³). καὶ Ἀλκμὰν δέ, συνεχῶς αἰολίζων, φησί

τὰ Fὰ κάδεα (fr. 99 Bergk³).

ὁμοίως καὶ Βοιωτοί· Κόριννα (fr. 10 Ahrens, 19 Bergk³)·

ευωνυμιης πῆδα Fόν θέλωσα φίλης ἀγκάλης ἑλέσθη.

Εἴρηται ὑπὲρ τῆς ὁμοφωνίας τῆς ἐμοῦ, σοῦ, οὗ πρὸς τὰς πρω-
137 A τοτύπους, καὶ ὡς τῇ εἰς ου̅ καταλήξει ἐπὶ τῶν κτητικῶν ὁ ποιητὴς χρῆται, ἐπὶ δὲ τῶν πρωτοτύπων οὐκέτι,

εἰ δή τοι σοῦ πατρὸς (β 271)

καὶ

πατρὸς ἐμοῦ κλέος (γ 83),
ἣ δ' ἄχεϊ οὗ παιδός (ο 358)·

Argum. 3 Οἵ igitur si acuto signatur, nominativus pluralis possessivi esse potest. — 6 In ἑός ε̄ aut redundat, aut illa forma e dorica τεός facta est: ab ἕο enim orta esse non potest, nam a distractis formis possessiva non derivantur. — 11 Aeoles et Boeoti digamma adicjunt. — 18 Genetivi singularis primae secundae tertiae personae. Formae ἐμοῦ σοῦ οὗ ἐμοῖο σοῖο οἷο Homero sunt genetivi possessivorum, ἐμέο ἐμεῖο ἐμεῦ e. q. s. personalium;

Discr. script. 1. ἢ Homerus b, ηδ' A | 5. οἳ ἐβλάφθησαν b, οψε βλαβησαν A | 6. ὡς ου πεπλεοναχοι, haec c ου πεπλεοναχοι in rasura, A | ἐν add. RSchneider | 8—9. ἢ πεπλεονάκει b, και πεπλεοναχοι A | 9. τῷ ε̄ RSchneider, τὸ ε̄ Ab | 10. in voce πλεονοσυλλαβειν inter β et ε littera una deleta, post πλεονοσυλλαβειν vocem aliquid erasum in A | 11. post F πλεονοσυλλαβειν iteratur in A | πᾶσαν πτῶσιν] fol. 191 v. | 12. Fὸν HFMVolger HLAhrens ThBergk, Fεὸν b, εον A | κάλει HLAhrens ThBergk, καλεῖ b | 14. φησιν A | 15. Fὰ ThBergk, Fεὰ b, εα A | 16. Βοιωτοί· Κόριννα· ευωνυμιης b, βοιωτοι ευωνυμιης Κοριννα A, Βοιωτοὶ ἐFός, Μινυάσι Κόριννα· scribendum esse suspicatur ThBergk, ἐν Μινυάσι coniecit etiam JAHartung, ευωνυμιης omisit HLAhrens | 17. πῆδα Fὸν ABoeckh HLAhrens et ThBergk, qui dubitat an potius πῆδ' ἐFὸν scribendum sit, πηδεγον A | ἑλέσθη ABoeckh cet. editores, εληςθε Ab | 18. inscriptio περι της εμου σου ου maiusc. A | ου bis scriptum in A, alterum ου ex ως ortum esse, ut legendum sit ὡς πρὸς τάς, coniecit JGuttentag | 24. παιδός b Homerus, πατρος A

ὅθεν πρὸς ἐνίων καὶ τὸ

οἵ θ' αἵματος ἐξ ἐμεῦ εἰcί (Τ 105)

διὰ τοῦ ō ἐγράφετο, ἵνα μὴ δόξῃ τὸ αἵματος πλεονάζειν. Ἔτι γε μὴν ἐπὶ τοῦ

πρώτω γὰρ καὶ δαιτὸς ἀκουάζεcθον ἐμεῖο (Δ 343) B

λείπειν φαcὶ τὴν περί ἐθίμως, ἵν' ᾖ «περὶ δαιτὸς πρῶτοι ἐμοῦ μεταλαμβάνετε». Τί οὖν ἂν εἴη τὸ

céo δ' ὀcτέα πύcει ἄρουρα (Δ 174)·

ἢ μή τιc cεῦ μῆλα (ι 405);

ἢ οὐδ' ὅλωc τοῖc τοιούτοιc ἐπιcτατέον. αἱ γὰρ γενικαί, ὅτε ἐπὶ κτῆμα φέρονται, ἰcοδυναμοῦcι ταῖc κτητικαῖc· διὸ καὶ ἀκωλύτωc τὰ κτητικὰ C εἰc αὐτὰc ἀναλύεται. οὐ μὴν τὰ Ζηνοδότεια παράλογα,

μνῆcαι πατρὸc cεῖο (Ω 486)

καὶ

πατρὸc ἐμεῖο πατήρ (Ξ 118. τ 180)·

τῷ γὰρ αὐτῷ ἐνέχεται λόγῳ· προκριτέαι μέντοι αἱ κτητικαὶ γραφαί, καθότι αἱ γενικαὶ κτῆcιν δηλοῦcαι ἐγκεκλιμέναι θέλουcιν εἶναι, δοῦλόc 138 A μου, οἶκοc ὕμων, αἱ δὲ ὀρθοτονούμεναι οὔ. «Οὐχὶ οὖν καὶ τὸ

cέο δ' ὀcτέα πύcει ἄρουρα (Δ 174)

ὀρθοτονεῖται, καὶ τὸ

ἀκουάζεcθον ἐμεῖο (Δ 343)

καὶ

οἵ θ' αἵματοc ἐξ ἐμεῦ εἰcίν (Τ 105);»

Ἀλλ' ἀναγκαίωc, ἡ μὲν cέο, ὅτι ἐν ἀρχῇ, ἡ δὲ ἐμεῖο καὶ

cεῖο μέγα κλέοc (π 241),

καθὸ τῷ ī πλεονάζουcιν, ἡ δὲ ἐμεῦ, ὅτι cυντέτακται προθέcει. B

Εἰ αἱ κτητικαὶ οὐδέποτε ἐπὶ πρᾶγμα φέρονται, cαφὲc ὅτι ὡc τὸ

ὀδυccαμένοιο τεοῖο (Θ 37. 468)

ἐπὶ πρᾶγμα φερόμενον ὠλιγώρηται· δέον γὰρ γενικὴν παραλαμβάνειν,

---

Argum. 2 itaque h. l. ἐμοῦ scripserunt. — 7 Aliis locis personalium genetivi, qui pro possessivis substituuntur, locum habent; minime igitur Zenodoti scriptura hh. ll. per se reicienda, sed praeferenda sunt possessiva, quia genetivi personalium, ubi possessionem indicant, inclinata, non orthotona esse solent. — 18 Quacum lege non pugnant ii loci, in quibus personalia possessive usurpata rectum tonum servant, quod aut in initio sunt, aut cum praepositione construuntur, aut quod ī in iis redundat. — 27 Sed habet sane aliquid offensionis τεοῖο cum verbo constructum.

Discr. script. 2. εμευ ειcιν in ras. A | 3. ἵνα μὴ δόξῃ LFriedlaender, εἰ μὴ δόξῃ Ab, 'scribendum δόξειε' b in var. lect. | 5. ακουεζεcθον A | 6. φαcιν A | 8. ποιcει pro πύcει A | 9. ἢ μὴ Homerus, ἢ μὴ b, ει μη A | τι cευ A | 12. οὐ μὴν] 'Immo οὔκουν, vel οὐ μὴν ἀλλά' b in var. lect. | 16. προκριταιοι A | 17. εγκεκλιμεναι A, ἐγκλινόμεναι b | 21. ακουεζεcθον A | 23. prius α in αιματοc ex ε fecit A* | 26. τῷ ī b, το ι A | μευ pro εμευ A | προθέcει b, προcθεcει A

ἥτις καὶ ἐπὶ πρᾶγμα φέρεται. εἰ δ' ἀπὸ τῆς τέο Θετταλικῶς ἐξετάθη, ὥς τινες ᾠήθησαν, δῆλον ὡς καὶ κατὰ τὸ πρῶτον καὶ τρίτον· ὅπερ οὐκ ‖ C ‖ ἔστι· ψεῦδος ἄρα καὶ τοῦτο.

Αἰολεῖς ἔμω, cῶ, ὧ. — Ἡ ἐμοῖο, coῖο, οἷο ἤτοι μετὰ διαιρέσεως τὸ ῑ προσέλαβον, ἢ Θετταλικαί εἰσιν, ὡς καὶ Ἀριστάρχῳ ἤρεσκεν. Οὐκ ἄλογος δ' ἂν εἴη καὶ ἡ αἰτία τοῦ τὴν μὲν κτητικὴν διὰ τῆς ο̅ι̅ παράγεσθαι, τὴν δὲ πρωτότυπον διὰ τῆς ε̅ι̅. εἴ γε ἀπὸ τοῦ καλοῦ καλοῖο, μετατιθεμένου τοῦ ῡ εἰς τὸ ῑ καὶ προστιθεμένου τοῦ ο̅, σαφὲς ὅτι καὶ ‖ 139 A ‖ ἐπὶ τῆς ἐμοῦ ταὐτὸν παρηκολούθει. ὅπερ ἔθιμον ἐπὶ κτητικῶν παρὰ τῷ ποιητῇ, εἰς ο̅υ̅ λήγειν ἐπὶ γενικῆς, τὸ δὲ πρωτότυπον εἰς ε̅ο̅ καὶ ε̅υ̅, ἀφ' ἧς πάλιν ἀνάλογον τὸ ἐμεῖο.

Τὸ

ὡς οὐδὲν γλύκιον ἧς πατρίδος (ι 34)

τρίτον νοητέον· τοῦτο γὰρ ⟨οὐ⟩ κατὰ τὸ αὐτῷ ἀρέσκον ἀνεφωνήθη πρὸς τοῦ ἥρωος. ἐποίσει γοῦν ἔτι διῆκον ἐπὶ παντὸς

εἰ καί τις ἀπόπροθεν.

‖ B ‖ οὕτως ἔχει καὶ τὸ

οὔτι ἔγωγε
ἧς γαίης δύναμαι (ι 27)·

τῆς γὰρ ἑκασταχοῦ γῆς. Τὸ μέντοι

ἀλλ' αἰεὶ φρεσὶν ᾗσιν ἔχων (ν 320),

ἀντὶ τοῦ ἐμαῖς, εὐλόγως ὑπ' Ἀριστάρχου ὑπωπτεύετο ὡς νόθον, καθὸ ἀδιάπτωτος ἐν ἀντωνυμίαις. — πλεῖστα γοῦν ἔστι παρ' ἑτέροις εὑρεῖν, σφέτερον πατέρα (Hes. O. D. 2) ἀντὶ τοῦ ὑμέτερον, ἀντὶ τοῦ ‖ C ‖ τεά, τοι κήδεα λέξον ἑά παρὰ Καλλιμάχῳ, (fr. 536. 557 Schneider), καὶ πάλιν παρ' αὐτῷ ἀντὶ τοῦ σφωιτέρου. Ἀλκμάν (fr. 3. 30 Bergk³)·

ὑμέ τε καὶ σφετέρως ἵππως·
σφεὰ δὲ προτὶ γούνατα πίπτω. —

ἀλλὰ μὴν καὶ τὸ σφετερίζομαι, σύνηθες ὄν, ὠλιγώρηται ἐπὶ πρώτου

Argvm. 4 Aeolicae formae. — Ἐμοῖο coῖο οἷο possessivorum esse (apud Homerum) mirum non est; nam possessiva genere sunt adiectiva, quae illum exitum apud Homerum habere solent. — 12 Ὅc ad unam tertiam refertur. — 19 Quare rectę Aristarchus hunc Homeri versum, in quo ad primam pertinet, eiecit: Homerus enim in hac re non peccat, ut alii solent.

Discr. script. 1. δ' A, δὲ b | εξεξεταθη A | 3. εστιν A | 4. εμῶ cῶι ὦ A | 7. litterae δι vocis δια charta illita teguntur in A | ει γε A, εἰ γὰρ b] hinc fol. 192 r. | 9. ἐπὶ τῆς b, απο της A | 13. γλυκιων A | ἧς b Homerus, της A | 14. οὐ add. b | 16. εἴπερ et ἀπόπροθι Homerus vulg. | 18. οὔτοι Homerus vulg. | 22. ἐμαῖς b, εμος A | 23. εστιν A | 25. τεά, τοι WDindorf, qui τοι aut delendum aut cum καί commutandum esse, et OSchneider, qui pro τοι fortasse τοῖς scribendum esse censet, τεά τοι b | 26. σφωτερου A | HLAhrens pro Alcmanicis expectari dicit Callimachea; itaque suspicatur aut quaedam excidisse aut e Callimacheo carmine ad Dioscuros desumpta esse verba: Ἀλκμὰν ὑμέ τε καὶ σφετέρως ἵππως (suppl. ἐκλέϊσσεν), ut sequentia non minus Callimachi sint. Ahrensio assentitur KBrugman | 28. προτὶ b ThBergk, ποτι A | 'malim γώνατα' ThBergk | 29. ωλιγορηται A

καὶ δευτέρου ταϲϲόμενον. ἀλλ' οὐδ' ἐν τῇ κατὰ τὸ τρίτον ἐκφορᾷ ὑγιέϲ, εἴγε οὐδέποτε ἀπ' ἀντωνυμιῶν ῥήματα παράγεται. — Οὐ πιθανὴν ἀπολογίαν τινέϲ φαϲιν, ὡϲ ἐν ῥήμαϲι παραλλαγὴ προϲώπων· 140 A «διώκετον (K 364) γὰρ ἀντὶ τοῦ διωκέτην· καὶ ἐν ὀνόμαϲιν· ἠέλιοϲ (Γ 277) γὰρ ἀντὶ τοῦ ἥλιε· καὶ ἐν ἐγκλίϲεϲι· δέχεϲθαι (A 20) ἀντὶ τοῦ δέχεϲθε· οὕτω καὶ ἐν προϲώποιϲ ἀντωνυμιῶν». μένει γὰρ ἡ αὐτὴ παραλογία. πρὸϲ οἷϲ καὶ ἃ παρατίθενται, ἔθιμα διαλέκτων. — «Αἱ κατὰ τὸ τρίτον», φαϲὶν, «εἰϲ τὸ ἴδιον μεταλαμβάνονται, διὸ καὶ τὸν ϲφέτερον πατέρα (Hes. O. D. 2) ἀντὶ τοῦ τὸν ἴδιόν τινεϲ δέχονται». Τί δέ; οὐχὶ καὶ αἱ κατὰ τὸ πρῶτον καὶ δεύτερον κτητικαὶ τὸ B ἴδιόν τινοϲ ϲημαίνουϲι; πῶϲ γὰρ ἀλλότριον ὂν κτῆμά τινοϲ;

Ἐν ταῖϲ Ζηνοδοτείοιϲ διορθώϲεϲι δίχα τοῦ ν̄ τὸ

Ζεὺϲ δὲ πρὸϲ ὃ λέχοϲ (A 609)

ἐγράφετο, καὶ ἡ ἀφορμὴ ἐκ τῶν ὑποτακτικῶν ἄρθρων, ἅπερ ὁμοφωνεῖ ταῖϲ κτητικαῖϲ κατὰ τὸ τρίτον. «τὸ γὰρ ὅϲ ὑποτακτικὸν ὁμόφωνον τῷ ἀπὸ τοῦ ἐμόϲ ϲόϲ ὅϲ, καὶ ἐπὶ πάντων ταὐτόν. ἄλλωϲ τε εἰ ἀπὸ C τοῦ αὐτόϲ, ἐκεῖνοϲ, οὗτοϲ τὰ οὐδέτερα εἰϲ ō ἔληξεν, οὐκ ἀπίθανον ἐπὶ τοῦ ὅϲ ἀντωνυμικοῦ τὸ οὐδέτερον εἰϲ ō λήγειν.» — Ῥητέον δὲ πρὸϲ μὲν τὸ πρῶτον, ὡϲ οὐ μᾶλλον ἡ ἀντωνυμία παράλογοϲ ἤπερ τὸ ἄρθρον, καθὸ εἰϲ ν̄ οὐκ ἔληξεν. — ἔπειτα τὰ κατὰ τὸ πρῶτον καὶ δεύτερον ὁμοιοκατάληκτα καὶ κατὰ τὸ τρίτον· ὅθεν εἰ ἐμόν καὶ ϲόν, καὶ ὅν. — πρὸϲ οἷϲ οὐδὲ πάντοτε ὁμοφωνεῖ· ἰδοὺ γὰρ ἑόϲ μὲν ἡ ἀντωνυμία, 141 A οὐκέτι δὲ τὸ ἄρθρον. — πρὸϲ δὲ τὸ δεύτερον, ὅτι ἡ μὲν ἐκεῖνο καὶ τοῦτο μονοπρόϲωποι, τὸ δὲ διπρόϲωπον. — ἄλλωϲ τε θεματικώτεραι αἱ πρωτότυποι καὶ ἐν τοῖϲ γένεϲιν· ἀπὸ γὰρ τοῦ οὗτοϲ αὕτη, καὶ ἔτι τοῦτο, τοῦ ἀρϲενικοῦ οὐκ ἀπὸ τοῦ τ̄ ἠργμένου. — ἔτι αἱ κτη-

Argum. 2 Neque personarum parallagen statuere poteris, — 7 neque illud dicere, possessivis tertiae personae notionem 'proprius' subici: ea enim etiam primae secundaeque possessivis subicitur. — 12 Accusativus singularis. In editionibus Zenodoteis neutrum possessivi ὅϲ est ὅ, propter analogiam postpositivi articuli et aliorum pronominum. — 18 At articulus potius cum lege pugnat; coniugorum ἐμόν ϲόν analogia flagitat ὅν; ne convenit quidem voce cum postpositivo; comparari non potest cum ἐκεῖνο τοῦτο, nam in his una, in ὅϲ duae sunt personae; in primitivis omnino femininum et neutrum a masculino non derivatur; possessiva cum adiectivis in ο̅ϲ̅ convenire solent, quorum neutrum in ο̅ν̅ exit; postpositivus ὅ cum praepositivo τό congruit.

Discr. script. 2. prior α in ρηματα ab A* | 5. εγκλιϲεϲιν A | 5—6. δεχθαι pro δέχεϲθαι et δεχεϲθαι pro δέχεϲθε A | 8—9. τον ϲφετερον A, τὸ ϲφέτερον b | 13. προϲ ο A, πρὸϲ ὃν b | 17. εἰϲ ō b, ειϲ ου A, indeque fol. 192 v. | απειθανον A | 18. litterae ρον vocis ουδετερον evan. | 19. ἡ ἀντωνυμία παράλογοϲ b, η αντωνυμια παραγωγοϲ A, 'vide ne legendum sit ἡ παράγωγοϲ ἀντωνυμία παράλογοϲ' RSkrzeczka | 25. post αι tres quatuorve litterae erasae in fine versus, in versu, qui sequitur, litterae ωτοτυποι vocis πρωτοτυποι in rasura A

τικαὶ ἀντωνυμίαι ὡς ὀνόματα καθ' ἅπαν εἰς τὰ γένη καὶ τὰς πτώσεις παράγονται, τῶν δὲ ὀνομάτων εἰς ον τὰ οὐδέτερα. — δῆλόν τε ὡς
B καὶ τὸ ἄρθρον κατώρθωται. τὰ γὰρ ἀπὸ τοῦ τ ἀρχόμενα προτακτικὰ ἀποβολῇ τοῦ τ τὰ ὑποτακτικὰ ποιεῖ· ὅθεν εἰ τό, δῆλον ὡς καὶ ὅ.

Ἐδείχθη ὡς ἀπὸ ἐγκλινομένων οὐ παράγονται αἱ κτητικαί. καὶ οἱ ἀξιοῦντες οὖν ἐγκεκλιμένην, ὡς τρίτου, εἶναι γενικὴν τὴν

ἀλλ' εἴπ' ἤ σφωιν (δ 28)

καὶ

γυιώσω μέν σφωιν (Θ 402)

C καὶ ἀπ' αὐτῆς κτητικὴν παρ' Ἀντιμάχῳ (p. 30 Stoll) εἰρῆσθαι ἐπὶ Τυδέως καὶ Πολυνείκους τὸ σφωιτέρην ὀϊζύν καὶ διὰ τῆς δευτέρας ⟨ἐπὶ⟩ Ἐτεοκλέους καὶ Πολυνείκους τὸ σφωίτερον μῦθον, ἑαυτοῖς ἐναντιοῦνται. δέον γὰρ μᾶλλον ἐπίμεμπτον καταλείπειν τὸ σχῆμα ἢ μαχόμενον πρὸς τὰ ὅλα. ἄλλως τε οὐδέποτε τρίτον δευτέρῳ ὁμοφωνεῖ· ἔστι δὲ δεύτερον κατὰ τὸ ἐντὸς δυϊκὸν ἀπὸ πρώτου τοῦ νωίτερος τὸ σφωίτερος.

142 A Τὴν ἡμέτερος, κατὰ τὸν κτήτορα οὖσαν πληθυντικήν, διχῶς λέγουσι Δωριεῖς· ἁμέτερος γὰρ καὶ ἁμός, καὶ ὑμέτερος καὶ ὑμός, καὶ σφέτερος καὶ σφός. — Προείρηται ὡς καὶ παρ' Ὁμήρῳ τὰ τοιαῦτα Δωρικά,

τὰ δ' οὐ μένος ἁμὸν ἐρύξει (Θ 178)·

ἀμφὶ σφοῖς ὀχέεσσι (Σ 231)·

καὶ τὸ

πρὸς πέτρῃσι βαλὼν ὑμῆς (ι 284)·

B οὐ μὴν κατὰ τὸ τέλος· διὸ οὐδὲ τὸ

σαωσέμεναι νέας ἁμάς (Ν 96)

οὐ συνεστάλη κατὰ τὸ τέλος, καθὸ οὐδὲν τοῖς τέλεσιν ἐδώριζε. καὶ γάρ πού φησι

οὐδέπω ἁμῆς
γῆς ἐπέβην (λ 166—67). —

Argum. 5 Possessiva ab inclinatis non derivantur; quare σφωίτερος non est tertiae a σφωίν ductum, sed descendit a σφῶιν et est secundae. — 17 Pluralis primae secundae tertiae. Formis quidem doricis utitur Homerus, — 24 sed non flexione dorica.

Discr. script. 2. ματων litterae in voce ονοματων antea evanuerant, sed alio atramento renovatae in A | ω in ως ex κ facta ab A[x] | 7. η A Homerus, εἰ b | 9. γυωσω A | 10—11. τυδέος A | 11. σφωιτερον A | δευτερας in margine A[1], ut videtur, adscripsit, sed nitidiore atramento | 12. ἐπὶ adiecit RSkrzeczka | in πολυνεικους litteras υνεικους A[x] scripsit, νεικου in rasura | 15. εστιν A | 16. σ prior in σφωιτερος eodem atramento, quo δευτερας, scripta | 17. inscriptio περι της ημετερος υμέτερος maiusc. A | κτητωρα A | 17—18. λεγουσιν A | 18. ἁμός b, αμον A | 22. οχεεσσιν A | 24. ὑμῆς b, υμηος A | 26. νῆας A | 27 εδωριζεν A | 28. φησιν A

Τὸ

σφεᾶς ἔειξε χώρας

παρ' Ἀλκμᾶνι (fr. 31 Bergk[3]) τῷ ε̄ πλεονάζει. — Εἴρηται ὡς τὸ

ἤτοι γὰρ πατέρ' ἀμὸν (Z 414)

ἴσον ἐστὶ τῷ ἡμέτερον, ἀλλ' οὐχ ὥς τινες ὑπέλαβον ἐκ τοῦ ἐμόν μετειλῆφθαι· οὐ γάρ ποτε τὸ ε̄ εἰς ᾱ μακρὰν μεταλαμβάνεται, ὅτι μὴ ἐπὶ τοῦ κέν συνδέσμου, καὶ ταῦτα, εἰ δοθείη. ἄλλως τε σύνηθές ἐστι τὸ πληθυντικοῖς ἀντὶ ἑνικῶν χρῆσθαι, C

ἡμεῖς δ' οὔ νύ τι τοῖοι ἀμυνέμεναι (β 60)

καὶ ἐφ' ἑνὸς τοῦ Πατρόκλου,

ἡμέτερος θεράπων (Π 244)·

τοιοῦτον οὖν καὶ τὸ «ἀμόν». — πρὸς οἷς καὶ τὸ ὑμόν καὶ σφόν συζυγοῦντα ὁμολογεῖ τὸ ἐντὸς πληθυντικόν. καὶ ἡ συνήθης φράσις ἀνάπλεός ἐστι τοῦδε τοῦ σχήματος. — καὶ οὐκ ἀπεμφαίνει ὁ λόγος· ἐμπεριεκτικὸς γάρ ἐστιν ὁ πληθυντικὸς ἀριθμὸς τοῦ ἑνικοῦ. 143 A

Οὐχὶ οὖν καὶ ὁ δυϊκός; τί οὖν οὐχὶ δυϊκοῖς χρώμεθα ἀντὶ ἑνικῶν; Ἀλλ' οὐκ ἔστιν ὅμοια· ὁ μὲν γὰρ δυϊκὸς ὡς κύριον ὄνομα κατὰ τοῦ δύο ἐτάχθη, ὁ δὲ πληθυντικὸς κοινὸς παντὸς πλήθους καθέστηκε, καὶ διὰ τοῦτο γενικὸς ὢν κατὰ τῶν ἰδικῶν τάσσεται. — διὸ καὶ μεμφόμεθα τὸ δυϊκὸν κατὰ πληθυντικῶν τασσόμενον, καὶ ἔτι τὸ ἑνικόν. — πάλιν δὴ ὁ Ἀλκμὰν (fr. 31 Bergk[3]) τὸ σφεᾶς ἀντὶ ἑνικοῦ ἔταξε καὶ τὸ B

σφοῖς ἀδελφιδεοῖς κᾶρα καὶ φόνον (fr. 56 Bergk[3]). —

Ἡσίοδος μέντοι ἐπίμεμπτός ἐστιν εἰπὼν

ἑὸν κακὸν ἀμφαγαπῶντες (O. D. 58),

ἐν ᾧ ἑνικῷ ἀντὶ πληθυντικοῦ ἐχρήσατο· καὶ Καλλίμαχος·

Argum. 4 Ἀμός ponitur illud quidem pro ἐμός (solent enim pluralia pro singularibus poni), sed non est ortum ex hoc; nunquam enim ε̄ in ᾱ longam transit. — 16 Neque dualis ad unam personam refertur: dualis enim proprium est duas res significare; neque dualis aut singularis potest pluralis partes sustinere.

Testim. 5. Schol. A ad Z 414 *Δημήτριός φησιν ἀντὶ τοῦ ἐμόν· διὸ καὶ ἀντικρὺς ψιλοῖ· πιθανώτερον δέ ἐστι Δωρικώτερον εἶναι ἀντὶ τοῦ ἡμέτερον ἀμόν* (*ἀμόν* corr. HLAhrens). *οὕτως Ἀπολλώνιος.*

Discr. script. 2. σφεασε, ειξεν A | 3. τῷ ε̄ b, το ε̂ A | Εἴρηται b, ειρηται γαρ A, sed γαρ delevit A[1] | 5. εστιν A | εμον A, ἐμός b | 5—6. 'ne quis corrigat μετείληπται' b in var. lect. | 6. οὐ γάρ ποτε] fol. 193 r., ceterum ου coopertum charta a bibliopega illita | 7. εστιν A | 9. ἀμυνέμεν Homerus vulg. | 12. αμον A, ἀμός b | πρὸς οἷς b, προσοιοις A | 13—14. αναπλεος A, ἀνάπλεως b | 14. εστιν A | 15. vocis πληθυντικος litterae πλη in ras. in fine versus, θυν ultra versum, τι in versu, qui sequitur, in ras. scriptae | 18. καθεστηκεν A | 19. γενικὸς b, γενικως A | ιδικων A, εἰδικῶν b | 21. σφεᾶς HLAhrens ThBergk, σφέας b | εταξεν A | sic locum constituit ThBergk, verba καὶ τὸ fragmento tribuerat b | 22. ἀδελφιδεοῖς ThBergk, ἀδελφιδέοις b | κᾶρα b in var. lect. ThBergk, καραν Ab in textu | 25. και καλλιμαχος A, Καλλίμαχος b

C μοῦcαί νιν ἑοῖc ἐπὶ τυννὸν ἔθεντο (fr. 420 Schneider),

καὶ

ἑὸν δέ μιν οἷα γονῆα (fr. 11 Schneider)·

δέον γὰρ «cφόν» καὶ «cφοῖc». — καὶ παρὰ ἄλλοιc δὲ πλεῖcτα· παραπεμπτέον δὲ ὑπὲρ τοῦ μὴ ἐπὶ πλεῖον προάγειν τὸν λόγον. — ὑπὲρ δὲ τοῦ Ἡcιοδείου οὕτω τινὲc ἐκδέχονται· «τῆc ἀντὶ πυρὸc δοθείcηc γυναικὸc τέρπονται ἑὸν ἕκαcτοc κακὸν ἀγαπῶντεc».

144 A Αἰολεῖc ἀμμέτερον καὶ ἄμμον καὶ ὕμμον καὶ cφόν. Cαπφώ (fr. 70 Ahrens, 10 Bergk[3])·

ἔμε τιμίαν ἐπόηcαν ἔργα τὰ cφὰ δοῖcαι.

Ὑπὲρ δὲ τοῦ τὸ ἁμόc καὶ ὑμόc ⟨μὴ⟩ cυγκεκόφθαι παρὰ ταῖc διαλέκτοιc οὐ ῥητέον, ὥc τινεc ὑπέλαβον, καθὸ δύο cυλλαβαὶ οὐ cυγκόπτονται· ἰδοὺ γὰρ τὸ Δευκαλίδηc καὶ Ἀνθεμίδηc· ἀλλὰ καθὸ μὴ βαρύνονται, τοῦ ἡμέτεροc βαρυνομένου καὶ ὑμέτεροc καὶ cφέτεροc. χωρὶc εἰ μὴ λέγοι

B τιc cυνεκδεδραμηκέναι αὐτὰc κατὰ τὴν τάcιν τῇ ἐμόc καὶ cφόc· τὸ γὰρ cφόc καὶ μονοcυλλαβοῦν ἀναγκαίωc ὠξύνετο.

* * *

[Τῆc ἐμαυτοῦ πλαγίου καὶ ἔτι τῶν ὑπολειπομένων οὔτε ῥητὴ ἡ εὐθεῖα οὔτε cυcτατή. καὶ ὅτι οὐ ῥητή, τουτέcτιν οὐ cυνήθηc, cυμφανέc, χωρὶc εἰ μὴ ἐν Μετοίκοιc Φερεκράτουc ἅπαξ ἐcτὶν εἰρημένη, καὶ ἴcωc ἕνεκα τοῦ γελοίου. ὡc δὲ οὐκ ἔcτι cυcτατή, cαφὲc ἐντεῦθεν. — Καθότι αἱ πλάγιοι cύνταξιν ποιοῦνται ἐν διαβιβαcμῷ προcώπων

Argum. 11 Formas ἁμόc ὑμόc non esse factas ex ἡμέτεροc ὑμέτεροc, non poteris ita comprobare, ut duarum syllabarum syncopen non admitti dicas: admittitur enim. In tonosi analogiam ἐμόc cφόc vocum secutae esse videntur. — 17 [Nominativus ἐμαυτοῦ reflexivi nec est in usu, nec esse potest. — 21 Actio subiecti aut ad obliquum pronominis ab illo diversi casum transit (ad quem obliquum casum αὐτόc accedere potest, nequit autem cum pronomine coalescere); aut actio quae in verbo inest ad subiectum redit; quod ubi fit, reflexiva (composita) locum habent.

Discr. script. 1. νιν Ab, μιν OSchneider, νιν ἑοῖc ἐπὶ γούναc' ἔθεντο DRuhnken | 3. ἑόν δέ μιν DRuhnken OSchneider, ἑὸν δέ μοι Ab, νέοι δέ μιν Stobaeus | γονῆα Ab OSchneider, τοκῆα Stobaeus | 4. παρα A, παρ' b | 5. πλεῖον b, πλειονι A | 10. in his εμετιμιαν litterae εμετ in ras. ιμ renovatae in A, ἔμε τιμίαν b, αἴ με τιμιαν JFASeidler HLAhrens, αἴ με τιμίαν ThBergk | ἐπόηcαν HLAhrens, ἐποίηcαν Ab | ἔργα τὰ JVoss b HLAhrens ThBergk, ερτατα A | 11. μὴ inseruit b in var. lect., om. A b in textu JGuttentag | 12. οὐ ῥητέον b in var. lect., εὑρητέον Ab in textu, οὐ ζητητέον JGuttentag | 15. τῇ ἐμόc· τὸ γὰρ cόc καὶ cφόc καὶ μονοcυλλαβοῦντα JGuttentag, quocum facit GUhlig, praeterquam quod τὸ γὰρ cόc καὶ τὸ cφόc scribit, servata μονοcυλλαβοῦν scriptura | 17. οτι ουρητεον εμαυτοc inscriptio maiusc. A | Quae sequuntur libro, qui est de pronomine, abroganda esse, ostendit RSchneider | ὑπολειπομένων b, υπολειμενων A | 20. εcτιν A | 21. Καθότι Ab in textu, 'fortasse καθόλου' b in var. lect.; hinc fol. 193 v.

πρὸς τὴν εὐθεῖαν, ἐμὲ Διονύσιος ἔπαισεν, ἐγώ σοι ἐλάλησα, C
Ἀριστοφάνης Ἀρίσταρχον ἐδίδαξεν (ἦν δὲ καὶ σύνταξις ἐν πλα-
γίοις μετὰ τῆς ἐπιταγματικῆς τοιάδε, ἐμὲ αὐτὸν ἔτυψεν οὗτος,
ἐμοὶ αὐτῷ ἐλάλησεν Ἀρίσταρχος. καὶ ἡ μὲν τοιαύτη σύνταξις
ἀσυνελεύστους εἶχεν εἰς σύνθεσιν τὰς ἀντωνυμίας)· ἐπεὶ δὲ πολλάκις
αἱ ἐκ τῶν ῥημάτων ἐνέργειαι οὐ μόνον ἐξ ἑτέρων προσώπων εἰς ἕτερα
ἀπετελοῦντο, ἀλλὰ καὶ αὐτοπάθειαί τινες ἐγίνοντο, τουτέστιν ὅτε ἓν 145 A
πρόσωπον τό τε δρῶν καὶ τὸ δρώμενον, ἀπετελεῖτο δισσὸν σχῆμα τῶν
ἀντωνυμιῶν, τό τε σύνθετον, ὅπερ καλεῖται ἀντανακλώμενον, καὶ τὸ
ἀλλοπαθές, ἐμὲ αὐτὸν ἔπαισα ἐμαυτὸν ἔπαισα, ἐμοὶ αὐτῷ ἐλάλησα
ἐμαυτῷ ἐλάλησα. ἔνθεν τὰ κατὰ διάστασιν παρὰ τοῖς ποιηταῖς εἰς σύν-
θεσιν παραλαμβάνομεν, τοῦ τοιούτου παρεπομένου·

> ἐμέθεν περιδώσομαι αὐτῆς (ψ 78)· B

ἴσον γάρ ἐστι τῷ ἐμαυτῆς· καὶ

> ἀλλὰ τὰ μὲν νοέω καὶ φράσσομαι ἅσσ' ἂν ἐμοί περ
> αὐτῇ (ε 188)·

ἀντὶ τοῦ ἐμαυτῇ.

Ἔνθεν οὖν λέγω ἐπὶ τῶν πλαγίων τὸ χρειῶδες ἦν τῆς συνθέσεως.
οὐ γὰρ δή γε ἐπὶ τῆς εὐθείας ἔτι τὸ δισσὸν παρείπετο τῆς συντάξεως,
λέγω τὸ αὐτοπαθὲς καὶ τὸ ἐν μεταβάσει προσώπου. διὸ οὐδὲ συνε-
τίθετο τὸ ἐγὼ αὐτός. — καὶ εἰ τοῦτο, προφανὲς ὅτι οὐδὲ τῆς ἐμαυτοῦ C
κτητικῆς εὐθεῖά τις καταστήσεται. — ἔπειτα ὤφειλεν οὐ μᾶλλον ἐμαυ-
τός ὡς ἐγαυτός, εἴγε καὶ τῆς ἐμοῦ ἐστιν ὀρθὴ ἡ ἐγώ, μετ' ἐπιταγματι-
κῆς τῆς αὐτός. — Ἔτι ταῖς συνθέτοις ἀντωνυμίαις ῥήματα σύνεστι τοῦ
αὐτοῦ προσώπου, ἐμαυτὸν ἔπαισα, ἐμαυτῷ ἐλάλησα, καὶ δυνάμει
ἡ σύνταξις τοιαύτη ἐστίν, ἐγὼ ἐμὲ ἔπαισα, ἐγὼ ἐμοὶ ἐλάλησα. 146 A
καὶ φανερόν ἐστιν ὅτι ἡ σύνταξις τοῦ ῥήματος δυνάμει ἐστὶν ὀρθὴ
πτῶσις μετὰ πράγματος. εἰ οὖν συσταίη ἡ ἐμαυτός καὶ μετ' αὐτῆς
ῥῆμα τοῦ αὐτοῦ προσώπου συντάσσοιτο, γένοιντ' ἂν δυνάμει δύο εὐθεῖαι.
δύο δὲ εὐθεῖαι οὐδέποτε θέλουσι συντάσσεσθαι ἐν ταῖς συντάξεσι τῶν
ῥημάτων, ἀλλὰ πλάγιος καὶ εὐθεῖα, ἔν γε ταῖς ἐν μεταβάσει ἐχούσαις
τὸ ἕτερον πρόσωπον. οὐκ ἄρα συστήσεται ἡ ἐμαυτός κατὰ τοῦτο.

Ἀλλὰ καὶ εἰ τοῦτό τις παραλάβοι, ὡς τὸ ἀλλήλων καὶ ἀλλήλους B
σύνθεσιν ἔχει ἀπὸ προσώπου εἰς πρόσωπον διαβατικήν, ἐν εὐθείᾳ καὶ

Argum. 11 Pro quibus apud poëtas formae non compositae substituuntur. — 18 In nominativo igitur cum non sit duplex constructio, satis est ἐγὼ αὐτός dici; composita forma non requiritur. Ceterum ea non ἐμαυτός, sed ἐγαυτός esset. — 24 In verbo nominativus inest; ad eum si alter, qui in ἐμαυτός futurus esset, accederet, duo essent nominativi. — 33 Ἐμαυτός, quod sibi finxerunt, non potest comparari cum ἀλλήλων; in hoc enim nominativus est prior compositi pars.

Discr. script. 7. ἓν b, ἐν ὃν A, ἓν ἦν conicit RSchneider | 14. εστιν A | 15. ἅσσ' ἂν b Homerus, ασσ A | 22. καταστησεται A, συστήσεται b | ἔπειτα b in var. lect., ἐπεί τοι Ab in textu | 29. γένοιντ' b, γενοιτ' A | 30. θελουσιν A

πλαγίῳ νοουμένην, καὶ κατὰ τοῦτο οὐδὲν κωλύcει καὶ τὴν ἐμαυτός cυcτῆναι ἐκ πλαγίου καὶ εὐθείας, φαίημεν ἂν ὅτι ἡ ἀντιπαράθεcιc οὐκ ἔcτιν ὁμοία. ἐκεῖνο μὲν γὰρ ἐξ εὐθείας καὶ πλαγίου cυνέcτηκε, λέγω δὴ τὸ ἀλλήλων καὶ ἀλλήλους, καὶ οὐκ ἔcτιν αὐτοῦ ἡ εὐθεῖα· δύο γὰρ C εὐθεῖαι, ὡc ἔφαμεν, μετὰ ῥήματος ἀcύcτατοί εἰcιν ὡc ⟨πρὸc⟩ διάβαcιν δραcτικὴν τοῦ τε δρῶντος καὶ τοῦ δρωμένου. ἐπὶ μέντοι τοῦ ἐμαυτός ἀντεcτραμμένη ἡ cύνθεcιc· πλάγιον γὰρ καὶ εὐθεῖαν ἐπινοοῦμεν cυντεθειμένην.

Καὶ ἐγίνετο τὸ cχῆμα ἄκλιτον. οὔτε γὰρ κατὰ τὸ τέλος κλίνεcθαι ἠδύνατο, ἐπεὶ μετὰ ῥήματος ἡ cύνταξιc τῆc εὐθείας οὖcα οὐδέποτε πλάγιον ἀναδέχεται, χωρὶc εἰ μὴ ἐπὶ τῶν cεcημειωμένων cυμβαμάτων 147 A καὶ παραcυμβαμάτων παρὰ τοῖc Cτωικοῖc, λέγω δὲ τοῦ μέλει καὶ μεταμέλει· οὔτε μὴν κατὰ τὸ ἄρχον μέρος τῆc cυνθέcεωc, ἐπεὶ ἅπαξ τὰ cυντιθέμενα ἄκλιτά ἐcτιν. εἰ οὖν οὐκ ἔχει ἡ ἐμαυτός γενικὴν καὶ τὰc ὑπολειπομέναc, οὐδ' ἡ γενικὴ καὶ αἱ ὑπολειπόμεναι ἕξουcιν εὐθεῖαν. — πῶc οὖν οὐχὶ βίαιον τετριμμένον cχηματιcμὸν παρώcαcθαι, καὶ ἀτριβῆ καὶ ἄκλιτον καὶ ἔτι ἀμφίβολον παραδέξαcθαι; πάλιν γὰρ τὸ B cυντιθέμενον μέρος τῆc cυνθέcεωc ἢ γενική ἐcτιν ἢ δοτικὴ ἢ αἰτιατική.

Ἀλλ' ἴcωc τιc φαίη, πῶc οὖν τὸ ἀλλήλων κλίνεται; Ὅτι ἐξ εὐθείας cύγκειται καὶ πλαγίου. εἶτα cυνέβη τῇ μὲν κατ' ἀρχὴν cυνθέcει κατὰ δύο τρόπουc μὴ κινεῖcθαι, καὶ καθότι εὐθεῖα cὺν ῥήματι παραλαμβανομένη, καὶ ὅτι cυνῆπται κατὰ cύνθεcιν· τὸ δ'ἐπὶ τέλουc κλίνεcθαι πάλιν κατὰ δύο, καὶ καθότι ἐπὶ τέλουc ἐcτίν, ὅπερ παρέπεται παντὶ πτωτικῷ κλίcιν ἀναδεχομένῳ, καὶ καθότι τῆc εὐθείας μενούcηc cυντάξει C ῥήματος κινούμενον τὸ πλάγιον cχῆμα, ὡc πρὸc τὴν διάθεcιν τῆc εὐθείας, ἐγώ cοι δέδωκα, cύ με ἔτυψαc, Ἀριcτοφάνηc Ἀρίcταρχον ἐδίδαξεν.

Argum. 9 Nec flecti posset illa forma. Finis enim compositi non flecteretur, quod esset subiectum; — 12 neque prior compositi pars, quoniam ea omnino non flectitur. — 16 Itaque ἐμαυτόc qui casus esset, non constaret. — 19 Contra ἀλλήλων nihil impedit quominus flectatur; nam prior compositi pars, quae suapte natura non variatur, nominativus est; posterior et potest flecti et flectitur, prout verbum, quocum construitur, postulat.

Discr. script. 1. και την A, τὴν b | 3. ἐκεῖνο] fol. 194 r. | cυνεcτηκεν A | 5. ὡc πρὸc b, ωc A | 7. επινοουμεν A, νοοῦμεν b | 10. ηδυνατο A, ἐδύνατο b | η ante cυνταξιc vix cerni potest in A | ευ in ευθειαc alio atramento renovatum | 11. cυμβαμάτων καὶ delet CEASchmidt | 18. cυντιθέμενον Ab in textu, 'Fortasse τὸ cυναπτόμενον' b in var. lect. | 19. ιcωc A, ἴcωc ἂν b | 20. τ in κατα ex θ fecit A* | 22. δ'επι A, δὲ κατὰ b | τελουc A, τέλοc b | 25. ν vocis πλαγιον in ras. A | vocis cχημα littera c in rasura, χ non ab A¹, ut videtur, μ^α atriore atramento ab A* scriptum in A | 26. litteras οφ in αριcτοφανηc ex αρ fecit A*

* * *

Ἡ καλουμένη ἐπιταγματικὴ ἀντωνυμία καὶ προτάccεται καὶ ὑποτάccεται,

αὐτῷ τοι μετόπιcθεν (Ι 249)·
cοὶ δ' αὐτῷ μελέτω (Ο 231)·

ἐπεκράτηcε μέντοι τὸ τῆc ὑποτάξεωc, ὃ καλεῖται ἐπιταγματικόν. ὃν τρόπον οὖν τὸ ἐπίρρημα καὶ προτάccεται τῷ ῥήματι καὶ ὑποτάccεται, 148 A ἀπὸ δὲ τῆc ἑτέραc cυντάξεωc, λέγω δὴ τῆc ὑποταγῆc, τὸ ὄνομα ἔλαβε, τὸν αὐτὸν τρόπον καὶ ἡ προκειμένη ἐπιταγματικὴ ἀντωνυμία. μή ποτε δὲ διὰ τοιοῦτόν τινα λόγον κατ' ἀμφοτέραc τὰc cυντάξειc ἑνὸc τετύχηκεν ὀνόματοc. ὅταν μὲν γὰρ προτάccηται, ἀπὸ ταύτηc ἐννοίαc καλεῖται ἐπιταγματική, οἱονεὶ ἐφ' ᾗ τάccεται ἄλλη ⟨ἀντωνυμία⟩, τουτέcτιν με⟨θ'ἥν⟩ . . . . πρα. ατι . . . . νδ . . . ται . . . εν ε . τ . . . τάccεcθαι αὐτὴν δευτέραν . . . .]

Argum. 1 Αὐτόc et praeponitur et postponitur; sed nomen ἐπιταγματικόν ei a postponendo inditum est; qua in re eius appellatio convenit cum ἐπίρρημα nomine.]

Testim. 1 Prisc. XII 6 p. 580, 13 Hertz *hoc pronomen ἐπιταγματικόν, hoc est impositivum vel subiunctivum, vocant Graeci, quod vel subiungit vel subiungitur alteri pronomini.* Schol. Dion. Thr. BA p. 934, 20 *εἰ δὲ καὶ προτάττεται καὶ ὑποτάσσεται, πῶς ἀπὸ μιᾶς συντάξεως μόνον ὠνομάσθη; Φαμὲν οὖν ὡς ἡ ἐπὶ πρόθεσις δύο συντάξεών ἐστι σημαντική. καὶ προηγουμένου γὰρ τοῦ ῥήματος τοῦτο δυνάμεθα καλεῖν ἐπίρρημα, τὸ ἐπὶ τῷ ῥήματι λεγόμενον, ἀντὶ τοῦ μετὰ τὸ ῥῆμα, ὥς φαμεν ὅδε ἐπὶ τῷδε ἦλθεν ἀντὶ τοῦ μετὰ τόνδε· καὶ πάλιν ὁμοίως προηγούμενον τοῦ ῥήματος ἐπίρρημα τὸ αὐτὸ καλοῦμεν, οἷον ἐφ' ᾧ ῥῆμά τι τίθεται, ἀντὶ τοῦ μεθ' ὅ.*

Discr. script. 1. inscriptio περι τηc αυτοc maiusc. A | 5. ὑποτάξεωc b, προταξεωc A, RSkrzeczka dubitat utrum h. l. ὑποτάξεωc sit scribendum, ut 116, 7. 10 vera putetur codicis scriptura, an h. l. codicis lectio servanda, ut 116, 7 προτάξεωc pro ὑποταγῆc et 116, 10 ὑποτάccηται pro προτάccηται ponatur | 11. τάccεται ἄλλη] fol. 194 v. ultimum totius codicis | ⟨ἀντωνυμία⟩ KLehrs | 11—12. εcτιν in τουτεcτιν nunc fere evan. | 12. με⟨θ'ἥν⟩ RSchneider | πρα. b, sed de α littera non constat | ατι b, videtur ατιθετα esse in A | νδ . . . b, videtur νδευτερ scriptum esse in A | 13. τάccεcθαι αὐτὴν δευτέραν arcessivit RSchneider ex L, qui haec habet: ‘οἷον ει εφ η τaccεται αλλη Restant quattuor lineae quarum nihil legi potuit praeterquam in fine τaccεcθαι αυτην δευτεραν’, . . . ccεcθαι . . ην δ . . αν b, εθεcθαι αυτην δευτεραν enotavit JGuttentag, sed de eis litteris, quibus puncta subscripsit, ei non constabat.]

ΑΠΟΛΛΩΝΙΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ
ΠΕΡΙ ΕΠΙΡΡΗΜΑΤΩΝ

RECENSVIT

RICHARDVS SCHNEIDER

p. 529 b Πάσῃ λέξει παρέπονται δύο λόγοι, ὅ τε περὶ τῆς ἐννοίας καὶ ὁ περὶ τοῦ σχήματος τῆς φωνῆς. ὅθεν καὶ ἡ τῶν ἐπιρρημάτων διέξοδος εἰς τοὺς προκειμένους λόγους ὑποσταλήσεται. καὶ πρότερόν γε τὸν περὶ τῆς ἐννοίας λόγον ποιήσομαι.

Ἔστιν οὖν ἐπίρρημα μὲν λέξις ἄκλιτος, κατηγοροῦσα τῶν ἐν τοῖς ῥήμασιν ἐγκλίσεων καθόλου ἢ μερικῶς, ὧν ἄνευ οὐ κατακλείσει διάνοιαν.

Ὅτι μὲν οὖν ἑνὶ σχηματισμῷ κέχρηται, προὔπτόν ἐστιν, ἀποδείξεως παρεπομένης τοιαύτης. — Ἡ τῶν ὀνομάτων σύνταξις πρὸς τὰ ῥήματα παρίστησι διάθεσιν ἐγγιγνομένην τοῖς πτωτικοῖς, ἔσθ᾽ ὅτε καὶ τῶν πλαγίων πτώσεων συμπαραλαμβανομένων, ἐφ᾽ ἃς καὶ συντείνει ἡ διάβασις ἡ ἀπὸ τῆς ἐνεργείας. οἷον Τρύφων περιπατεῖ· ἡ διάθεσις ἡ ἐκ τοῦ περιπατεῖ ἐπὶ τὸν Τρύφωνα συντείνει. Τρύφων τύπτει Διονύσιον· ἡ ἐκ τοῦ Τρύφωνος διάβασις ἐνεργητικὴ διαβιβάζεται ἐπὶ τὸν Διονύσιον. καὶ ἐπὶ παθητικῆς διαθέσεως, ὑπὸ Τρύφωνος τύπτεται Διονύσιος

ARGUM. 1 Primum de vi ac notione, deinde de forma ac specie adverbii dicendum erit. — 5 Definitio, cuius partes singillatim percensentur. — 7 1) Adverbia indeclinabilia sunt. Neutra adiectivorum, ubi adverbiorum notionem induunt, ipsa quoque flexionem non patiuntur.

TESTIM. 5 Schol. Dion. Thr. B A p. 931, 33 *ἐπίρρημά ἐστι λέξις ακλιτος κατηγοροῦσα τῶν ἐν τοῖς ῥήμασιν ἐγκλίσεων καθόλου ἢ μερικῶς, ὧν ανευ οὐ κατακλείει διάνοιαν.* Prisc. XV, 1 p. 60, 1 Hertz *Adverbium est pars orationis indeclinabilis, cuius significatio verbis adicitur . . Sunt igitur quaedam adverbia, quae omnibus convenienter sociantur temporibus . . . sunt alia, quae cum separatim tempora significant, necessario separatim eis coniunguntur . . . sunt quae cum omnibus apte sociantur modis . . sunt quae non omnibus modis possunt coniungi.* ibid. p. 62, 16 *Et verbum quidem sine adverbio perfectam potest habere significationem; adverbium vero sine verbo vel participio, quod vim verbi possidet, non habet plenam sententiam.*

DISCR. SCRIPT. Subsequitur hic liber in codice librum, qui est de coniunctione; ab initio fol. 114 r. incipit. Inscriptio περι της εννοιας maiusc. A. In primis foliis haud pauca, quae JBekker nullo negotio, ut videtur, legit, nunc madore fere evanuerunt | 1. πάσῃ λέξει] πασῃ λε evan. in A | και ο evan. in A | 2. επιρρη evan. et λογους fere evan. in A | 3. υποστα evan. in A, ὑποδιασταλήσεται EEgger | 4. λόγον] λογο evan. in A | 5. κατηγοροῦσα] κατ evan. in A | 6. καθόλου] θολου evan. in A | κατακλείσει b, κατακλισει A, κατακλείει e schol. Dion. RSkrzeczka | 9. εγγιγνομενην A, ἐγγινονένην b | 12. ante συντεινει aliquid deletum in A | 13. διάβασις Ab, διάθεσις GFSchoemann

p. 529, 19 — 531, 24 b

Τὰ δὴ οὖν πτωτικὰ τὴν τοιαύτην cύνταξιν πρὸc τὰ ὀνόματα μὴ ἀναδεξάμενα, ἐπικείμενα δὲ τοῖc ῥήμαcιν, ἅπερ πρὸc ἕτερα πτωτικὰ τὴν τοιαύτην cύνταξιν ἐποιοῦντο, ἐκαλεῖτο οὐκέτι πτωτικά, ἀλλ' ἐπιρρήματα διὰ τὸ cύνταξιν ἐπιρρημάτων ἀναδέξαcθαι. οἷον ὁ μὲν λέγων οὕτωc ταχὺ περιπατεῖ κατηγορεῖ τάχα τινὸc πτωτικοῦ ταχέοc, ὡc εἰ μειράκιον περιπατεῖ, καὶ εἰ οὕτωc τιc εἴποι, τὸ ταχὺ περιπατεῖ μειράκιον· τὸ τηνικαῦτα γὰρ τὸ ταχὺ ἐπίκειται τῷ μειράκιον, καὶ ἔτι καλεῖται ὄνομα ἐπιθετικόν, καὶ διὰ τοῦτο cυγκλίνεται τῷ μειρακίῳ, τοῦ ταχέοc μειρακίου, τῷ ταχεῖ μειρακίῳ. ἡνίκα μέντοι οὐ κατηγορεῖ ὀνόματοc, τοῦ δὲ cυνταccομένου ῥήματοc, ὡc ἐν τῷ ταχὺ περιπατεῖ ⟨τὸ⟩ μειράκιον, ⟨καλεῖται ἐπίρρημα⟩, (ἴcον γάρ ἐcτι τῷ ταχέωc περιπατεῖ τὸ μειράκιον,) καὶ καθ' ἕνα cχηματιcμὸν ἐκφέρεται, ταχὺ περιπατοῦντοc τοῦ μειρακίου, ταχὺ περιπατοῦντι τῷ μειρακίῳ. — Διὰ τοῦ τοιούτου ὑποδείγματοc δεῖ τοὺc διακρίνονταc τὰc τοιαύταc cυνεμπτώcειc τῷδε τῷ λόγῳ κεχρῆcθαι. — ἀπόδειξιc οὖν ἱκανὴ τοῦ καθ' ἕνα cχηματιcμὸν ἐκφέρεcθαι τὰ ἐπιρρήματα, ὅπου γε καὶ τὰ πτωτικά, cύνταξιν ἐπιρρηματικὴν ἀναδεξάμενα, καθ' ἕνα cχηματιcμὸν ἐξηνέχθη.

Ὡc δὲ καὶ κατηγορεῖ τῶν ἐν τοῖc ῥήμαcιν ἐγκλίcεων, cαφὲc πάλιν καὶ διὰ τοῦ προκειμένου λόγου, ἐν οἷc πάντα τὰ πτωτικὰ ἐπιθετικά, κατηγοροῦντα οὐ τῶν ὀνομάτων, τῶν δὲ ῥημάτων, ἐπιρρήματα ἐγένετο, καὶ τὴν τούτων ἀκλιcίαν ἀνεδέχετο. καὶ ὃν τρόπον ἔcτι μὲν ὄνομα κύριον ἢ προcηγορικὸν ἐπινοῆcαι μὴ ἀπαιτοῦν ἐπιθετικὸν ὄνομα, ἐπιθετικὸν δὲ ὄνομα πάντωc ἀπαιτοῦν ᾧ ἐπίκειται, ἐξῃρημένων τῶν ἰδίᾳ τεταγμένων, λέγω τοῦ τερπικέραυνοc, ἐννοcίγαιοc, τὸν αὐτὸν ἀεὶ

Argvm. 19 Praedicare adverbia aliquid de verbo, apparet; nam quaecunque adiectiva aliquid praedicant non de nominibus, sed de verbis, adverbia facta sunt. Ut adiectivum indiget nomine, nomen adiectivo non indiget: ita verbum per se efficit sententiam, adverbium non efficit.

Testim. 3 Schol. Dion. Thr. BA p. 932, 6 *καὶ τοσοῦτον ἄκλιτά εἰσι τὰ ἐπιρρήματα, ὅτι καὶ τὰ πτωτικὰ ὀνόματα, ἡνίκα σύνταξιν ἐπιρρηματικὴν ἀναδέξηται, ἄπτωτα μένει ὡς ἐπιρρήματα γενόμενα.* — 19 ibid. p. 932, 13 *κατηγοροῦσα ἀντὶ τοῦ τιθεμένη, ἵν' ᾖ το ἑξῆς οὕτως, τιθεμένη κατὰ τῶν ἐν τοῖς ῥήμασιν ἐγκλίσεων, ἐπειδὴ καὶ τὸ ἐπίρρημα κατηγόρημά φασιν οἱ φιλόσοφοι. καὶ ὅπερ ἐστι τὸ ἐπίθετον ὄνομα ἐν τοῖς ὀνόμασι (δίχα γὰρ ἄλλου ὀνόματος οὐ λέγεται), τοῦτο καὶ τὸ ἐπίρρημα ἐν τοῖς ῥήμασιν· ἄνευ γὰρ ῥήματος οὐ συγκλείει διάνοιαν.*

Discr. script. 7. τὸ ταχύ b, τω ταχυ A | τῷ b, το A | 11. τὸ et καλεῖται ἐπίρρημα inseruit RSkrzeczka | 15. τῷ λόγῳ] fol. 114 v. | οὖν Ab in textu, 'fortasse leg. γοῦν' b in var. lect. | 16. καθενα evan. in A | 16—17. γε και evan. in A | 19. γο in κατηγορει evan. in A | 20. post πάντα evan. τα in A | 22. την ante τουτων evan. in A | 25. ἀεὶ] 'Malim δή' b in var. lect.

τρόπον ἔςτιν ἐπινοῆςαι ῥῆμα μὲν δίχα ἐπιρρήματος ςυγκλεῖον λόγον, ἐπίρρημα δὲ οὐ μὴν δίχα ῥήματος ἢ μετοχῆς, ἥ τις δυνάμει ἰδίωμα ἔχει τὸ τοῦ ῥήματος. καὶ οὐ τοῦτό φημι, ὅτι αἱ μετοχαὶ ἀπαρτίζουςι διάνοιαν, ἀλλ᾽ ὅτι τὰ ἐπιρρήματα καὶ ἐπὶ μετοχὰς φέρεται. Ἐντελέςτερον μέντοι δεδείξεται ἐν τῷ περὶ ςυντάξεως, ὡς τὰ μὲν θεματικώτερα ⟨μέρη⟩ τοῦ λόγου ὀνόματά ἐςτι καὶ ῥήματα, τὰ δ᾽ ὑπόλοιπα τῶν μερῶν τοῦ λόγου ὡς πρὸς τὴν τούτων εὐχρηςτίαν ἀνάγεται, τὰ μὲν ἄρθρα πρὸς τὰ πτωτικὰ ἢ ὡς πτωτικά, τὰ δὲ ἐπιρρήματα ὡς πρὸς τὰ ῥήματα, αἵ 531 τε προθέςεις πρὸς ἀμφότερα· διὸ καὶ μόναι ἀναςτροφῆς τόνου ἔτυχον, καὶ τῇδε δύνανται ςυντάςςεςθαι, λέγω ὀνόμαςι, καὶ τῇδε, λέγω ῥήμαςιν. εἰρήςεται δὲ καὶ πότε ἀντωνυμίαι ἀντ᾽ ὀνομάτων παραλαμβάνονται, τίνες τε ἐν τῷ καθόλου ςύνδεςμοι ςυνδέουςιν ὄνομα καὶ ῥῆμα, καὶ τίνες εἰςὶ μερικοί.

Οὐ μόνον δὲ ῥητοῖς οὖςι τοῖς ῥήμαςι κατὰ τὴν ςύνταξιν τοῦ λόγου τὸ ἐπίρρημα προςφέρεται, ἀλλὰ καὶ ςιγωμένοις, εἴγε καὶ αἱ ἐπιφωνήςεις οὐδὲν ἄλλο εἰςὶν ἢ ἐπιρρήματα τῶν ῥημάτων ⟨οὐκ⟩ ἐπιγινομένων, καθὸ τοῖς εὖ ἀναγινώςκουςι τὸ κάλλιςτα ἐπιφωνοῦμεν καὶ τοῖς εὖ διατιθεῖςιν ἡμᾶς τὸ ἥδιςτα, καὶ τοῖς ἀκριβοῦςι τὰς ἰδίας πράξεις καὶ τέχνας τὸ καλῶς ἐπιφωνοῦμεν. Ἀλλ᾽ ἐκεῖνό τις εἴποι ἄν, ὡς «κατὰ τὸν τοιοῦτον λόγον περιγεγράψεται τοῦ κα⟨τὰ τὰ ἐπιρ⟩ρήματα μεριςμοῦ τὸ οἴμοι καὶ τὰ τοιαῦτα τῶν ἐπιρρημάτων, λέγω τὰ ςχετλιαςτικὰ καὶ εὐαςτικά.» Πρὸς ὃν ἔςτι φάναι, ὡς τάχα μὲν καταχρηςτικώτερον τὰ τοιαῦτα ἐπιρρήματα εἰρήςεται, ᾧ λόγῳ καὶ αἱ μονογράμματοι ςυλλαβαί, οὐκ οὖςαι ςυλλήψεις ςτοιχείων. μή ποτε δὲ καὶ αὐτὰ δυνάμει ἀπὸ διαθέςεως ῥηματικῆς ἀνάγονται· οἱ γὰρ ςχετλιάζοντες πεπόνθαςι, τὸ δὲ παθεῖν πεῖςίν τινα τῶν ἐκ πράγματος δηλοῖ.

Παρὸν δὲ καὶ ἐξ ὑποδείγματος πιςτώςαςθαι τὸν λόγον πάλιν. τὸ

Argum. 14 Non solum ubi ponuntur verba, sed etiam ubi cogitando supplentur, adverbiis utimur; quem in numerum etiam interiectiones referendae sunt. — 27 Sed adverbia carere non posse verbis apparet; nam verbum cum nomine coniunctum adverbium non desiderat; contra adverbium cum nomine constructum indiget verbo.

Testim. 27 Schol. Dion. Thr. B A p. 932, 20 *εἴ που μὲν ἔστι ῥῆμα, οὐ πάντως ἐπίρρημα, οἷον Τρύφων περιπατεῖ· εἴ που δὲ ἐπίρρημα, πάντως ῥῆμα, οἷον καλῶς Τρύφων γράφει.* cf. ibid. 933, 20.

Discr. script. 2. δε ου μην A, δὲ οὐ μὴ b, γε μὴν οὐ GFSchoemann | 4. επιρρημ$^{\tau}$ A | 5. μέρη adiecit b, evan. in A | 8. ως προς A, πρὸς b | 10. τῇδέ ⟨τε⟩ b in var. lect. | 11. ante ποτε aliquid deletum in A, in L est περι ποτε, sed huic nihil tribuendum | ἀντωνυμίαι b, και αντωνυμιαι A | 15. ςιγωμένοις b, γινομενοις A | 16. οὐκ inseruit RSchneider, pro ἐπιγινομένων conicit ςεςιγημένων KEASchmidt | 18. ἡμᾶς EEgger RSkrzeczka, ἡμῖν Ab | 20. . . . . . ρηματα] fol. 115 r.; lacunam explevit b | 21. litterae των επ in τῶν ἐπιρρημάτων evan. nunc in A | 22. litterae προ in προς nunc legi fere non possunt in A | 23. εἰρήςεται] 'Fortasse leg. εἴρηται' b in var. lect. | 26. πεῖςιν RSkrzeczka, πίςτιν Ab, pro πίςτιν τινὰ τῶν conicit διάθεςίν τινα τὴν KEASchmidt

Τρύφων ἀναγινώcκει ποιεῖ λόγον, οὐ μὴν τὸ Τρύφων καλῶς, εἰ μὴ προcθείημεν τὸ ῥῆμα. ᾧ λόγῳ καὶ ἐπὶ τοῦ ἄρθρου τὸ κατὰ ἀρcενικὴν προφορὰν «ὁ» πάλιν οὐ ποιεῖ λόγον ἐν τῷ ὁ ἀναγινώcκει, εἰ μὴ προcλάβοι ὄνομα ἐφ' ὃ φέρεται, τὸ ὁ Τρύφων ἀναγινώcκει. διὸ καὶ ἐν τοῖc ὑποτακτικοῖc ἄρθροιc κοινὸν λαμβάνεται τὸ προκείμενον ὄνομα, κατὰ ἀναφορὰν παριcτάμενον, ἐπεὶ παρεπόμενόν ἐcτι τοῖc ὑποτακτικοῖc τῶν ἄρθρων μετὰ ῥήματοc ἀποτελεῖν διάνοιαν, ἄνθρωποc παρεγένετο ᾧ ἐλάληcα, κοινοῦ παραλαμβανομένου τοῦ ἄνθρωποc. εἰ γὰρ μὴ προτεθείη ὄνομα τοῦ τοιούτου ἄρθρου, οὐδ' ἂν ἔτι τὸ ἄρθρον ὡc ἄρθρον ἀκούοιτο, ὡc δὲ ἀόριcτον μόριον, εἰ τῇδε ἀποφαινόμεθα, ὃc μεθύει, βλάπτεται· ἴcον γάρ ἐcτι τῷ εἴ τιc μεθύει, βλάπτεται. τὸν τοιοῦτον λόγον ἀκριβέcτερον ἐν τῷ περὶ cυντάξεωc ἐκτεθείμεθα.

Καὶ τὸ καταφατικὸν δέ ⟨καὶ τὸ ἀποφατικόν⟩, ἰδίᾳ λεγόμενον, πάλιν πρὸc ἀπαρτιcμὸν τοῦ ῥήματοc τοῦ λεγομένου παραλαμβάνεται· πρὸc γὰρ τὴν «ἔγραψαc;» φωνὴν φαμὲν «ναί» ἢ «οὔ».

Ἔτι φαμὲν οὕτωc, καλῶc ὁ ἄνθρωποc γράφει, καὶ ἔcτι κατάλληλοc ὁ λόγοc· ἕκαcτον γὰρ τῶν μορίων cυμφέρεται τῷ ἰδίῳ cυντάγματι. ἀλλ' ὁπηνίκα τὸ ἄρθρον ἐμπεριλαμβάνει τὸ ἐπίρρημα, οὐκέτι τὸ κατάλληλον cῴζεται, ὁ καλῶc ἄνθρωποc γράφει, διὰ τὸ τῆc οἰκειότητοc ἀπεcπάcθαι τὸ μόριον· μεταξὺ γὰρ γινόμενον τὸ ἐπίρρημα δύο πτωτικῶν, λέγω τοῦ ἄρθρου καὶ τοῦ ὀνόματοc, οὐκ ἔχει τὴν καταλληλότητα τὴν ἐπὶ τὸ ῥῆμα, ὡcανεὶ ὑπὸ τοῦ γένουc cυνεχόμενον. καὶ ἔνθεν οὔτε ἐπὶ τὸ ὄνομα δύναται ἐνεχθῆναι, ὅτι ἀλλοτρία ἡ cύνταξιc, οὔτε ἐπὶ τὸ ῥῆμα, καθὼc προειρήκαμεν, cυνεχόμενον ὑπὸ τοῦ γένουc. μεταξὺ οὖν τούτων οὐκ ἄλλο τι πέπτωκε⟨ν ἢ μόνη ἡ μετοχή⟩, δυναμένη καὶ τὸ γένοc μηνῦcαι καὶ τὸ π⟨ρᾶγμα⟩, ὅπερ ἐπιζητεῖ τὸ ἐπίρρημα. καὶ ἐπί γε πάλιν τῆc τοιαύτηc cυντάξεωc οὐ γίνεται τὸ κατάλληλον ἄλλου του ἐπιφερομένου ἢ μόνηc μετοχῆc, μεθ' ἧc πάλιν καὶ ῥῆμα cυγγενήcεται ὑπὲρ τοῦ cυγκλειcθῆναι τὸν λόγον. ἐφ' ὃ οὐκέτι τὸ προειρημένον ἐπίρρημα ἐπιφέρεται. διὸ καὶ προείπομεν, ὡc καὶ ἐπὶ μετοχὰc φέρεται τὰ ἐπιρρήματα. τὸ δὲ ὑπόδειγμα τοῦ λόγου τοιοῦτόν ἐcτιν, ὁ καλῶc ἄνθρωποc γράψαc ἐτιμήθη. — πάλιν ἡ τοιαύτη cύνταξιc διὰ πολλῶν παραθέcεων ἐν τῷ περὶ cυντάξεωc ἀποδίδοται. — Καὶ τοcαῦτα μὲν περὶ τοῦ ὅτι κατηγορεῖ τῶν ῥημάτων τὸ ἐπίρρημα.

Argum. 16 Adverbium nunquam inter articulum et nomen ponitur, itaque nec articuli nec nominis esse potest, sed aut ad verbum pertinet, aut ad participium, quod ipsum quoque actionem indicat.

Discr. script. 10. 'Legendum videtur ἀποφαινοίμεθα' b in var. lect. | 13. καὶ τὸ ἀποφατικόν inseruit RSchneider | ιδιαι A | 18. ενπεριλαμβανει A | 21. μεταξὺ] fol. 115 v. | 25. lacunam explevit b | 26. lacunam explevit RSkrzeczka | 27. τηc τοι fere evan. in A | 31. τὰ ἐπιρρήματα b, και επιρρηματα A

533 Φαμὲν δὲ ἢ καθολικῶς συνεῖναι τοῖς ῥήμασι τὰ ἐπιρρήματα ἢ μερικῶς, ἐπεί τινα μὲν σύνοιστά ἐστι, σημασίας οὐκ ἀντικειμένης, ἁπάσαις ταῖς ἐγκλίσεσιν, ἅπασι ⟨τοῖς χρόνοις, ἅπασι⟩ τοῖς προσώποις, ὡς ἕνεκα ὑποδείγματος τὸ καλῶς ἐστι παραλαμβάνειν, τὸ οὕτως, ἄλλα πάμπολλα, τῆς φράσεως, ὡς ἔφαμεν, οὐκ ἀντιπιπτούσης, καθότι πάλιν καὶ ἐπὶ τῶν ὀνομάτων οἷόν τέ ἐστι παραδέξασθαί τινα τῶν ἐπιθετικῶν δυνάμενα συντείνειν ἐπὶ πάντα τὰ ὀνόματα, τινὰ δὲ πάλιν μερικωτέραν ἔχει τὴν σύνταξιν (τό τε γὰρ μέλας ἢ λευκός ἐπὶ πᾶν σῶμα δύναται συντείνειν, οὐ μὴν τὸ λόγιος ἢ συνετός, ὅτι μὴ ἐπὶ τῶν δυναμένων ἀναδέξασθαι σύνεσιν ἢ λόγον, ἅπερ ἂν εἴη λογικὰ ζῶα)· τὸν αὐτὸν δὴ τρόπον καί τινα τῶν ἐπιρρημάτων εἴργεται τῆς συντάξεως ἕνεκα τοῦ σημαινομένου. τὸ ἄγε παρακελευστικὸν οὐ τετάξεται σὺν ὁριστικῇ προφορᾷ, ἀλλ' οὐδὲ εὐκτικῇ ἢ ἄλλῃ τινὶ ἢ μόνῃ τῇ προστακτικῇ, οὕτως ὥστε καὶ τὰ ἀμφίβολα τῶν ῥημάτων τῇ ἰδιότητι τῆς συντάξεως ἀπολύεσθαι τῆς ἀμφιβολίας διὰ τῆς ἰδίας αὐτοῦ παραθέσεως. τὸ λέγετε ὁριστικόν, ἀλλ' οὐ τὸ ἄγε λέγετε, ἄγε τύπτεσθε. — τὰ χρονικὰ ἐπιρρήματα συμφωνοῦσαν τοῖς τοῦ ῥήματος χρόνοις ποιεῖται σύνταξιν. οἷον τὸ ἐχθές παρῳχημένῳ συντετάξεται, ἐχθὲς ἔγραφον, ἐχθὲς ἔγραψα. τὸ γὰρ αὔριον ἀντικείμενον τῷ παρῳχημένῳ, οὐ συντετάξεται ἢ πάλιν τοῖς ὁμολογοῦσι τὸ ⟨μὴ⟩ παρῳχῆσθαι, αὔριον γράφω, αὔριον γράψω, αὔριον ἀναγινώσκω. τὰ μέντοι οὐ διορίζοντα τὸν χρόνον, κοινὴν δὲ παράτασιν δηλοῦντα τοῦ παντὸς χρόνου, συμπαραλαμβάνεται κατὰ πάντα χρόνον, ὡς ἔχει τὸ νῦν ἐφρόνησα, νῦν φρονῶ, νῦν φρονήσω· ἤδη ἔγραψα, ἤδη γράφω, ἤδη γράψω. ὁ αὐτὸς λόγος συντεινέτω ἐπὶ πάντων τῶν τοιούτων.

Ἔστιν οὖν πάντα τὰ συγκεχυμένα κατὰ χρόνον ἔν τε μετοχαῖς ἔν
534 τε ῥήμασι διὰ τῆς τούτων παραθέσεως ἀπαλλάξαι τῆς ἀμφιβολίας. τὸ

Argum. 1 Ut non licet quaedam attributa omni nomini apponere, ita quaedam adverbia cum omnibus modis, temporibus, personis coniunguntur, quaedam non cum omnibus. — 26 Quaecunque igitur tempora sive participiorum sive verborum non sunt definita, appositis adverbiis definiuntur.

Testim. 1 Prisc. XV, 1 p. 60, 6 Hertz; vid. quae ad 119, 5 adscripta sunt. — 16 Schol. Dion. Thr. BA p. 937, 3 *τὰ γενικὴν παράστασιν δηλοῦντα ἐπιρρήματα συμπαραλαμβάνεται κατὰ πάντα χρόνον, ὡς τὸ νῦν . . καὶ τὸ ἤδη ὁμοίως . . καὶ ἔστι σαφῶς εἰπεῖν ὅτι τὰ χρονικὰ ἐπιρρήματα ἢ καθολικὸν χρόνον δηλοῖ ἢ μερικόν, καὶ ἢ ὡρισμένα ἐστὶν ὡς χθές, σήμερον, ἢ ἀόριστα ὡς πάλαι, ποτέ . καὶ τούτων τὸ μὲν αὔριον καταχρηστικῶς ἐνεστῶτι συντάσσεται, τὸ δὲ νῦν, ἤδη τοῖς τρισὶ χρόνοις.*

Discr. script. 3. τοῖς χρόνοις, ἅπασι inseruit GDronke | 4. υποδειγματ abbr. A | 5. καὶ b, η A | 7. τα supra lin. alio ut videtur atramento | 12. παρακελευστικ' A | 15. ⟨καὶ⟩ ὁριστικόν vel ⟨προστακτικὸν ἢ⟩ ὁριστικόν coniecit RSchneider | 16. post τύπτεσθε inserit GDronke, quae nunc 124, 8—14 leguntur | in margine A[u] περι χρονικων επιρρηματων | 20. μὴ add. b | αὔριον] fol. 116 r. | 23 φρονεσω A | 26. 'Fort. ἔστι γοῦν' b in var. lect.

λέγων μετάληψίς ἐστιν ἐνεστῶτος καὶ παρατατικοῦ, τὸ λέγειν ἀπαρέμφατον. ἀλλ' ἡνίκα μέν φαμεν ἐχθὲς λέγων Δίων ἥμαρτεν ἢ ἐχθὲς Δίων λέγων ἐτιμήθη, τὸ τηνικαῦτα τὸ λέγων μόνον παρατατικοῦ ἐστιν. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ λέγειν· τὸ γὰρ μέλλω λέγειν αὔριον παράτασιν οὐ δηλώσει, τὸν δὲ ἐνεστῶτα χρόνον, ὃς συντάσσεται τῷ αὔριον, αὔριον λέγει Τρύφων. πάλιν ἡ τοιαύτη ἔννοια ἐπὶ τὰ ὅμοια διηκέτω.

Ἡ οὔ ἀπόφασις, μαχομένη τῇ ναί καταφάσει, τὰ ἐν καταφάσει ῥήματα ἀναιρεῖ, ἅπερ ἐστὶν ὁριστικά, ἔχοντα ἐν αὑτοῖς τὴν κατάφασιν, ἀνθ' ἧς καὶ πολλάκις παραλαμβάνεται, οὐ γράφω, οὐ ποιῶ· ἡ δὲ μή ἀπαγορεύουσα τὸ ἐν προστάξει πάλιν καταφατικὸν ἀναιρεῖ, γράφε μὴ γράφε, λέγε μὴ λέγε. ἔστι δὲ ὅπου καὶ τὸ μή, παραλαμβανόμενον οὐ μόνον κατὰ ἀπαγόρευσιν, ἀλλὰ καὶ κατὰ διαπόρησιν, τοῖς κατ' ἐρώτησιν προοιστοῖς συντάσσεται, μὴ ἔγραψας; μὴ ἐλάλησας;

Καὶ ἐν παρῳχημένων δὲ διαφοραῖς πάλιν τὰ ἐπὶ παρῳχημένου χρόνου ἐπιρρήματα παραλαμβανόμενα οὐχ οἷόντε διήκειν ἐπὶ ἐνεστῶτος, ὡς ἐπὶ τοῦ πάλαι ἔστιν ἐπινοῆσαι ἢ πρώην. οἷόν τε μὲν γὰρ ἐπὶ τοῦ ὑπερσυντελικοῦ τοῦτο φάναι, πάλαι ἐγεγράφειν, πάλαι ἠριστήκειν, οὐ μὴν ἔτι ἐπὶ τοῦ παρακειμένου, ἐπεὶ τὸ ἅμα νοήματι ἠνυσμένον δι' αὐτοῦ νοεῖται, τὸ δὲ πάλαι ἠνυσμένης πράξεώς ἐστι παραστατικόν. ὁ γοῦν καλούμενος ἀόριστος, προσλαβὼν τὸ πάλαι, ὑπερσυντελικὸς μᾶλλον ἀκούεται. ἐμπεριέχει γὰρ τὸ παρῳχημένον τοῦ παρακειμένου καὶ τοῦ ὑπερσυντελικοῦ, ὥς γε καὶ ἐπὶ ὀνόματος ἔστιν ἐπινοῆσαι κοινότητα ἀρσενικοῦ καὶ θηλυκοῦ. ἔνθεν καὶ τῆς ὀνομασίας ἔτυχε, κατὰ ἀπόφασιν εἰρημένος τοῦ μὴ ὁρίζειν τὸν παρῳχημένον. [διὸ καὶ κατὰ ἀπόφασιν τῶν προειρημένων δύο χρόνων ἐθεματίσθη. ᾧ λόγῳ καὶ τὸ σώφρων τὸ ὁ προσλαβὸν νοεῖται μόνως ἀρσενικόν.] — Εἰς τὴν αὐτὴν

Argum. 8 Ita οὔ indicativi, μή imperativi est; — 15 et aoristus, qui indefinitam praeteriti notionem habet, adiecto πάλαι adverbio ita definitur, ut plusquamperfecti vim induat.

Testim. 8 Schol. Dion. Thr. BA p. 889, 27 *ὁ δὲ ἀόριστος οὐδὲν ὡρισμένου χρόνου ἐμφαίνει, ὡς οἱ ὑποκείμενοι, ἀλλὰ σὺν μὲν τῷ ἄρτι ταὐτὸν δύναται τῷ παρακειμένῳ .. τῷ δὲ πάλαι ἴσον δύναται τῷ ὑπερσυντελικῷ.* cf. Choer. 1281, 18.

Discr. script. 1. παρατατικοῦ ⟨καὶ⟩ τὸ vel παρατατικοῦ τό ⟨τε⟩ GUhlig | 4. τὸ γὰρ μέλλω b, ο γαρ μελλων A | 6. τοιαυτη A, αὐτὴ b | 8. Ἡ οὔ — 14 ἐλάλησας; GDronke transponi iubet post τύπτεσθε 123, 16 | 10. ⟨γράφω⟩ οὐ γράφω, ⟨ποιῶ⟩ οὐ ποιῶ GFSchoemann | 11. απαγορευουσα A, ἀπαγόρευσις b | 13. διαπορρησιν A | 14. προοιστοῖς ⟨ὁριστικοῖς⟩ GDronke | ελαλης̄ abbr. A | 16. οιοντ̄ abbr. A | 19. ἐπεὶ b, ἐπι A | νόημα τι A | 20. ν post εστι erasum in A, ut saepissime | παραστατικ' abbr. A | 21. Ο ante γουν maiusc. ante lin. scripta in A | 25. ante οριζειν addidit δι supra lin. A* | διὸ — 27 ἀρσενικόν delevit RSkrzeczka; pro κατὰ ἀπόφασιν GFSchoemann conicit εἰς ἔμφασιν vel εἰς ἀπόφανσιν | 27. προσλαβων A | αρσενικ' abbr. A

535 ἔννοιαν τοῦ προκειμένου λόγου πλεῖςτα ἔςτι παραθέςθαι, ἀπόχρη μέντοι εἰς ἀφορμὴν τὰ προκατειλεγμένα τοῦ διακρῖναι καὶ τὰ ὑπόλοιπα.

Ἔτι δὲ κἀκεῖνο δεῖ προςθεῖναι, ὡς οὐδὲ κατὰ πᾶν πρόςωπον cύνεςτι τὰ ἐπιρρήματα, ὡς ἔχει τὸ ὤμοι, περὶ οὗ καὶ ἐν τοῖς ἑξῆς εἰρήςεται, εἰ, ὡς ἔνιοι ὑπετόπηςαν, ἔχει ςυγκειμένην τὴν μοί ἀντωνυμίαν.

Μηδὲ ἐκεῖνό γε παραλελείφθω, τί δή ποτε, εἰ καὶ ἐν ὑποτάξει ἐςτὶ τὰ ἐπιρρήματα τοῦ ῥήματος καὶ ἐν προτάξει, ἀπὸ τοῦ προτετάχθαι τὴν ὀνομαςίαν ἔλαβε; Πρὸς ὃ ἔςτιν ὑπαντῆςαι ὅτι ὅμοιόν ἐςτι τῷ καὶ τὴν αὐτός ἀντωνυμίαν ἐπιταγματικὴν καλεῖν. ἐπιτάςςεται μέν,

αὐτὸς ἑκὼν οἱ δῶκα (δ 649)

καὶ

αὐτῷ τοι μετόπιςθ' ἄχος ἔςςεται (Ι 249)·

ὑποτάςςεται δὲ οὕτως,

ςοὶ δ' αὐτῷ μελέτω (Ο 231)·

καὶ ὁμοίως ἀπὸ τῆς κατὰ τὴν ἀρχὴν ςυντάξεως ἐπιταγματικὴ ὠνόμαςται. οὐδὲν οὖν κωλύει καὶ τὸ ἐπίρρημα τῇδε ἐςχηματίςθαι. — Προςθείημεν δ' ἂν κἀκεῖνο, ὡς ψευδὴς ὑπόληψίς ἐςτι τοῦ καὶ τὸ ἐπίρρημα ὑποτάςςεςθαι. τὸ γὰρ δέον ἐςτὶν ἡ πρόταξις, καὶ τὸ ὑποτεταγμένον δυνάμει ἐςτὶν ὑπερβατόν· ἀλλὰ τὸ ςύνηθες τοῦ λόγου ὡς ἐν ἴςῳ τὴν ςύνταξιν ἐποιήςατο. καὶ τὸ τοιοῦτον ἓν τῷ περὶ ςυντάξεως ἀκριβέςτερον εἰρήςεται, εἰς μέντοι κατάςταςιν βραχεῖάν τινα ἀπόδειξιν ληπτέον. εἴπομεν αὐτὰ δυνάμει ἐπιθετικὰ εἶναι τῶν ῥημάτων. ᾧ λόγῳ οὖν καὶ τὰ ἐπιθετικὰ τῶν ὀνομάτων προηγεῖςθαι θέλει τῶν οἷς ἐπίκειται, τὸν αὐτὸν

Argvm. 3 Ne omnibus quidem personis omnia adverbia apponuntur. — 6 Recte adverbium a praeponendo nomen accepit; — 16 lex enim est ut praeponatur; 23 eodem modo adiectiva rectius praeponuntur,

Testim. 8 Schol. Dion. Thr. B A p. 933, 9 *πάλιν δὲ ἐξήτησαν, εἰ πρὸ ῥήματος καὶ μετὰ ῥήματος* (*ῥῆμα* scr. RSchneider) *τάσσεται, οἷον 'καλῶς γράφω, γράφω καλῶς', πῶς ἀπὸ θατέρας τῶν προτάσεων* (rest. *συντάξεων* pro *προτάσεων* e. cod. Barocc. 116) *ἐπίρρημα μόνον καλεῖται, οὐκέτι δὲ καὶ ὑπόρρημα . καὶ λέγομεν πρῶτον μὲν* ⟨*ὅτι* ins. RSchneider⟩ *καὶ ἡ αὐτός ἐπιταγματικὴ καλεῖται, καίτοι πολλάκις ὑποτασσομένη ἄλλως τε τῇ φύσει προηγεῖσθαι πέφυκε τῶν ῥημάτων τὰ ἐπιρρήματα ὡς καὶ τῶν ὀνομάτων τὰ ἐπίθετα.* ibid. 934, 9 *Διὰ τί δέ, τοῦ ῥήματος καὶ προτασσόμενον καὶ ὑποτασσόμενον, μόνον ἐπίρρημα ἐκλήθη; Καί φαμεν ὅτι ἀπὸ τῆς μιᾶς συντάξεως τῆς κυριωτέρας . εἰ γὰρ καὶ ὑποτάττεται τοῖς ῥήμασιν, ἀλλ' ὅμως ἡ γνησία αὐτῶν σύνταξις προτέρα, ὥσπερ καὶ τὰ ἐπίθετα πρότερά ἐστι τῶν ὀνομάτων, καθ' ὧν ἐπίκειται.* cf. ibid. 934, 20.

Discr. script. 3. δεῖ evan. in A | 5. εἰ b, η A | 6. ποτε . . καὶ b, sed in A, nullo lacunae signo, aliquid supra lin. scriptum ab A*, quod videtur esse ει; 'εἰ καὶ rec. m. Quod recipiendum' b in var. lect. 'Videtur additum fuisse ει' mg. L | 7. ⟨οὐκ⟩ ἀπὸ KLehrs | 9. προτάςςεται pro ἐπιτάςςεται KLehrs | 10. εκων alio atramento in ras. A*, ἑκὼν b in textu, 'Leg. ἐγών' b in var. lect. | 12. μετοπιςθεν A | εςεται A | 13. υποταςεται A | c in ουτωc erasum | 15. ⟨οὐκ⟩ ἀπὸ KLehrs | 16. Ο in ουδεν maiusc. ante lineam script. in A

δὴ τρόπον καὶ τὰ ἐπιρρήματα προηγεῖcθαι θέλει τῶν ῥημάτων. — Ἀλλ' ἴcωc τιc φήcειε διάλληλον τὸ τοιοῦτον. «τί γάρ ἐcτι μᾶλλον ξανθὸc Ἀτρείδηc ἢ Ἀτρείδηc ξανθόc»; Πρὸc ὃν ἔcτι φάναι, ὅτι καὶ τὸ τοιοῦτον ὑπερβατόν. καὶ cαφὲc μὲν ἐκ τῆc πολλῆc χρήcεωc, νεφεληγερέτα Ζεύc, γλαυκῶπιc Ἀθήνη, ποδάρκηc δῖοc Ἀχιλλεύc· (536) ἀλλὰ καὶ δι' ἀποδείξεωc ἔcτι τὸ τοιοῦτον παραcτῆcαι. ἰδοὺ γὰρ τὸ ἄρθρον, ὅτε μὲν μόνον ἐcτὶ τὸ ὄνομα ἢ τὸ προcηγορικὸν ἢ τὸ κύριον, ἀκωλύτωc πρόcειcιν, ὁ ἄνθρωποc διαλέγεται, ὁ ἵπποc τρέχει· ὁπηνίκα μέντοι τὸ ἐπιθετικὸν cύνεcτιν, οὐκέτι πρόcειcιν. οὐ γὰρ φήcομεν ὁ ἄνθρωποc ⟨cεμνὸc διαλέγεται, ὁ ἵπποc⟩ λευκὸc τρέχει. εἰ δὲ ἀποκαταcταίη εἰc τὸν δέοντα τόπον ἡ τοῦ ἐπιθετικοῦ cύνταξιc, τὸ τηνικαῦτα ὁ λόγοc καθίcταται, ὁ cεμνὸc ἄνθρωποc διαλέγεται, ὁ λευκὸc ἵπποc τρέχει. — Ἔcτι δὲ καὶ ἐπὶ τῶν ἐπιρρημάτων, εἰ καὶ μὴ δι' ἄρθρου ἤ τινοc τοιούτου ἔcτιν ἀποδεῖξαι, ἀλλὰ οὖν γε ἐκ τῆc κατὰ πεῦcιν ἐπιρρηματικῆc cυντάξεωc. δεόμενοι γὰρ τῶν πράξεών φαμεν οὕτωc, πῶc ἔγραψαc; οὐκ ἀνάπαλιν ἔγραψαc πῶc; καὶ ἔτι ἐπὶ τοῦ ποῦ ἀπῆλθεc; ⟨οὐ μὴν⟩ ἀπῆλθεc ποῦ; — Εἰ δέ τιc εἴποι· «ἀλλ' ἰδοὺ κατὰ τὴν ἀόριcτον προφορὰν ὑποτάccεται τὰ ἐπιρρήματα, ἔγραψέ πωc, ἀπῆλθέ που», ἴcτω ὅτι διὰ φυcικώτερον λόγον τὸ τοιοῦτον ὑπερεβιβάcθη. τὰ γὰρ ἀοριcτούμενα ἐγκλιτικά ἐcτι, τὰ δὲ ἐγκλιτικά, ἵνα ἐγκλινόμενα γένηται, ὑποτακτικά ἐcτιν. ἐπεκράτηcεν ἄρα ἡ φωνή, ἐγκλιτικὴ γενομένη, τῆc ἐπιρρηματικῆc cυντάξεωc.

Καὶ τοcαῦτα μὲν περὶ τῆc ἐννοίαc τοῦ ἐπιρρήματοc. Ἐπεὶ δὲ καί τινα ἐν ἀμφιβόλῳ καθέcτηκε τοῦ εἰc τὰ ἐπιρρήματα παραλαμβάνεcθαι ἢ μή, ἀκολούθωc καὶ περὶ τούτων cκεπτέον.

Οὔ φαcι τὸ οἴμοι ἢ ὤμοι ἓν εἶναι, ἐκ δὲ ἀντωνυμικοῦ τοῦ ⟨ἐ⟩μοί καὶ τοῦ οἴ ἢ ὤ cυντάccεcθαι, πειρώμενοι πρῶτον μὲν ἐκ τῆc φωνῆc, ὡc ἔcτιν εἰc μοι περατούμενον, καὶ καθότι διακρίνει πρόcωπον τὸ

Argum. 4 id quod et ex usu et ex collocatione articuli intellegitur. — 13 Ita interrogativa adverbia semper praeponuntur; — 18 ut enclitica postponantur, natura fert encliticarum vocum. — 24 De iis vocabulis, quae sintne adverbia necne dubitatur. — 27 Οἴμοι ὤμοι ex ἐμοί pronomine et οἴ ὤ conflatum esse dicunt, et propter finem, et quod cum una prima persona coniungitur.

Discr. script. 2. εcτιν A | 9. επιθετικ̄ abbr. A | πρόcειcιν b, προcεcτιν A | 10. ανθρωποc in fine versus in A; lacunam, cuius nullum in A vestigium, explevit b | 14. αρθρο̄ A | 15. ᾽αλλα ουν A, ἀλλ' οὖν b | πεῦcιν A[1] b, πευcειc corr. A* | 17. . . . ἀπῆλθεc A, lacunam explevit b; pro οὐ μὴν L habet οὐχι, nescio an ex coniectura | ποῦ] fol. 117 r. | 18. προφοραν madore fere evan. in A | 27. περι του οιμοὶ η ωμοι inscriptio maiusc. A | τοῦ ἐμοί vel τοῦ ἐμοί ἢ μοι GFSchoemann, τὸῦ μοί Ab

πρῶτον, ὅπερ ἴδιον ἀντωνυμιῶν, «εἴγε», φαcί, «τὸ μὲν ἐπίρρημα,
537 μένον καθ' ἕνα cχηματιcμόν, κατὰ παντὸc προcώπου δίειcι, τὸ δὲ ἐν διακρίcει προcώπου πρώτου ἢ ἐν ῥήμαcίν ἐcτιν ἢ ἐν ἀντωνυμίαιc· καὶ εἰ μὴ ῥῆμα τὸ ὤμοι, cαφὲc ὅτι ἀντωνυμία». πρὸc οἷc, ὅτι καί, ὡc ἔφαμεν, τὸ πλῆρεc τῆc φωνῆc ἀκούουcιν ὦ ἐμοί, ὡc ἔχει καὶ παρὰ Παρθενίῳ

ὦ ἐμὲ τὴν τὰ περιccά·

καὶ ἐπίμεμπτον ἡγοῦνται τὸ ὤμοι ἐγώ (ε 299), προβιβάζονταί τε λέγοντεc καὶ ἐν τρίτῳ εἶναι τὸ ὠοιοί.

Ἀλλ' ἔcτι πρὸc τούτουc τοὺc λόγουc φάναι. διότι μὲν οὖν τὰ ἐπιρρήματα ταῦτα οὐ μέτειcι κατὰ πᾶν πρόcωπον, cαφὲc γενήcεται. — Καθόλου τὰ τοιαῦτα τῶν ἐπιφθεγμάτων, ἐξ αὐτοπαθείαc ἀναπεμπόμενα, τὴν περὶ τὸν λέγοντα μόνον πεῖcιν ἀφηγεῖται, καὶ ἔνθεν οὐκ ἐπικοινωνεῖ δευτέροιc καὶ τρίτοιc. ἔφαμεν δέ, ὅτι οὐδὲ ἐπὶ ῥῆμα φέρεται. καὶ τὸ τοιοῦτον πάλιν ἐπελύετο, ὡc πᾶν πάθοc γίνεται ἔκ τινοc διαθέcεωc, ἴδιον δὲ τῶν ῥημάτων διάθεcιc, καὶ ἦν κατὰ τοῦτό γε πάλιν ἐπίρρημα τὸ ὤμοι, ἐπεὶ διάθεcιν τὴν ἐκ ῥήματοc ἀναπεμπομένην εἶχε. καὶ ὡc μὲν οὐ δίειcι κατὰ πᾶν πρόcωπον, cαφέc. — Οὐδέποτε ἀντωνυμίαι διπλαcιάζονται, τὰ δὲ cχετλιαcτικὰ τῶν ἐπιρρημάτων· τοῦ γὰρ πάθουc ἐπιμένοντοc ἐπεκτείνεται, αἴ αἴ αἴ, οἴ οἴ οἴ. ἐπὶ μὲν οὖν θρήνου αἰαί, οἰοί. τοιοῦτον δέ ἐcτι καὶ τὸ οἰμοιμοῖ. — Ἡ οι δίφθογγοc μακρά ἐcτιν ἐν ἀπτώτοιc, ὡc ἐπεδείχθη ἐν τῷ περὶ χρόνων, καὶ διὰ τοῦτο ἐπίρρημα μὲν τὸ ὦμοι ὂν παροξύνεται, ὄνομα δὲ προπεριcπᾶται. εἴπερ ἄρα δύο μέρη λόγου τὸ ὤμοι ἦν, καὶ πάντωc ἡ τοῦ ὦ περιcπωμένη ἐcώζετο, εἴγε ἀμετάθετοι αἱ περιcπώμεναι, κἂν ἐγκλιτικὸν ἐπιφέρηται κἂν ἀνέγκλιτον. ὡc ἂν οὖν ἡνωμένου τοῦ cχήματοc ἡ ὀξεῖα πρὸ τέλουc ἐcτὶν ἐν τῷ ὤμοι. — Πῶc δ' οὐχὶ καὶ γέλοιον ἐν τῷ ὠοιοί ⟨τὸ οι⟩ ἐκ τρίτου ἀντωνυμικοῦ παρακεῖcθαι; πῶc πάλιν δεδιπλαcίαcται; ποῦ ἡ δαcεῖα τῆc ἀντωνυμίαc, ἢ ποῦ ἡ περιcπωμένη; ἡνίκα γὰρ οὐκ ἐγκλίνεται, περιcπᾶται. καθάπερ οὖν τῷ πόποι τὸ παπαί
538 παράκειται καὶ τῷ ὀτοτοῖ τὸ ἀτταταῖ, οὕτωc καὶ τῷ ὠοιοί τὸ ὠαιαί,

---

Argvm. 10 Sed falluntur. — 12 Nam 1) interiectiones suapte natura primae personae sunt; — 18 2) nunquam pronomen iteratur, quod factum esset in οἰμοιμοῖ; — 3) si μοι pronomen esset, non ὤμοι sed ὦμοι scribendum erat; — 27 4) ut ὤμοι cum μοι, ita ὠοιοί cum οἷ compositum esset, quod nec notio patitur, nec forma, nec accentus;

Discr. script. 1. τὸ μὲν b, μεν το A, non, ut b refert in var. lect., μεν | 4. οἷc b, ουc A | 5. και A, om. b in textu, adiecit in var. lect. | 12. Καθολου A, cui punctum pro commate praeposuit RSchneider, καθὸ b | 13. πηcιν pro πεῖcιν A, cuius margini adscripsit A[1] πηcιν τουτεcτι την παθηcιν | 14. επιρρημα φερηται A | 21. οἰμοιμοῖ GFSchoemann, οἴ μοί μοι b | post hoc vocabulum fol. 117 v. | Η ante lin. A | 22. επεδειχθη fere evan. in A | χρο A[x] in ras. | 25–26. επιφερεται A | 26. cχημα^τ A | 28. ωι μοι A | τὸ οι add. KLehrs, τὸ οἷ GFSchoemann | 30. 'Aptius leg. τὸ πόποι τῷ παπαί παράκειται καὶ τὸ ὀτοτοῖ τῷ ἀτταταῖ, οὕτωc καὶ τὸ ὠοιοί τῷ ὠαιαί' b in var. lect. | 31. ὀτοτοῖ τὸ ἀτταταῖ RSchneider, ὀτοτοί τὸ ἀτταταί b | c in ουτωc erasum in A

ὅπερ συναλειφθὲν καὶ ἐν βαρείᾳ τάσει γινόμενον παρ᾿ Αἰολεῦσίν ἐστιν ᾦαι· διότι καὶ τὸ ῑ πρόσκειται, κράσεως γενομένης καὶ προσλήψεως. — Οὐδέποτε ἀπ᾿ ἀντωνυμιῶν τῶν κατὰ τὸ πρῶτον ἢ δεύτερον ῥήματα παράγεται (προστέθεικα δὲ δεύτερα, ἐπεὶ καὶ τὸ ἀπὸ τοῦ τρίτου παραγόμενον ⟨ἀπὸ⟩ συνάρθρου ἐστὶ καὶ ταύτῃ ἄλογον, λέγω τὸ σφετερίζω)· ἀπὸ μέντοι ἐπιρρημάτων, ὡς παρὰ τὸ αἰαί τὸ αἰάζω καὶ λίαν λιάζω. τάχα δὲ καὶ παρὰ τὸ οἰοί τὸ οἴζω ἐστί, καὶ καθ᾿ ἑτέραν παραγωγὴν καὶ διαίρεσιν τῆς διφθόγγου τὸ ὀΐζω ὀϊζύω, ἔστι δὲ καὶ παρὰ τὸ οἴμοι οἰμώζειν· ὅπερ ἴδιον ἐπιρρημάτων.

Καὶ τὸ χρή δὲ καὶ τὸ δεῖ ἀκριβοῦς ἐπιστάσεως δεῖται, ἐπεὶ τὸ πλέον γε πρὸς ἁπάντων ὑπελήφθη ἐπιρρήματα. — Καὶ ἔστι γε ἀφορμὴ πλείστη ὑπὲρ τοῦ κατατάσσεσθαι αὐτὰ εἰς τὸν τῶν ἐπιρρημάτων ἀριθμόν. — Ἐκ μὲν οὖν συντάξεως γένοιτο ἂν ἐπιρρήματα τῇδε· «ὅτι ἐπίκειται τὰ ἐπιρρήματα τοῖς ῥήμασιν» (ὡς ἐν τοῖς προκειμένοις ἀπεδείξαμεν), «καὶ ὅτι μετὰ πτωτικῆς συντάξεως καὶ τῶν συνόντων ῥημάτων λόγον ἀποτελεῖ, πῇ μὲν προτασσόμενον κατὰ παράθεσιν, πῇ δὲ ὑποτασσόμενον, ὀρθῶς μεταμέλει Διονυσίῳ, ⟨μεταμέλει ὀρθῶς Διονυσίῳ·⟩ καλῶς ἀναγινώσκει Δίων, ἀναγινώσκει καλῶς Δίων. τοιαῦτα δὲ καὶ τὰ προκείμενα ἐν συντάξει τῇ κατὰ τὰ ἀπαρέμφατα, Ἀπολλώνιον χρὴ γράφειν, Διονύσιον χρὴ περιπατεῖν, Διονύσιον δεῖ διαλέγεσθαι. καὶ μερικώτερόν γε, καθότι καὶ τὸ ἄγε ἐπίρρημα τοῖς προστακτικοῖς καὶ τὸ εἴθε τοῖς εὐκτικοῖς. — Ἔτι τὰ ἐν προσώποις ἀντωνυμικοῖς ⟨καθ᾿ ἕνα⟩ σχηματισμὸν ἐκφερόμενα κατὰ τὰ τρία πρόσωπα, ἐπιρρήματά ἐστιν. ἡ γὰρ ἐν ῥήμασι σύνταξις μετὰ ἀπαρεμφάτου συσχηματίζει κατὰ τὸ πρῶτον καὶ δεύτερον καὶ ἔτι τὸ τρίτον, βούλομαι ἐγὼ γράφειν, βούλῃ σὺ γράφειν, βούλεται ἐκεῖνος γράφειν· 539
θέλω ἐγὼ διαλέγεσθαι, θέλεις σὺ διαλέγεσθαι, θέλει ἐκεῖνος

Argum. 3 5) non a pronominibus, sed ab adverbiis verba derivantur. — 9 Adverbia igitur sunt illa. — 10 Χρή et δεῖ ab omnibus fere adnumerantur verbis, — 13 1) quod cum verbo construuntur; 2) quod cum verbo et casuali voce coniuncta sententiam efficiunt; — 23 3) quod cum pronominibus per omnes casus coniuncta non flectuntur;

Testim. 8 Cf. Orion. 119, 11. Et. M. 618, 11. — 10 cf. Epim. Cr. 434, 3 sqq.

Discr. script. 1. συναλειφεν A | 2. ωαι A | 3. αντωνυμι῀ A | 4. sic locum constituit RSchneider, GFSchoemannum secutus, qui sic scripsit καὶ δεύτερα, ἐπεὶ τὸ ἀπὸ τρίτου παραγόμενον ⟨ἀπὸ⟩ συνάρθρου ἐστίν; δεύτερα, ἐπεὶ καὶ τὸ ἀπὸ τρίτου παραγόμενον (παραγομεν῀ A) σύναρθρόν ἐστι Ab | inter δεύτερα et ἐπεὶ sitne παρὸν καὶ τρίτα inserendum, dubitat RSchneider | 6. ὡς παρὰ b, ωσπερ A | 9. ὅπερ ἴδιον ἐπιρρημάτων suspecta esse censet GUhlig | 10. inscriptio περι του χρη και δει maiusc. A | 15. μετα b, κατα A | 17. μεταμέλει ὀρθῶς Διονυσίῳ adiecit b | 23. . . . σχηματισμὸν] fol. 118 r., lacunam explevit b | 25. δευτερ᾿ A | 26. βουλη A

διαλέγεσθαι· μέλω ἐγὼ Cωκράτει, μέλεις cὺ Cωκράτει, μέλει ἐκεῖνος Cωκράτει· τύπτομαι ἐγὼ ὑπὸ Διογένους, τύπτῃ cὺ ὑπὸ Διογένους, τύπτεται ἐκεῖνος ὑπὸ Διογένους. τὰ δὲ ἐπιρρήματα καθ᾽ ἕνα cχηματιcμόν, ἑλληνιcτὶ λέγω ἐγὼ, ἑλληνιcτὶ λέγεις cύ, ἑλληνιcτὶ λέγει ἐκεῖνος. καὶ εἰ καθ᾽ ἕνα τὸν cχηματιcμὸν ἤδη φαμὲν ἐμὲ δεῖ γράφειν, cὲ δεῖ γράφειν, ἐκεῖνον δεῖ γράφειν· ἐμὲ χρὴ γράφειν, cὲ χρὴ γράφειν, ἐκεῖνον χρὴ γράφειν, cαφὲc ὅτι καὶ κατὰ τὴν τοιαύτην ἔννοιαν ἐπιρρήματά ἐcτιν. — Ἔτι ἐγκλίcειc διάφοροι κατὰ τὸ αὐτὸ οὐ παραλαμβάνονται, ὅτε μὴ τὰ ῥήματα προαιρετικά ἐcτιν, οἷc παρακολουθεῖ τὸ μετὰ ἀπαρεμφάτων cυντάccεcθαι, βούλομαι γράφειν, θέλω ἀναγινώcκειν, βούλομαι φιλολογεῖν. ἄλλη γὰρ ἔννοια ῥημάτων οὐκ εὐπαράδεκτοc. οὐ γὰρ φαμὲν γράφω τύπτεcθαι ἤ τι τῶν οὕτωc λεγομένων. τὰ δὴ οὖν προκείμενα εἰ μὲν ῥήματά ἐcτιν, ὀφείλει προαιρετικὰ εἶναι· εἰ δὲ οὐ προαιρετικά, οὐ ῥήματα, cυντακcόμενα ἀπαρεμφάτοιc.»

Ὅτι δὲ ῥήματά ἐcτι τὰ προκείμενα μόρια, cαφὲc ἐντεῦθεν. — Πᾶν ἀπαρέμφατον ὄνομά ἐcτι πράγματοc, καὶ εἰ ἔcτιν εἰπεῖν, αὐτὸ τὸ γενικώτατον ῥῆμα τὸ παρυφιcτάνον τὸ οὐκ ἐγγινόμενον ἐν προcώποιc, τουτέcτιν ὃ δηλοῖ τὸ ἀπαρέμφατον. ὅθεν καὶ κατὰ τοὺc δέονταc λόγουc ἄρθρου ἐcτὶ προcδεκτικά, ἐπεὶ ἅπαξ παρυφίcταται ὀνοματικὴ κατηγορία τοῦ πράγματοc. κἀκεῖνο δέ ἐcτιν ἀληθέc, ὡc τὰ ῥήματα θέλει cυντάccεcθαι τοῖc πτωτικοῖc ἢ ὡc πτωτικοῖc. καὶ δὴ τὰ προκείμενα τῶν μορίων, ῥήματα καθεcτῶτα, cύνταξιν ποιεῖται τὴν εἰc τὰ ἀπαρέμφατα ὡc πτωτικά, ὅτε λέγομεν οὕτωc, δεῖ περιπατεῖν· cημαίνει γὰρ τὸ τοιοῦτον, 540 λείπει ὁ περίπατοc. διὸ καὶ δοκεῖ μοι διὰ τοῦτο ἐπ᾽ αἰτιατικὴν φέρεcθαι ὁ cχηματιcμόc. ὅcα γὰρ ἐπ᾽ εὐθείαc νοεῖται μετὰ ῥήματοc τοῦ cυνόντοc, ταῦτα τὴν ἐνέργειαν μετατίθηcιν ἐπὶ τὴν αἰτιατικήν, τύπτει Διονύcιοc Ἀπολλώνιον· ἔcτι γὰρ ἡ διάθεcιc ἀπὸ τοῦ τύπτειν ἐπ᾽ αἰτιατικὴν μετιοῦcα τὴν Ἀπολλώνιον. κἂν ἐν δοτικῇ δέ ποτε ὁ cχηματιcμὸc γένηται ἢ γενικῇ, πάλιν ἔcτιν ἐπινοῆcαι τὴν

Argvm. 9 4) quod diversi modi (indicativus infinitivus) non coëunt, nisi si alter (indicativus) est verbi cupiendi; illa igitur aut his adnumeranda sunt (quod fieri nequit), aut pro adverbiis habenda. — 16 At sunt verba. — Omnis enim infinitivus est nomen actionis (i. e. solam actionem indicat), quare ut nomen (subiectum) ad verbum accedit. In his igitur δεῖ περιπατεῖν infinitivus subiectum est δεῖ verbi.

Discr. script. 2. τυπτη A | 3. εκειν° A | 5. cυ supra lin. A[x] | 7. χρη supra lin. in A | 9. 'Fort. leg. κατὰ τοῦ αὐτοῦ' b in var. lect. | 10. παρaακολουθει A | 11. αναγινωcκ´ A | 12. προαιροῦμαι pro βούλομαι CWachsmuth | ενοια A | 13. c in ουτωc erasum in A | 14. ρηματ¯ A | 17. εἰ delet GFSchoemann | 18. παρυφιcτάνον GFSchoer[illegible] μενον Ab | 19. τοῦτο γάρ· ἐcτιν vel καὶ τοῦτό ἐcτιν pro τουτέcτ[illegible] τουτέcτιν — ἀπαρέμφατον eicit CWachsmuth | 20. ὀνοματικὴ [illegible]ann, ὀνοματικῇ κατηγορίᾳ Ab | 27. post ταυτα repetitum γαρ i[illegible] 'Malim iterato articulo ἡ ἀπὸ' b in var. lect. | 29. τὴν πο[illegible]0 γενικῇ A

κατ' αἰτιατικὴν ἔcωθέν τινα δρᾶcιν γινομένην, ὡς ἔχει τὸ Διονύcιος τέμνει Ἀπολλωνίῳ· τοιοῦτον γάρ τί ἐcτι, τέμνει τι εἰc περιποίηcιν Ἀπολλωνίου. — Καὶ ἡ διάθεcιc οὖν ἡ τοῦ δεῖ ἐλλειπτικὴ μετὰ τοῦ ἀπαρεμφάτου ⟨ἐν⟩ εὐθείᾳ cυνταccομένου μέτειcιν ἐπὶ τὴν αἰτιατικήν, δεῖ γράφειν Ἀπολλώνιον, ἵνα ᾖ τι τοιοῦτον, λείπει τὸ πρᾶγμα τὸ ἐκ τοῦ γράφειν Ἀπολλώνιον. ὅπερ ὁ βίος ὡς ἐπιτατικὸν μᾶλλον ἀνεδέξατο, ὅπερ οὐκ ἦν, ἀλλὰ ἔλλειψιc τοῦ πράγματος, ὃ καὶ δέον ἦν ποιεῖν· καὶ ἐντεῦθεν ἡ δόκηcιc τῆc ἐπιτάcεωc.

Ἔcτι γοῦν καὶ τὸ ῥῆμα ὅτε φθάνει ποτὲ ἐπὶ τὴν εὐθεῖαν τοῦ ὀνόματος, καὶ τὸ τηνικαῦτα καταλαβέcθαι τὸ ἀπαρέμφατον, ὡς οὐκ ἔcτιν εὐθείας, ἀντιμετειλημμένον δὲ εἰc αἰτιατικήν. καὶ δι' ἑτέρου δὲ ὑποδείγματος cαφὲc γινέcθω· ἀπολείπει Ἀπολλώνιος τὸν περίπατον. ἀλλὰ καὶ ὁ περίπατος ἐν τῷ ῥήματι γινόμενος αἰτιατικὴν μεταποιεῖ τὴν Ἀπολλώνιον, ὡς εἰ καὶ αὐτὸ τὸ δεῖ ἀντιμεταλάβοι ἀντὶ τοῦ λείπει[ν], δεῖ Ἀπολλώνιος τὸν περίπατον, ὡς εἴ τις ἔλεγεν οὕτως, δέεται τοῦ περιπάτου Ἀπολλώνιος, καὶ ἀνάπαλιν. ἔcτιν οὖν ὅτε μὲν ἐν εὐθείᾳ τὸ ἀπαρέμφατον, τὸ cυνὸν πτωτικὸν πάλιν ἐν αἰτιατικῇ οὕτως, ἢ ἀνάπαλιν, δεῖ Ἀπολλώνιος τὸ γράφειν,

Argum. 3 Infinitivus autem, qui subiecti loco ponitur, si deficiendi notionem actionemque, quae in δεῖ inest, in accusativum transfert, habes hanc structuram: δεῖ γράφειν Ἀπολλώνιον. — 9 Duplex igitur est structura. Aut verbi δεῖ nominativus nominis alicuius subiectum est: ibi infinitivus accusativo casu profertur; aut infinitivus subiectum est: ibi nomen accusativo casu adicitur. —

Discr. script. 2. Απολλωνιω A | 4 μετὰ Ab, ἐκ GFSchoemann | ἐν εὐθείᾳ cυνταccομένου GFSchoemann, εὐθείᾳ cυνταccομένη Ab | 9. Ϲcτι ante lin. A | καὶ τὸ ῥῆμα ὅτε φθάνει ποτὲ Ab, καὶ ὁπότε τὸ ῥῆμα φθάνει GFSchoemann | 10. απαρεμφ A | 11. post αἰτιατικήν fortasse ⟨δεῖ Ἀπολλώνιος τὸ γράφειν⟩ inserendum esse censet RSkrzeczka | 13. post τὸν περίπατον GFSchoemann inseri iubet, quod nunc v. 26 legitur, exemplum δεῖ Ἀπολλώνιος τὸν περίπατον | 14. αν τι μεταλαβοι A, τι in τις mutavit A^x | 15. λείπει b in var. lect. GFSchoemann, λείπειν Ab in textu | pro δεῖ Ἀπολλώνιος τὸν περίπατον scribendum esse δεῖ Ἀπολλώνιον ὁ περίπατος censet GFSchoemann | εἴ τις GFSchoemann, εἰ καὶ Ab | 16. να in αναπαλιν ab A^x in rasura | 18. post οὕτως ⟨δεῖ Ἀπολλώνιον τὸ γράφειν⟩ inserit RSkrzeczka | Totum locum sic restituendum esse conicit RSchneider: Ἔcτι γοῦν καὶ τὸ ῥῆμα ὅτε φθάνει ποτὲ ἐπὶ τὴν εὐθεῖαν τοῦ ὀνόματος, καὶ τὸ τηνικαῦτα καταλαβέcθαι τὸ ἀπαρέμφατον, ὡς οὐκ ἔcτιν εὐθείας, ἀντιμετειλημμένον δὲ εἰc αἰτιατικήν· ⟨'δεῖ Ἀπολλώνιος τὸν περίπατον', ὡς εἴ τις ἔλεγεν οὕτως, 'δέεται τοῦ περιπάτου Ἀπολλώνιος⟩. καὶ δι' ἑτέρου δὲ ὑποδείγματος cαφὲc γινέcθω· 'ἀπολείπει Ἀπολλώνιος τὸν περίπατον'. — ἀλλὰ ὁ περίπατος ἐν τῷ ῥήματι γινόμενος αἰτιατικὴν μεταποιεῖ τὴν Ἀπολλώνιον, ὡς εἰ καὶ αὐτό⟨c⟩ τὸ δεῖ ἀντιμεταλάβοι ἀντὶ τοῦ λείπει[ν] ⟨'δεῖ Ἀπολλώνιον ὁ περίπατος'⟩ [δεῖ Ἀπολλώνιος τὸν περίπατον, ὡς εἰ καὶ ἔλεγεν οὕτως, δέεται τοῦ περιπάτου Ἀπολλώνιος] καὶ ἀνάπαλιν· ⟨'λείπει Ἀπολλώνιον ὁ περίπατος'⟩. — ἔcτιν οὖν, ὅτε μὲν ἐν εὐθείᾳ τὸ ἀπαρέμφατον, τὸ cυνὸν πτωτικὸν πάλιν ἐν αἰτιατικῇ, οὕτως· ⟨'δεῖ Ἀπολλώνιον τὸ γράφειν'⟩, ἢ ἀνάπαλιν· 'δεῖ Ἀπολλώνιος τὸ γράφειν', ἐν οἷc αἰτιατικῆc γίνεται τὸ γράφειν. — ὁ αὐτὸc λόγοc καὶ ἐπὶ τοῦ χρή, cυνωνυμοῦντος τῷ δεῖ.

ἐν οἷς αἰτιατικῆς γίνεται τὸ γράφειν. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ χρή, συνωνυμοῦντος τῷ δεῖ.

541 Ἀλλὰ πῶς ἄκλιτον, εἰ ῥῆμα; πῶς οὐ συσχηματίζεται τοῖς προσώποις; Ὅτι ἡ γινομένη αὐτοῦ σύνταξις οὐκ ἐπὶ τὰ πρόσωπά ἐστιν, ἐπὶ δὲ τὸ [πρὸς ᾧ] ἀπαρέμφατον, ὅ ἐστι μονοπρόσωπον, καὶ ἔνθεν μονοσχημάτιστον τὸ ἐμὲ δεῖ γράφειν. τὸ γὰρ δεῖ ἐπὶ τὸ γράφειν φέρεται, ὅπερ οὐ προσώπου ἐστὶ δεκτικόν. καὶ ἔνθεν, συντεῖνον εἰς [αὐτὸ] τὸ γράφειν, καὶ ⟨αὐτὸ⟩ τὸν ἕνα σχηματισμὸν ἀναδέχεται. Πρόδηλον δὲ γινέσθω καὶ ἐκ ῥήματος τοῦ λείπει. οὐ γὰρ ἔστιν ὅστις ὀλίγον διστάσειεν, ὅτι τὸ λείπει ῥῆμά ἐστι· καὶ οὐ παρὰ τοῦτο οὐχὶ ῥῆμα γενήσεται, ἐὰν μονοσχημάτιστον γένηται μετὰ τῆς τοῦ ἀπαρεμφάτου συντάξεως. ἔχει γὰρ τῇδε τὰ τῆς συντάξεως, λείπει ἐμὲ τὸ γράφειν, λείπει σὲ τὸ γράφειν, λείπει ἐκεῖνον τὸ γράφειν. καὶ ἐπεὶ οὐκέτι μεταπεποίηται πρὸς τὸ πρῶτον ἢ δεύτερον ἢ τρίτον, οὐχὶ πάντως οὐ ῥῆμα. πάλιν γὰρ καθ᾽ ἕνα σχηματισμόν ἐστι διὰ τὴν σύνταξιν τὴν τοῦ ἀπαρεμφάτου, ὅπερ τρίτον ὂν ἀμέριστον ἦν κατὰ τὴν προσωποποιίαν. καὶ σαφὲς ἔτι, κατὰ τὴν τοιαύτην σύνταξιν ὡς τὸ γράφειν ὀρθῆς ἔσται πτώσεως διὰ τὸ λείπει. — Καὶ ὡς μὲν καθ᾽ ἕνα σχηματισμὸν ἐκφέρεται τὸ χρή καὶ δεῖ, ἐν διαφόροις προσώποις ἐγγινόμενον, ἀπεδείχθη.

Ἔφαμεν δὲ καὶ τὰ ἐπιρρήματα συνηθέστερον πρὸς τὰς ἐγκλίσεις ἐπάγεσθαι, τὸ ἄγε καὶ τὸ εἴθε. καὶ κατὰ τὸ τοιοῦτον τὸ χρή καὶ τὸ δεῖ ὑπελαμβάνοντο ἐπιρρήματα. — Ἀλλὰ καὶ τοῦτο ἀπεδείχθη, ὡς ψυχικῆς παρεμφάσεως ⟨οὐκ⟩ ἦν ἐμφατικὰ τὰ ἀπαρέμφατα, οὐδὲ ῥήματα ἐγκλίσεως μεμοιραμένα, ὀνόματα δὲ τῶν πραγμάτων. τοῖς δὲ ὀνόμασι μᾶλλον τὰ ῥήματα σύνοιστά ἐστιν, ὡς ἐν ταῖς ἐγκλίσεσι τῶν ῥημάτων τὰ ἐπιρρήματα. τὸ δὴ λέγοι καὶ λέγε ἐγκλίσεις ῥημάτων εἰσί, καὶ διὰ

Argum. 3 Personas autem cur χρή et δεῖ non distinguant, haec est causa, quod infinitivi subiecta eorum sunt, qui ipsi quoque personas non discernunt. — 20 Quod adverbia saepe ad modos referuntur, χρή et δεῖ adverbiis tribuerunt. At infinitivi non habent modos, ut verba habent, sed nihil nisi appellationes actionum sunt. Cum appellationibus autem verba coniunguntur. — Itaque etiam verba cupiendi cum infinitivis coniunguntur, quod ipsa nihil nisi voluntatem, non actionem indicant; ad hanc significandam infinitivi facti sunt.

Discr. script. 5. ἀπαρέμφατον RSchneider, προσῶ α παρεμφατον A, α littera cum eis, quae sequuntur, non coniuncta, quod insolitum; πρὸς ᾧ ἀπαρέμφατον b, προσώπων ἀπαρέμφατον RSkrzeczka, προσὸν ἀπαρέμφατον GUhlig | 7. δεκτικ` A | 7—8. τὸ γράφειν, καὶ αὐτὸ scripsit RSchneider, αὐτό, τὸ γράφειν καὶ Ab | 9. διστάσειεν b, διαστησει εν A | 11. συνταξε̄ A | 12. τηδε A | 16. προσωποποΐαν A | 17. in A discerni non potest sitne οτι an ετι, οτι L b | κατὰ τὴν] fol. 119 r. | ως A, καὶ b | 18. πτωσε̄ A | 19. $\alpha\pi\varepsilon\delta\varepsilon\iota\overset{\theta}{\chi}$ A | 22. ὡς pro ἐν οἷς scribendum, vel ὅτι (ὡς) ante ἐν οἷς inserendum esse coniecit RSkrzeczka, ἐν οἷς Ab | 23. οὐκ add. RSkrzeczka | 23—24. inter ῥήματα et ἐγκλίσεως inseri εἶναι iubet GFSchoemann | 24. $ονομα^{τ}$ A | 25. ὡς ἂν vel ὡσὰν pro ὡς ἐν GFSchoemann | 26. To ante lin. A | λέγοι καὶ λέγε b, λεγει μοι και λεγε A

τοῦτο αἱ ἐοικυῖαι ἐπιρρηματικαὶ συντάξεις συμφέρονται. καὶ κατὰ τὴν τοιαύτην ἄρα σύνταξιν δέδεικται, ὅτι μᾶλλον ῥήματά ἐστι, συντασσόμενα ὡς ὀνόμασι. — ταύτῃ γὰρ καὶ τὰ προαιρετικὰ τῶν ῥημάτων συντάσσεται τοῖς ἀπαρεμφάτοις, καθὸ προαίρεσιν δηλοῦντα ἐλλέλοιπε τῷ πράγματι. 542 τὸ γὰρ θέλω καὶ τὰ ὅμοια ῥήματά ἐστιν ἐλλείποντα πράγματι, ὅθεν τὸ λεῖπον τοῦ πράγματος κατὰ τὴν ἰδίαν ὀνομασίαν συντασσόμενον, ἀπαρεμφάτῳ πάλιν προφορᾷ συντάσσεται, θέλω γράφειν, προαιροῦμαι ἀναγινώσκειν, ὡς προαιροῦμαι τὴν ἀνάγνωσιν. καὶ σαφές ἐστι πάλιν, ὅτι καὶ κατὰ τοῦτο δείκνυται τὰ ἀπαρέμφατα, ὀνοματικῆς ἐχόμενα συντάξεως, τῷ λείποντι πράγματι τὴν ὀνομασίαν προσδιδόντα, βούλομαι γράφειν, κἂν μετὰ ἄρθρου, προῃρούμην τὸ φιλολογεῖν ἤπερ τὸ ῥᾳθυμεῖν. τὴν τοιαύτην σύνταξιν ἀκριβέστερον ἐν τῷ περὶ συντάξεως ἀποδώσομεν. — Καὶ κατὰ τοῦτο ἄρα ἐδείχθη, ὡς οὐκ ἐπιρρηματικῆς συντάξεως ἔχεται τὰ προκείμενα, ῥηματικῆς δέ.

Ἴδιον ῥημάτων ἐστὶ τὸ ἐν παρῳχημένῃ προφορᾷ, εἰ ἀπὸ συμφώνων ἄρχοιτο, τὸ ε̄ προσλαμβάνειν ἔξωθεν. καὶ οὐκ ἄλλῳ τῳ μέρει λόγου τοῦτο παρεπόμενόν ἐστι. πῶς οὖν κἂν κατ᾽ ὀλίγον τις διστάσειε τὸ δεῖ ὅτι ῥῆμά ἐστι, καὶ οὕτως ὥστε τὸ συγκεχυμένον τῶν χρόνων διαστέλλειν; ἐνεστῶτος γὰρ χρόνου γενήσεται τὸ δεῖ γράφειν, λέγω τὸ γράφειν· παρατατικοῦ δὲ τὸ ἔδει γράφειν, προσλαβὸν ἔξωθεν τὸ ε̄, ὅπερ ἴδιον ῥήματος, ὡς εἰ καὶ τὸ θέλω γράφειν εἴη ἐνεστῶτος διὰ τὸ θέλω, παρατατικοῦ δὲ ἐν τῷ ἔθελον γράφειν. τὸ δὲ αὐτὸ παρεπόμενόν ἐστι καὶ τῷ χρή.

Καὶ κατὰ τὸ λῆγον δὲ ῥῆμά ἐστι τὸ δεῖ, εἴγε αἱ τοιαῦται προφοραὶ ἐν συναιρέσει εἰσί, πνέει πνεῖ, χέει χεῖ, ῥέει ῥεῖ. καὶ οὕτως δέει καὶ δεῖ καὶ ἔδει. οὐδὲ γάρ ἐστιν ἐπινοῆσαι ἐπίρρημα εἰς ει̅ λῆγον ἐν περισπασμῷ, κατὰ τὸ κοινὸν ἔθος, διὰ τὸ παρὰ Δωριεῦσι πεῖ γὰρ ἁ ἄσφαλτος (fr. Sophr. 35 Ahrens) καὶ εἶ τὰ τῶν χοιραγχᾶν (fr. Sophr. 86 Ahrens). τὸ μὲν γὰρ σὺν τῷ ν̄ λεγόμενον πάλιν ἑτέρας ἐννοίας ἐστί, λέγω τὸ δεῖν, ἐκ μετοχικοῦ τοῦ δέον συνῃρημένον Ἀττικώτερον, 543 καθὸ καὶ τὸ πλέον πλεῖν φασίν. — Ἡ μέντοι χρή φωνὴ τῇδε πάλιν καταστήσεται. — τὸ δέω καὶ τὸ χρέω συνωνυμεῖ, οὐκ ἀγνοοῦντός μου

Argum. 15 Firmissimum argumentum ducitur ex ἔδει ἐχρῆν formis; nam augmentum solis verbis praefigitur. — 24 Exitu quoque ostenditur illa verba esse; δεῖ enim ex δέει contractum; — 31 χρή ex χρῆμι verbi tertia persona per apocopen ortum.

Discr. script. 3. ταυτη A | 4. προαιρεσ̄ A | 6. πραγμ̄ A | 6—7. απαρεμφατω A | 7. προφορα A | προαιρουμ A | 12. το ραθυμειν alio atramento et alia, ut videtur manu (A²?), in spatio, quod vacuum reliquerat A¹, ita additum, ut lacuna non tota expleatur | post συνταξιν punctum in A | 16. προσλαμβαν̄ | αλλωι τω μερη A | 17. διαστησειε pro διαστάσειε A, ut 131, 9 | 18. οὕτως b, ουτω A | ὥστε A b, οἷόν τε GFSchoemann | 25. πνει πνεει A | 25—26. δέει καὶ] fol. 119 v.; pro δέει in A est δεῖ | 26. ληγον fere evan in A | 30. in συνῃρημένον deest ι A | litterae ν in voce συνηρημενον et litteris ατ in voce αττικωτερον lineola subscripta est in A ab A¹ | 31. πλέον b, πλεω A | τηδε A | 32. τὸ δέω b, το δε δεω A

ὅτι καὶ τὸ δέω πλείονα ϲημαίνει καὶ τὸ χρέω· ἀλλὰ καὶ αὐτὸ τὸ ἐνδεῖν ϲημαίνει τὸ χρέω. ϲαφὲϲ ἐκ τοῦ παρακειμένου οὐδετέρου, λέγω τοῦ χρέοϲ, ὡϲ καὶ ἐν τῷ ἔπω ἔποϲ παράκειται. καὶ ἐξ ὑπομνήϲεωϲ τὸ τοιοῦτον δεῖ παραλαβεῖν, ὅτι παραγωγή τίϲ ἐϲτιν ἡ τοῦ χρῆμι, ἧϲ τὸ τρίτον πρόϲωπόν ἐϲτι χρῆϲι, καθότι καὶ παρὰ τὸ φημί φηϲί. καὶ ὃν τρόπον παρὰ Ἀνακρέοντι (fr. 41 Bergk^{3}) τὸ φηϲίν ἀποκοπὲν φή ἐγένετο, ϲὲ γάρ φη ταργήλιοϲ, τὸν αὐτὸν τρόπον καὶ τὸ χρῆϲι χρή ἐγένετο ἀποκοπέν. ὅπερ ἐπίμεμπτον ἐν τῇ κατὰ τὸν παρατατικὸν προφορᾷ κατὰ τάϲιν, ἐχρῆν, ⟨καὶ⟩ ὅτι [καὶ] ϲὺν τῷ ν̄ λέγεται [ἐχρῆν]. καὶ πάλιν οὐ κατὰ τὴν ἑτέραν παράθεϲιν, καθότι καὶ τὸ ἦν ἐν τρίτῳ ἐνοεῖτο. καὶ τὸ ϲυνὸν δὲ ἀπαρέμφατον χρῆναι ἐπιμαρτυρεῖ τῷ ϲχηματιϲμῷ.

Ἐχομένωϲ ϲκεπτέον περὶ τοῦ ἕκητι, περὶ οὗ καὶ ἐν τῷ περὶ ϲυνδέϲμων ἐξεθέμεθα, πότερον αὐτὸ καταριθμητέον εἰϲ τοὺϲ αἰτιολογικοὺϲ ϲυνδέϲμουϲ, ὡϲ ἴϲην ἔχον δύναμιν τῷ ἕνεκα, ὥϲ γε ἔϲτι ϲημειώϲαϲθαι ἐκ τῆϲ ἐπὶ αὐτὸ φερομένηϲ ϲυντάξεωϲ, ἕκητι ϲέθεν, ὡϲ ἔχει καὶ τὸ ἕνεκα ϲοῦ, καθότι καὶ ὁ ϲύνδεϲμοϲ ἐπὶ γενικὴν φέρεται καὶ τοιοῦτόν τι ϲημαίνει, ἑκόντοϲ ϲοῦ, ὡϲ ἐθέλοντοϲ ϲοῦ. ᾧ παράκειται τὸ ἐθελοντί, καθότι καὶ ἄλλοιϲ τὰ τοιαῦτα παράκειται, ἀθεωρητί, ἀκλαυτί. ἐντελέϲτερον μὲν οὖν, ὡϲ εἴπομεν, ἠκριβώθη ὁ περὶ αὐτοῦ λόγοϲ ἐν τῷ περὶ ϲυνδέϲμων· καὶ νῦν δὲ δι' ὀλίγων ἀποδεικτέον, ὡϲ μᾶλλον ἔχεται τοῦ μεριϲμοῦ τῶν ἐπιρρημάτων. — Ὅτι οἱ ϲύνδεϲμοι τὰϲ ἀποφατικὰϲ φωνὰϲ ἢ τὰϲ ϲτερητικὰϲ οὐ δύνανται ἀναδέχεϲθαι, δῆλον ἐντεῦθεν. ἐπὶ καταφάϲει τινῶν τὰ τοιαῦτα μόρια παραλαμβάνεται εἰϲ ἀναίρεϲιν τῆϲ καταφάϲεωϲ. οἱ δὲ ϲύνδεϲμοι οὔποτε κατ' ἰδίαν ϲημαί-
544 νουϲί τι, ϲυνδέουϲι δὲ τοὺϲ λόγουϲ, ἑξῆϲ τάϲϲοντεϲ καὶ οὕτωϲ ἐπιϲυν-

Argum. 18 Ἕκητι adverbium est. — 22 Nam coniunctiones nunquam per se aliquid significant, sed sententias connectunt; nunquam igitur ᾱ privativum assumunt. Ergo ut ἀέκητι, ita ἕκητι, quod ab eo derivatur, adverbium est.

Testim. 1 cf. Orion. 164, 8 *Χρέος παρὰ τὸ χρέω τὸ δηλοῦν τὸ ἐνδεῖν. Οὕτως Ἀπολλώνιος ἐν τῷ περὶ ἐπιρρημάτων.* Eadem fere sunt in Gud., ubi tamen falso legitur *περὶ ῥημάτων*. cf. Miller, Mél. p. 311. 312.

Discr. script. 2. παρακειμεν abbr. in A | 3—4. το τοιουτον om. A^{1}, add. A^{2} in marg. | 6. ν vocis φηϲιν distractum, ut linea expleatur | 7. τροπ' A | 8. διόπερ pro ὅπερ GFSchoemann | 9. κατὰ τάϲιν Ab in textu, κατά τε τάϲιν b in var. lect. | ἐχρῆν Ab in textu, ἐχρῆν ⟨γάρ⟩ b in var. lect. | καὶ ὅτι GFSchoemann, ὅτι καὶ Ab in textu, ὅτι τε καὶ b in var. lect. | ἐχρῆν del. GFSchoemann | 10. κατά τιν' ἑτέραν παράθεϲιν, ⟨ἢ⟩ καθότι GUhlig | 11—12. τω ϲχηματιϲμω A | 13. inscriptio περι του εκητι maiusc. A | 14. ultima syllaba vocis καταριθμητεον abbr. A | 15. εϲτιν A | 18. ᾧ b, ωι A^{2} in ras. | 21. ϲυνδεϲμ̄ A | 23. αναδεχεϲθ abbr. A | 25—26. ϲημαινουϲιν A | 26. ϲυνδεουϲιν A | ἑξῆϲ τάϲϲοντεϲ GFSchoemann, ἐξαρτίζοντεϲ OSchneider, ἐξετάζοντεϲ Ab

δέοντες καὶ ἑνοῦντες. οὐκ ἔνδεκτον οὖν, τὸν ἕκητι σύνδεσμον ὄντα ⟨ἐν συνθέσ⟩ει στερήσεως γεγενῆσθαι ἐν τῷ ἀέκητι. οὐ γὰρ ὁ ἕνεκα τὸ τοιοῦτόν ποτε ἀνεδέξατο, οὔτε ἄλλος τις τῶν προκειμένων. — Ἔστιν οὖν καὶ οὕτως φάναι. εἰ ὁ λόγος κατὰ ἀπόφασιν τὴν τῶν συνδεομένων παραλαμβάνοιτο, συνόντων καὶ συνδέσμων, οὐκ ἐν στερήσει τὸ τοιοῦτόν ποτε γενήσεται, ἐν δὲ παραθέσει τῆς οὔ ἀποφάσεως, ὅτι φιλῶ σε παραγίνομαι, οὐχ ὅτι φιλῶ σε παραγίνομαι· ἔγραψεν Ἀπολλώνιος, οὐ μὴν ἔγραψεν Ἀπολλώνιος, ἀνέγνω δέ· ἕνεκα σοῦ παρεγενόμην, οὐχ ἕνεκα σοῦ παρεγενόμην. εἰ δὲ τοῦτο ἀληθές, σαφὲς ὅτι καὶ τὸ ἕκητι μόνον ἂν τὴν οὔ ἀπόφασιν ἀνεδέχετο ἐν τῷ οὐχ ἕκητι, οὐχὶ καὶ στέρησιν. ἔστι δὲ ἐπινοῆσαι ἐν ἐπιρρήμασι καὶ παράθεσιν τῆς οὔ ἀποφάσεως καὶ σύνθεσιν τῆς ᾱ στερήσεως, οὐ φίλως ἀφίλως, οὐ σεμνῶς ἀσέμνως. τῇδε ἂν ἔχοι καὶ τὸ ἀέκητι.

Ἀλλ' ἴσως καὶ τὸ τοιοῦτον ἔχοι ἂν πάλιν ἐπίστασιν, ὡς οὐ τὰ ἐν στερήσει τῶν ἐπιρρημάτων γινόμενα ἰδίᾳ ἐγένετο, ἐν μεταλήψει δέ ἐστι συνθέτων· τὸ γὰρ ἀφίλως παρὰ τὸ ἄφιλος, καὶ τὸ ἀσέμνως παρὰ τὸ ἄσεμνος. ἔνθεν καὶ μένει ὁ τόνος ἐν τῷ ἀψευδῶς καὶ ἀσαφῶς, εἴγε καὶ τὸ ἀψευδής καὶ ἀσαφής συνέμεινε κατὰ τάσιν.

Τρύφων (p. 39 Velsen) φησὶ καὶ διὰ τὸ ἀκατάστατον τοῦ τόνου μὴ ἔχεσθαι αὐτὸ τοῦ κατὰ τὰ ἐπιρρήματα μερισμοῦ. τὰ γὰρ τοιαῦτά φησιν ὀξύνεσθαι, ἀναιμωτί, ἀκονιτί, ἀδακρυτί, κἂν ᾖ σὺν τῷ σ̄, ἑλληνιστί, δωριστί, αἰολιστί. Πάνυ δὲ ἀπόβλητος ὁ λόγος. οὐ γὰρ τὰ παρὰ πνεύματα ἢ τόνον ἤ τι τῶν παρεπομένων ταῖς φωναῖς ἐκφερόμενα περιγράφεται τοῦ δέοντος μερισμοῦ. οὐ γὰρ ἐπεὶ μὴ δεόντως τὸ πούς ὀξύνεται, οὐκ ὄνομα· ἢ ὅτι τὸ ἅπαξ βαρύνεται καὶ πέριξ, τῶν ἄλλων ὀξυνομένων οὐκ ἐπιρρήματα.

Πρὸς οἷς καὶ δεδείξεται, ὅτι κατὰ τὸν τόνον ἀνάλογόν ἐστι.

Καταστατέον οὖν τὰ τοῦ σχηματισμοῦ τῇδε. ἀπὸ ῥήματος τοῦ ἀεκάζω, ᾧ συνήθως Ὅμηρος κέχρηται,

πόλλ' ἀεκαζομένη (Ζ 458)

ἔπιπτεν ἐπίρρημα τὸ ἀεκαστί, καθότι τῷ ἰάζω παράκειται τὸ ἰαστί, ἑλληνίζω ἑλληνιστί. καὶ ἡ μὲν ὁλόκληρος προφορὰ τοιαύτη. ἐνδεήσαν-

---

Argum. 14 Opponat fortasse quispiam, adverbia cum ᾱ privativo composita ex adiectivis cum ᾱ compositis facta esse. — 19 Ex accentu autem, cui orationis parti tribuendum sit, colligere non licet. — 27 Accedit, quod accentus non pugnat cum lege. — 30 Nam ab ἀεκάζω derivatur ἀεκαστί,

---

Discr. script. 1. συν̊ pro συνδεσμον A | post οντα fol. 120 r., in quo quattuor vel quinque litterae madore evan., deinde πει (quod enotavit b) vel επει (quod videre sibi visus est RSchneider); ⟨ἐν συνθέσ⟩ει GFSchoemann ⟨ἐπ⟩ὶ RSkrzeczka | 2. ου A, οὔτε b | 4. ὁ λόγος GFSchoemann, ὅλως Ab | 10. αν supra lin. A | 11. εστιν A | 18. συνεμεινεν A | 20 μερισμ̃ A | 21. ακονητι A | 23. περιγράφεται b, παραγραφεται A | 31. τῷ ἰάζω b, το ιαζω A

τος δὲ τοῦ c̄, καὶ Ἰωνικώτερον μετατεθέντος τοῦ ᾱ εἰς η̄, καθότι καὶ τὸ διπλάσιον διπλήσιον, ἀναγκαίως καὶ τὰ τοῦ τόνου συνανεβιβάζετο, καθ᾽ ὃν τρόπον καὶ ἄλλα μόρια, ἐνδεήσαντα τοῦ c̄, ἀνεβίβαζε τὸν τόνον, δεσποστής δεσπότης, ἐργαστής ἐργάτης, οὐτασμένοι οὐτάμενοι, συνεληλασμένοι συνεληλάμενοι. αἴτιον γὰρ τὸ c̄ τῆς ὀξύτητος ἐγένετο, ἐπεὶ τοῖς ἀπὸ ῥημάτων παραχθεῖσιν ἐπιρρήμασι καὶ ὀξυνομένοις σύνεστι τὸ c̄, δωρίζω δωριστί, αἰολίζω αἰολιστί. τὸ δὴ οὖν αἴτιον τῆς ὀξύτητος c̄ ἐν πάθει ὑπεστέλλετο, καὶ ἐπεὶ οὐκέτι ὅμοιον ἐγίνετο τοῖς προκειμένοις, εἰς τὸν κοινὸν τῶν ἄλλων ἐπιρρημάτων τόνον μετῄει, ἅπερ ἐβαρύνετο, ὡς τὸ ὕψι, ἶφι, αὖθι. τὸ τοιοῦτον ἐντελέστατα ἐπιδεδείξεται, ὡς πᾶν σχῆμα λέξεως, τὴν ὁμοιότητα τῶν προκειμένων μορίων ἀποβαλὸν ἐν πάθει, εἰς τὸν τόνον μεταβάλλεται τὸν δυνάμενον τὴν ὁμοιότητα τοῦ πάθους ἀναδέξασθαι. ὥς γε ἔστιν ἐκ τῶν προκειμένων μορίων ἐκθέσθαι. τὰ εἰς c̄τη̄c̄ ῥηματικά, ὅτε ἐστὶν ὑπὲρ δύο συλλαβάς, ὀξύνεται, εἰλαπιναστής, λιθαστής, θεριστής· τὰ δὲ διὰ μόνου τοῦ τη̄c̄ ἐκφερόμενα μετὰ βραχείας τῆς παρεδρευούσης βαρύνεται, οἰκέτης, ἀρότης, ἐλάτης. ἔνθεν οὐ συμμένει ἡ ὀξεῖα ἐπὶ τοῦ ἐργάτης ἢ ⟨τοῦ⟩ ἐργαστής, ἀλλ᾽ ἅπαξ ἂν ἀποβάλλῃ τὸ c̄, ὅμοιον γινόμενον τῷ ἐλάτης καὶ ἀρότης, σὺν ἐκείνοις καὶ βαρύνεται. — Καὶ ὡς μὲν παρῆκται κατὰ λόγον τῶν ἐπιρρημάτων, σαφὲς ἐγένετο.

Καταστατέον δὲ καὶ πῶς τὸ ἔκητι ἐγένετο. δόκησιν μὲν ἔχει προϋπάρχουσαν τοῦ ἀέκητι, καθὸ τὰ ἁπλᾶ προϋφέστηκε τῶν συνθέτων. ἀλλ᾽
546 ἔστι γε ἀποδεῖξαι πάμπολλα ἁπλᾶ ἀπὸ συνθέτων γεγονότα, ὡς ἔστι γε ἐπινοῆσαι καὶ ἐπὶ τῶν κατὰ σύμπηξιν σωμάτων ἀποβολάς τινων μερῶν, ἁπλότητος μὲν ἐχομένας, δηλούσας δὲ τήν ποτε γενομένην αὐτοῖς σύμ-

---

Argvm. 7 cuius accentus, c̄ eiecta, recte retrahitur, ut in ἐργαστής ἐργάτης sim. — 21 Multa autem videntur illa quidem simplicia esse, sed non sunt;

Testim. 23 Choer. Can. 435, 5 *Τὸ μὲν ἀπὸ συνθέτου γίνεσθαι ἁπλοῦν οὐκ ἔστι ξένον· ἔχομεν γὰρ τοῦτο καὶ ἐπὶ φυσικῶν πραγμάτων, ὥσπερ ἀπὸ δένδρου ἐάν τις ἀποσπάσῃ κλάδον, γίνεται ἁπλοῦν ἀπὸ συνθέτου, καὶ ἐὰν ἀπὸ ζώου ἀποσπάσῃ τις χεῖρα ἢ πόδα, γίνεται ὁμοίως ἀπὸ συνθέτου ἁπλοῦν. Καὶ ἐπὶ λέξεων δὲ τὸ αὐτὸ εὑρίσκομεν σχῆμα· ἀπὸ γὰρ τοῦ 'εὐστάδα λίμνην' ἔχομεν ἁπλοῦν τὸ 'στάδα λίμνην', καὶ ἰδοὺ ἀπὸ συνθέτου λέξεως ἐγένειο ἁπλῆ λέξις (σημαίνει δὲ τὴν καλῶς ἱσταμένην·) καὶ τὸ 'εἴρυσαν ἠνορέῃ' ἀπὸ τοῦ εὐηνορέῃ γέγονε, καὶ τὸ 'δόμοις ἔνι ποιητοῖσιν' ἀπὸ τοῦ εὐποιητοῖσι γέγονε· τὸ γὰρ καλῶς πεποιημένον δηλοῖ.*

Discr. script. 1. του c A, quod GFSchoemann e coniectura restituerat, τοῦ τ b | 2. διπληcι᾽ A | 3. τοῦ b, το A | ανεβιβαζεν A | 5. τῆc ὀξύτητοc] fol. 120 vers. | 9. τόνον b, τοπον A | 11. προκειμένων] 'Fortasse leg. παρακειμένων' b in var. lect. | 12—13. τὴν ἀνομοιότητα pro τὴν ὁμοιότητα? GUhlig | 13. ὥc γε b, ωcτε A | 14. c̄τη̄c̄ b, τηc A | 15. ειλαπηναcτηc A | 17. τοῦ add. b | 18. αποβαλλει (non αποβαλλη, quod b refert) A, ἀποβάλῃ b | γινομενον A, γενόμενον b | το ελατηc A | 21. καταcτεον A | 23. εcτιν A | εcτιν A | 24. 'malim ἐπί' b in var. lect., ἐκ Ab in textu | 25. γινομενην A

πηξιν, ὡς εἰ κλινιδίου πούς ἤ τι τοιοῦτον μερικόν τὸ ὑπόδειγμα ἐπὶ πολλὰ συντείνει. ἔστιν οὖν τις τρόπος καὶ τοιοῦτος ἐν λέξεσιν, ὃς δοκεῖ μὲν ἁπλοῦς εἶναι, ὑπόμνησιν δὲ ἔχει τοῦ ἐκπεπτωκέναι ἐκ συνθέτου λέξεως. καὶ ἕνεκά γε ὑποδείγματος ἕν που καὶ δεύτερον παραληπτέον. — Τὸ ἠνορέα, ἁπλοῦν νοούμενον ἁπάντοτε, οὐ καταστήσεται. πόθεν γὰρ παρὰ τὸ ἀνήρ ἢ τὴν ἀνέρος γενικήν, ἢ τὴν συγκεκομμένην ἀνδρός, τὸ ἠνορέα συστήσεται ἢ ἀνερία (ὡς αἰθέρος αἰθερία), τῆς δὲ ἀνδρός (ὡς καὶ ἔστιν) ἡ ἀνδρία; — ἀλλὰ καὶ τὰ τοῦ λόγου τῇδε ἔχει. τὸ ἀνήρ συντιθέμενον τὸ ᾱ εἰς η̄ μεταβάλλει, τὸ δὲ η̄ εἰς ω̄. ἀνήρ ἀντήνωρ, ἀγαπήνωρ, εὐήνωρ, Ἐλεφήνωρ· φαμὲν δὲ καὶ διὰ τοῦτο καὶ τὸ Νικάνωρ, Εὐφράνωρ Δωρικά. ἦν οὖν καὶ τὸ

εὐήνορα οἶνον (δ 622),

ἀφ' οὗ γέγονεν ἡ εὐηνορία καὶ εὐηνορέα, καὶ ἐλλείψει τῆς εῡ διφθόγγου, ἠνορέα. καὶ γὰρ σαφές, ὅτι τὸ

δόμοις ἔνι ποιητοῖσιν (ν 306)

⟨ἐν⟩ ἐλλείψει ἐστὶ τοῦ εὖ· ἐστὶ γὰρ ⟨ἐν τοῖς εὖ⟩ πεποιημένοις· καὶ τὸ

κρητῆρα τετυγμένον (Ψ 741)

σημαίνει τὸν εὖ τετυγμένον. καὶ ἄλλα δὲ πολλά ἐστιν, ἅπερ ἁπλῶς μὲν λέγεται, συνθέτως δὲ νοεῖται·

ἀλλ' ὑμεῖς ἔρχεσθε (Ι 649)

ἀντὶ τοῦ ἀπέρχεσθε, καὶ

πικρὰς ὠδῖνας ἔχουσαι (Λ 271)

ἀντὶ τοῦ ἐπέχουσαι, καὶ τὸ

οἵ σφιν γείτονες ἦσαν (ι 48)

ἀντὶ τοῦ ἀστυγείτονες. καὶ ἀνάπαλιν παρὰ προθέσεις ἐλλείποντα ῥήματα,

πάρα δ' ἀνήρ, ὃς καταθήσει (π 45).

ἀλλ' ἄνα, εἰ μέμονάς γε (Ι 247). — 547

Ἀλλ' οὐδὲ τὸ φρονῶ πάλιν ῥῆμα συστήσεται. παρὰ γὰρ τὸ φρήν καὶ τὴν τούτου γενικὴν φρενός ἀπετελεῖτό τι φρενῶ, καθὸ καὶ παρὰ τὴν ἑνός φωνὴν ἑνῶ που γίνεται. οὐ δὴ οὖν ἔστι θαρρῆσαι, ὡς κατὰ πάθος τὸ ε̄ εἰς τὸ ο̄ μετετέθη ἐν τῷ φρονῶ. οὐ γὰρ ἦν ἡ αὐτὴ ἔννοια, εἴγε τὰ πάθη οὐ τῶν λεκτῶν, τῶν δὲ φωνῶν. ἄλλως τε τὸ μετατίθεσθαι τὸ ε̄ εἰς τὸ ο̄ ἐν βαρυτόνοις ῥήμασίν ἐστι, φέρω φορῶ, πέρθω πορθῶ, νέμω νομῶ. ἔχει οὖν τὰ τῆς καταστάσεως τῇδε. τὸ φρήν πάλιν

ARGVM. 5 velut ἠνορέα ex εὐηνορέα factum est,

TESTIM. 10 cf. An. Ox. II, 444, 11. Et. M. 9, 46. — 14 cf. Et. M. 432, 77.

DISCR. SCRIPT. 5. νοούμενον ἁπάντοτε, οὐ b GFSchoemann, νοούμενον, ἁπάντοτε οὐ (vel οὐ πάντως?) RSkrzeczka | 5—6. πόθεν γάρ; interpunxit b, interrogationis signum delevit RSkrzeczka | 7. τὸ ἠνορέα συστήσεται ἢ ἀνερία A b, τὸ ἠνορέα συστήσεται; ἀλλ' ἢ ἀνερία RSkrzeczka, οὐκ ἠνορέη συστήσεται ἀλλ' ἀνερία GFSchoemann, interrogandi signum post ἀνδρία pro puncto posuit RSchneider | 8. τηδε A | 15. ποιητοισι A | 16. ἐν add. b | post γαρ fol. 121 r. | ἐν τοῖς εὖ b, εὖ habet etiam L, sed nescio an ex coniectura addiderit | 20. ερχεσθ' A | 29. αποτελειτο A

συντιθέμενον τὸ η̅ εἰς τὸ ω̅ μεταβάλλει, φρήν ἄφρων, σώφρων. ἐγίνετο δὲ πάμπολλα πάλιν τοιαῦτα ῥήματα ὀνοματικά, ὡς παρὰ τὴν εὐδαίμονος γενικὴν γίνεται τὸ εὐδαιμονῶ, παρά τε τὴν ἀγνώμονος τὸ ἀγνωμονῶ. παρὰ τὴν ἄφρων οὖν εὐθεῖαν ἐγίνετο ἀφρονῶ, κατὰ στέρησιν τοῦ φρονεῖν. ἐπεὶ δὲ τὰ ἐν στερήσει παραλαμβανόμενα καὶ ἐν καταφάσει παραλαμβάνεται, ἀφαιρουμένης τῆς στερήσεως, τὸ φρονῶ ἐγίνετο εἰς κατάφασιν τοῦ ἀντικειμένου τοῦ ἀφρονεῖν. — Εἰ δέ τις [καὶ] τὸ ἀκριβὲς ἐπιστήσειε, καὶ τὸ ἀψευδής καὶ ἔτι τὸ ἀσαφής πρότερα ἂν εὕροι τοῦ ψευδής καὶ σαφής [ἀλλὰ φήσει τις ὅτι, εἴπερ δοίημεν παρὰ τὸ ψευδῶ καὶ σαφῶ τὰ ὀνόματα ἐγίνετο]. τὰ δὴ ἐν ὀξείᾳ προφορᾷ καὶ ἐν κλίσει τῇ διὰ τοῦ η̅ς̅ ἐκ ῥημάτων παραγόμενα κατὰ σύνθεσιν παραλαμβάνεται. παρὰ τὸ σεβῶ εὐσεβής, παρὰ τὸ πήσσω πρωτοπαγής, καὶ ἴσως παρὰ τὸ ψεύδομαι ἦν τι ἀψευδής, καὶ εἰς κατάφασιν πάλιν τοῦ ψεύδεσθαι ψευδής ἐγίνετο. — Τούτων οὖν τῇδε ἐχόντων, προϋπάρχοντος ῥήματος τοῦ ἀεκάζω, προϋπάρχει τὸ ἐπίρρημα τὸ ἀεκαστί, ἀφ' οὗ τὸ πεπονθὸς τὸ ἀέκητι. καὶ ⟨ἐπεὶ⟩ συνήθως πάλιν ἐκ συνθέτων ἁπλᾶ ἐγίνετο, καὶ μάλιστα ἐν ⟨ἐλ⟩λείψει τῆς α̅ στερήσεως, πιστούμεθα ὅτι καὶ ἐκ παρασυνθέτου τοῦ ἀέκητι ἁπλοῦν παρελαμβάνετο τὸ ἕκητι. οὐκ ἄρα ἄπορον τὸ σχῆμα, δόκησιν ἔχον συνθέσεως, τὸ τοῦ ἀέκητι.

548 Ἑξῆς ῥητέον καὶ περὶ τοῦ ὑπόδρα, περὶ ⟨οὗ Τρύφων⟩ ἐν τῷ περὶ ἐπιρρημάτων (p. 47 Velsen) φησίν, ὡς οὐ δεόντως ⟨βαρεῖαν τάσιν⟩ ἀνεδέδεκτο. «τὴν γὰρ ἀποβολήν» φησι «φυλακτ⟨ικὴν εἶναι⟩ τοῦ τόνου. τὸ ἄναξ, ἀποβαλὸν τὸ ξ̅, φυλάσσεται κ⟨ατὰ τὴν⟩ αὐτὴν τάσιν,

Ζεῦ ἄνα Δωδωναῖε (Π 233)

καὶ κατὰ κλητικὴν τὸ γύναιξ, ἐν τῷ ὦ γύναι· ἔτι τὸ γάλαξ, ἀφ' οὗ γενικὴ ἡ γάλακτος, ὅτε γίνεται πάλιν γάλα. ὅθεν εἰ καὶ τὸ ὑποδράξ ἐν ὀξείᾳ τάσει ἐστί, σαφὲς ὅτι καὶ τὸ ἐν ἀποβολῇ τοῦ ξ̅ πάλιν τὸν ἐπόντα τόνον φυλάξει.» — Τὸ τοιοῦτόν τινες ἐπιλύονται, φάμενοι μὴ ἐν ἀποβολῇ τοῦ ξ̅ τὸ ὑπόδρα γεγενῆσθαι, συνδέσμων δὲ παραπληρωμα-

---

ARGUM. 4 φρονῶ ab ἀφρονῶ derivatur, — 8 ψευδής σαφής ab ἀψευδής ἀσαφής. — 20 Trypho ὑπόδρα non recte accentum retrahere censet, cum ex ὑποδράξ ortum sit. — 29. Alii ex ὑπὸ δή ῥα conflatum esse putant.

DISCR. SCRIPT. 7. καὶ delevit GUhlig, 'malim κατὰ τὸ ἀκριβές' b in var. lect. | 8. ευρη A | 9. ἀλλὰ — 10 ἐγίνετο eiecit GFSchoemann | 10. τὰ γὰρ sitne pro τὰ δὴ scribendum dubitat GFSchoemann | προφοραι A | 11. τη A | η̅ς GDronke GFSchoemann, ευ̅ς Ab in textu, 'fortasse leg. ου̅ς' b in var. lect | παραγόμενα GFSchoemann, ἀναγόμενα Ab | 13. τοῦ b, το A | 14. Τουτων ante lin. A | τηδε A | 15. αεκηςτι A | 16. post καὶ lacunam indicavit b in textu, sed nullum eius vestigium in A, καὶ ⟨ἐπεὶ⟩ vel κἀπεὶ b in var. lect., καὶ ⟨ἐπεὶ⟩ etiam GFSchoemann | 17. λείψει Ab 'Fort. ἐλλείψει' b in var. lect. | 18. θετου litterae in voce παρασυνθέτου in rasura A[1] | 'Fort. παρελαμβάνετο' b in var. lect., κατελαμβάνετο Ab | 19. τὸ τοῦ ἀέκητι GFSchoemann, ἐκ τοῦ ἀέκητι Ab, ἐπὶ τοῦ ἀέκητι RSkrzeczka | 20. lac. expl. b | lac. expl. b in var. lect. | 21. 22. lac. expl. b 25. κλιτικην A | 28. ἐπόντα b, επιοντα A

τικῶν ἐν ὑποςτολῇ τοῦ η̄ παραθέςει, τοῦ ἐντελοῦς ὄντος ὑπὸ δή ῥα ἰδών. «οὐδὲ γὰρ πιθανόν, παρακειμένου τοῦ ἰδών, τὸ ὑποδράξ παραλαμβάνειν· ἐν γὰρ τῷ ὑποδράξ ἔγκειται τὸ ὑπιδών.» ὥςτε κατ' αὐτοὺς μηδ' ἐπίρρημα εἶναι τὸ ὑπόδρα, παράθεςιν δὲ προθέςεως καὶ παραπληρωματικῶν ςυνδέςμων, ὥςτε τὴν ὑπό τῷ ἰδών ςυντάςςεςθαι, καὶ εἶναι τὸ ἑξῆς ὑπιδών, τοῦ ῥά καὶ τοῦ δή μίαν καὶ τὴν αὐτὴν ἐχόντων δύναμιν. — Ἀλλ' ἔςτι γε πρὸς ἀμφοτέρους τοὺς λόγους φάναι. Καὶ πρὸς μὲν τὸν πρότερον, ὡς οὐκ ἔςτιν ἀληθές, ὡς τὰ ἐν ὑποςτολῇ τῶν ςυμφώνων, ἵνα μὴ μερικώτερόν τις ἐπὶ τοῦ ξ̄ διαλάβῃ, πάντοτε φυλακτικά ἐςτι τοῦ τόνου, εἰ μὴ ὁ τύπος ὁ ὑπολειπόμενος παραδέχοιτο τὸν τόνον. οἷον τὸ πολλάκις ἢ δεκάκις ἢ τὰ τοιαῦτα ἐν ἀποβολῇ τοῦ ς̄ οὐ κωλύεται μένειν κατὰ τὸν αὐτὸν τόνον, εἴγε ἄπειρα τὰ εἰς ῑ λήγοντα ἐπιρρήματα κατὰ βαρεῖαν τάςιν· τὰ δὲ ὀξυνόμενα ἔν τινι τηρήςει ἐςτὶ κατὰ τὴν ὀξύτητα, περὶ ὧν ἐκτεθείμεθα καὶ ἐν τῷ περὶ τοῦ ἕκητι. τούτῳ γὰρ τῷ λόγῳ καὶ τὸ χωρίς, ἀποβαλὸν τὸ ς̄, οὐκ ἐφύλαξε τὴν ἐπὶ τοῦ τέλους ὀξεῖαν, ἀνεβίβαζε δέ, οὐχ ὑποπῖπτον τῇ ὀξύτητι τῶν εἰς ῑ ληγόντων ἐπιρρημάτων, ἐν τῷ

χῶρι διατμήγουςιν (Callim. fr. 48 Bentley Schneider). 549

ἔφαμεν δὲ καὶ αὐτὸ τὸ ἕκητι εὐλόγως ἀναβεβιβακέναι τὸν τόνον. ἀλλὰ καὶ ἐπὶ τοῦ οὕτως· ἡνίκα ἀποβάλλεται τὸ ς̄ ἐν τῷ οὕτω, οὐκ εἴργεται τῆς βαρύτητος τῆς κατὰ τὰ εἰς ω̄ς̄, ἐπεὶ πάμπολλα τὰ ἐν βαρείᾳ τάςει. καὶ ἐπ' ὀνομάτων δὲ ἔςτι τὸ αὐτὸ παραςτῆςαι, καὶ ἐπ' ἄλλων μερῶν λόγου, εἴγε, ὡς ἔφαμεν, τὸ ςυνεληλαςμένοι, ἐνδεῆςαν του ς̄, ἀναγκαίως ἀνεβίβαζε τὸν τόνον, τὸ δεςπότης, τὸ ἐργάτης. τό γε μὴν ςυγχεῦαι ⟨δεῖ φυλάςς⟩ειν τὸν αὐτὸν τόνον. ἀναγκαίως δὲ καὶ τὸ ἄναξ, ⟨ἀποβαλὸν⟩ τὸ ξ̄, τὸν αὐτὸν τόνον φυλάςςει. πολλαὶ γὰρ αἱ εἰς ᾱ ⟨βαρυνόμενον⟩ κλητικαὶ τῶν ἀρςενικῶν, Ὀρέςτα, Θυέςτα. καὶ αὐτὸ δὲ ⟨τὸ τοῦ ἄναξ⟩ πάθος ἀνάλογον, ἐν οἷς τῆς μὲν εὐθείας τὸ ξ̄ οὐκ ἀφείλετο,

---

Argum. 7 Sed Trypho fallitur; nam voces, in quibus consona supprimitur, accentum non servant, nisi ubi forma ita facta eiusdem accentus patiens est; — 19 iure igitur ὑπόδρα accentum retrahit, quod non in iis adverbiis est in ᾱ exeuntibus, quae accentum retrahunt.

Discr. script. 1. 'Concinnius legeris παραθέςει' b in var. lect., παράθεςις Ab in textu | 9. 'Malim διαλάβῃ' b in var. lect., διαλάβοι Ab in textu | 10. εςτιν A | 11. οιον το A, τὸ b | 13. τάςιν· τὰ δὲ GUhlig, τάςιν, τά τε Ab | εν τηνι, sed altera η litterae lineola deleta, ut sit εν τινι, A; 'fort. leg. ἔν τινι' b in var. lect., idem coniecit GFSchoemann, ἐν τηνι b in textu, μόνον ἐν τῇ τοῦ ς̄ GDronke | 15. τουτω γαρ τω λογω A | εφυλαξεν A | 19. αναβεβηβακεναι A | 20. ἐπὶ τοῦ οὕτως· sic interpunxit RSchneider, ἐπὶ τοῦ οὕτως, b, ἐπὶ τοῦ οὕτως, ⟨ὡς⟩ RSkrzeczka, ἔτι τὸ οὕτως GDronke margini exemplaris sui adscripsit | 23. τοῦ b, το A | 24. ςυγχεῦαι GFSchoemann, ςυγχεύας Ab, post hanc vocem fol. 122r. | ⟨δεῖ φυλάςς⟩ειν vel ⟨δεῖ τηρ⟩εῖν GFSchoemann, ⟨δεῖ ἀναμέν⟩ειν vel ⟨ἀναμέν⟩ει RSkrzeczka | 26—27. ⟨βαρυνόμενον⟩ b | 27. κλιτικαι A | supra alteram ν in αρςενικων voce adscriptum ·/., quo indicetur aliquid h. l. intercidisse, et in margine haec esse videntur ονοματα δοτικα, sed vix legi possunt | 27—28 lac. expl. b

κλητικῆς δὲ τῆς δυναμένης καὶ εἰς ᾱ λῆξαι, ὡς ἀνάπαλιν ⟨οἰ⟩κείως ἐπὶ τοῦ γάλαξ τὸ ξ̄ ἀπέβαλλεν, ἀνεφίκτου οὔσης τῆς εἰς ξ̄ καταλήξεως, ἐπεὶ οὐδὲν οὐδέτερον εἰς διπλοῦν λήγει. — ἄπειρος ἡ εἰς τὸ τοιοῦτον παράθεσις. ὅθεν χωρητέον καὶ ἐπὶ τὸν προκείμενον λόγον.

Τὸ δὴ ὑπόδρα δύναται μὲν καὶ κατὰ φύσιν εἰς ᾱ λήγειν, δύναται δὲ καὶ κατ' ἔλλειψιν τοῦ ξ̄ ἐξενεχθὲν τάσιν ἀνάλογον ἀναδεδέχθαι. — ἐντελὲς μὲν οὖν ἐστὶν ἐν τῇ ληγούσῃ, εἰ τῇδε εἴη ἐσχηματισμένον. τὸ δρῶ σημαίνει καὶ τὸ ὁρῶ, ἀφ' οὗ καὶ τὸ δρωπάζειν, καὶ τὸ δραπέτης ὁ ἐπιβλέπων τοὺς δεσπότας. καὶ σαφὲς ὅτι ἐγένετο ἐπίρρημα εἰς ᾱ περατούμενον, ὅμοιον τῷ ἀντῶ ἄντα, ἠρεμῶ ἠρέμα· ἀφ' οὗ σύνθετον τὸ ὑπόδρα. — δύναται δὲ καὶ παρὰ τὸ δρῶ εἶναι τὸ ἀκόλουθον ὅρα, καθότι εἴπομεν καὶ τῷ ἀντῶ ἄντα παρακεῖσθαι, σιγῶ σῖγα. ὃ δὴ πλεονάσαν τῷ δ̄ ἐγένετο ὑπόδρα, καθότι καὶ ἐν τῷ μίγα τὸ μίγδα, ὃ δὴ πάλιν παρέκειτο ῥήματι τῷ μίσγω· τῆς συναλοιφῆς Ἰωνικωτέρας γενομένης, καθότι καὶ ἐπὶ τοῦ ἀπηλιώτης. — Ἀλλ' εἰ καὶ ἀπὸ τοῦ ὑποδράξ εἴη, ὅπερ πάλιν τῷ δέρκω παράκειται, ὡς ἐν τοῖς ἑξῆς δεδείξεται, δύναιτο ἄν, καθὼς ἐπεδείξαμεν, καὶ ἐν ἀποβολῇ τοῦ ξ̄ γενόμενον βαρεῖαν τάσιν ἀναδέξασθαι. πρῶτον μὲν γὰρ οὐκ ἀνέφικτον τὸ πάθος, ἐπεὶ οἱόντε καὶ εἰς ᾱ λήγειν ἐπιρρήματα. ἀλλ' ἐπεὶ τὰ εἰς ᾱ λήγοντα ὀξυνόμενα ὑποπίπτει λόγοις τοιούτοις, συνέχουσι τὴν ὀξύτητα τοῦ ᾱ, καθὼς ἐν τοῖς ἑξῆς εἰρήσεται, ὡς τὰ μὲν εἰς δα παρακείμενα τοῖς εἰς δον ὀξύνεται, τά τε ὁμοφωνοῦντα ὀνομαστικῇ πληθυντικῇ οὐδετέρᾳ, καὶ ὥς τινα τῶν εἰς θα· τὰ γὰρ μὴ οὕτως ἔχοντα ἐν βαρείᾳ τάσει εἰσίν, ὥσπερ τὸ αἶψα, τὸ τάχα, ῥίμφα, ὄφρα· δῆλον ὡς καὶ τὸ ὑπόδρα, οὐ

Argvm. 5 Sed fortasse non est decurtatum: potest enim ex δρῶ = δέρκομαι ortum esse, — 11 vel ex ὑπ- ὅρα, π̄ ionico more non mutata.

Testim. 7 Schol. B ad A 148 *ὁ μὲν Ἀπολλόδωρος* (*Ἀπολλώνιος* scr. ALentz) *δύο λέγει παραγωγάς, [ὁ δὲ Ἡρωδιανὸς μίαν] ὡς ἀπὸ περισπωμένων, οὕτως· ὥσπερ γὰρ ἀπὸ τοῦ ἠρεμῶ γίνεται ἠρέμα καὶ ἀπὸ τοῦ σιγῶ σῖγα, . . οὕτω καὶ ἐκ τοῦ ὁρῶ καὶ τῆς ὑπό προθέσεως γίνεται ὑπόρα, καὶ πλεονασμῷ τοῦ δ̄ ὑπόδρα, τὸ ὑφορᾶσθαι. ἔστι δὲ καὶ ἄλλως· ἔστι γὰρ δρῶ, καὶ σημαίνει τὸ βλέπω, ἐξ οὗ καὶ δρᾶσις καὶ δρᾶμα . ἐκ τοῦ οὖν δρῶ γίνεται δρᾶ, καὶ μετὰ τῆς ὑπό προθέσεως ὑπόδρα, τὸ ὑποβλέπειν· καὶ δραπέτης οὖν ἐξ αὐτοῦ . ὁ δὲ Ἡρωδιανὸς κτλ. . . τὸ δὲ ὑποδράξ ἀποβαλὸν τὸ σύμφωνον ἀνεβίβασε τὸν τόνον, ὥσπερ ἀνυστής ἀνύτης, δεσποστής δεσπότης κτλ.* Cf. Ep. Hom. 420, 8. Et. M. 781, 47 (ubi eodem modo *Ἀπολλώνιος* nomen corruptum; praeterea pro *ἀπὸ περισπωμένων* legitur *ἀπὸ παρακειμένου*, quod Lentz Herod. II 191 sic correxit *ὁ μὲν Ἀπολλώνιος*). Et. Gud. 544, 14. — Cf. Et. Or. 47, 20. Et. M. 285, 40. 287, 6.

Discr. script. 1. ⟨οἰ⟩κείως b, ἡ εὐθεῖα coniecit GDronke | 2. ἀνεφίκτου οὔσης GDronke, ἀνέφικτος οὖσα Ab | 12. τῷ GDronke GFSchoemann, τὸ Ab | 13. τῷ δ̄ b, το δ A | 14. ῥήματι τῷ b, τω ρηματι το A | συναλειφης A | 16. τῷ b, το A | 17. δυναιτο αν in rasura A | 20. συνεχουσιν A | 22. 'leg. videtur οὐδετέρᾳ' b in var. lect., οὐδέτερα id. in textu A | 23. ουτως supra lin. alio atram. A^2

πῖπτον ὑπὸ τὸν λόγον τῶν ὀξυνομένων, τὸν τῶν βαρυτόνων ἐπιρρημάτων τόνον ἀναδέξεται. πρόκειται αὕτη ἡ ἀπόδειξις ἔν τε τῷ περὶ τοῦ ἀέκητι καὶ τοῖς κατειλεγμένοις κατὰ τὰς αἰτίας τῶν συμφώνων τῶν ἀναβιβαζόντων τὸν τόνον.

Πρὸς δὲ τοὺς φαμένους μηδὲ ὅλως αὐτὸ ἐπίρρημα εἶναι, σύνδεσμον δὲ παραπληρωματικόν, ἔστιν ἀποφήνασθαι ὡς πρῶτον μὲν βιά⟨ζονται⟩ συγκοπὰς συνδέσμων παραδεχόμενοι, ὅπερ οὐκ ἂν ἔχοιεν ἐπιδεῖξαι. καθόλου γὰρ πᾶν πάθος ἐξ ὁμοίου πάθους κατορθοῦται. ὁ γὰρ λέγων περὶ συγκοπῆς τῆς ἐν ὀνόμασι, συγκοπὴν ἐπιδείξει καὶ ἐν ἑτέροις ὀνόμασι καὶ ἐν ἐπιρρήμας⟨ι καὶ⟩ ῥήμασι. παρὰ γοῦν Αἰολεῦσι συνεχέστερον μὲν αἱ προθέσεις συγκόπτονται, οἱ δὲ σύνδεσμοι οὐκ εὐθετίζονται μὲν εἰς συγκοπάς, εἰς δὲ συναλοιφάς. — ὅ τι δέ ἐστι τὸ ἐμποδίζον τὸ τὴν αὐτὴν σημασίαν ἐν παραλλήλοις κεῖσθαι, ὅπου γε καὶ ἄλλα πλεῖστά ἐστιν ἐν παραλληλότητι κείμενα, ὡς τὸ

ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε (Α 361),

καὶ ἐν ἀντωνυμίαις

κὰδ δέ μιν αὐτόν (Φ 318),

καὶ ἐν συνδέσμοις

καί τε χαλιφρονέοντα (ψ 13),
ἤτοι μὲν Μενέλαος (Γ 213), 551

καὶ ἐν προθέσει

ἀμφὶ περὶ κρήνην (Β 305),
προπροκυλινδόμενοι (Χ 221)·

καὶ ἐν συνθέτῳ πολλάκις ἁπλᾶ ἐπιφέρεται τὰ αὐτά,

οὐδέ τί ⟨μοι⟩ ποδάνιπτρα ποδῶν (τ 343),
κατὰ μεγαλήτορα θυμόν (ι 299).

καὶ σαφὲς ὅτι τοῖς τοιούτοις ὑποπέπτωκε τὸ ὑπόδρα ἰδών. πρὸς οἷς ὑπάρχει ἡ αὐτὴ σύνταξις τοῦ ὑπιδὼν τῷ ὑπόδρα ⟨ἰδών⟩, ὡς ἀμφοτέρων τῶν ῥημάτων τὸ αὐτὸ δηλούντων.

Καὶ τοσαῦτα μὲν περὶ τοῦ ὑπόδρα, ὡς εἴη ἐπίρρημα.

Argum. 5 Qui ὑπόδρα coniunctionem completivam esse censent ex ὑπὸ δὴ ῥα ortam, ostendere debent, coniunctiones syncopen omnino pati. — 12 Nihil impedit ne in ὑπόδρα ἰδών videndi notio bis insit: id enim non abhorret ab Homeri consuetudine.

Discr. script. 1—2. επιρρηματον A | 3. τοῖς κατειλεγμένοις GDronke in marg. exemplaris sui, τῶν κατειλεγμένων Ab | συμφώνων τῶν GDronke, συμφώνων καὶ Ab, συμφώνων RSkrzeczka | 5. φαμένους b, εφαμεν ους A sequitur fol. 122 v. | 10. ἐπιρρήμας⟨ι καὶ⟩ vel ἐπιρρήμας⟨ι,⟩ RSkrzeczka, επιρρημας in fine versus A, ἐπίρρημας⟨ιν⟩ b, ἐπιρρήμας⟨ι καὶ ἐν⟩ EEgger, qui fallitur dicens in A esse επιρρημα | 12. συναλειφας A | ὅ τι Ab, 'aptius fuerit τί' b in var. lect. | 14. ἐστιν Ab in var. lect., ἐστι b in textu | 15. ωνομαζεν A | 17. αυτων A | 23. προπροκυλινδόμενοι b, προκυλινδομενοι A, προπροκυλινδόμενος Homerus | 25. μοι deest A | 28. τῷ ὑπόδρα ἰδών GFSchoemann, τὸ ὑπόδρα Ab, πρὸς τὸ ὑπόδρα vel ἐν τῷ ὑπόδρα RSkrzeczka

Ὅτι δὲ καὶ τὸ πύξ καὶ τὸ λάξ καὶ τὰ τούτοις ὅμοια σχήματα οὐ πάντως διὰ τὴν μετάληψιν τὴν εἰς τὸ πυγμῇ, καθότι τινὲς ᾠήθησαν, ὀνόματα ἂν εἴη, σαφὲς ἐκ τοῦ ἐπὶ ῥῆμα φέρεσθαι πάντοτε τὰς φωνάς, καθότι καὶ τὰ ἄλλα τῶν ἐπιρρημάτων, καὶ ἐκ τῆς παρεπομένης ἀκλισίας ἐπὶ τὰς πτώσεις καὶ τοὺς ἀριθμούς, ὅπερ παρεπόμενον ἦν, ὡς πρόκειται, τῷ ἐπιρρήματι. καὶ γὰρ ἂν τὰ ὀνόματα ἐπὶ τὰ ῥήματα φέρηται, ἀλλ' οὐ κατὰ τὴν αὐτὴν ἔννοιαν οὐδὲ καθ' ἕνα σχηματισμόν. ἀλλ' οὐδὲ ἐκεῖνο θαρσήσειέ τις φάναι, ὡς καὶ ἄλλα ὀνόματα ἄκλιτα ἂν εἴη, καὶ οὐ παρὰ τοῦτο ἐπιρρήματα, εἴγε τῆς ἀκλισίας ἐκείνων λόγον ἔστιν εὑρέσθαι, λέγω τοῦ πέντε ἢ ἕξ καὶ τῶν τοιούτων, ⟨ἢ κα⟩ὶ τῶν στοιχείων, ὡς κατὰ τὸ δέον ἐκτεθείμεθα· οὐκ ἔστι μέντοι ἐπινοῆσαι ὄνομά τι ἐς διπλοῦν λῆγον, ὃ οὐ πάντως κλίσεως ἔτυχε. καὶ ἕνεκα κλίσεως καὶ συντάξεως τὸ μὲν πτύξ ὄνομά ἐστιν, ἐπεὶ καὶ πτυχός καὶ πτύχες· τὸ δὲ πύξ ἐπίρρημα καὶ τὸ λάξ, συντασσόμενα τοῖς ῥήμασι καὶ οὐκ ἔχοντά τιν' ἄλλην σύνταξιν ἢ τὴν ῥηματικήν.

Ἀκολούθως διαληπτέον καὶ περὶ ἐπικρίσεως τοῦ πέντε καὶ τῶν
552 τοιούτων, μὴ ἄρα καὶ αὐτὰ διὰ τὴν παρεπομένην ἀκλισίαν ἐπιρρήματα ὑπολάβῃ τις ἀριθμοῦ δηλωτικὰ εἶναι. — Διότι μὲν οὖν, ὀνόματα ὄντα, ἄκλιτά ἐστιν, ἐντελέστερον μὲν εἴρηται ἐν τῷ περὶ ἀντωνυμιῶν, ἔνθα καὶ ἐπεδείκνυμεν, καθ' ὃν λόγον αἱ ἀντωνυμίαι ἄκλιτοι, ὡς ἕνεκά γε τῶν παρεπομένων φωνῶν. ἦν δὲ τὰ συνεκτικὰ τῶν λόγων, ὡς τὰ διὰ μιᾶς φωνῆς τριγένειαν ὑπαγορεύοντα οὐκ ἐφικτὰ εἰς κλίσεις. καὶ ἕνεκά γε τούτου τὸ μὲν τρεῖς καὶ τέσσαρες καὶ εἴ τις τοιοῦτος ἀριθμὸς ⟨οὐ⟩ μοναδικὸς κατὰ τριγένειαν, ἐκλίνετο, τὰ δὲ πέντε καὶ τὰ ὅμοια οὐκέτι. — ἄλλως τε καὶ οἱ κανόνες τῶν ὀνομάτων ἀρχὴν ἔχουσι τὴν θέσιν τῆς λέξεως, ὅτε φαμὲν τὰ εἰς $\overline{\text{ω}}$ λήγοντα ἢ εἰς $\overline{\text{υξ}}$ ἢ εἰς $\overline{\text{αξ}}$, ἢ ὅτε φαμὲν τὰ πληθυντικὰ εἰς $\overline{\text{αι}}$ λήγειν ἢ εἰς $\overline{\text{ες}}$ ἢ εἰς οἱ, ἐφ' ὧν τὸ δέον παρελαμβάνετο κατὰ τὰς κλίσεις. τὸ δὲ πέντε καὶ ἕξ οὐκ ἔχεται ἀρχῆς κανονικῆς· ποῖον γὰρ πληθυντικὸν εἰς $\overline{\text{εξ}}$ λήγει; ποῖον δὲ πληθυντικὸν εἰς $\overline{\text{ε}}$ λήγει; καὶ τὸ τοιοῦτον ἐντελέστερον ἐπιδειχθήσεται ἐν ἑτέροις. ἔνθεν οὖν ὑπεχώρησαν οἱ κανόνες, οὐ δυνάμενοι κατὰ τῶν

Argum. 1 Πύξ et λάξ adverbia esse apparet, quod et semper cum verbo coniunguntur et indeclinabilia sunt. — 16 Numeralia indeclinabilia quamquam non flectuntur, tamen nomina sunt. — 21 Nam quae una voce tria genera indicant, non flectuntur. Neque ulla est regula, ad quam dirigi possint. Mirum igitur non est, illa non flecti.

Discr. script. 1. inscriptio περι του πυξ και λαξ και των ομοιων maiusc. A | 4. ακλισ̄ A | 6. φερεται A | 8. litterae εντις in θαρσησειεντις in rasura alio ut videtur atram. in A | 9. εκεινον A | 10. lac. expl. b, post τοιουτων incipit fol. 123 r. | 15. 'fort. leg. ἔχοντά τιν' ἄλλην' b in var. lect., ἔχοντα τὴν ἄλλην Ab in textu | 24. οὐ RSkrzeczka, idem GDronke in margine adscripserat

ἰδίων παραλαμβάνεcθαι λημμάτων. — φαμὲν κἂν τοῖc προκειμένοιc, ὅτι ἑτέρα μὲν cύνταξίc ἐcτιν ἡ τῶν ἐπιρρημάτων πρὸc τὰ ῥήματα, ἑτέρα δὲ ἡ τῶν πτωτικῶν ὡc πρὸc τὰ ῥήματα. τῇδε οὖν τούτων ἐχόντων, φαμὲν οὕτωc, πεντάκιc παρεγένετο, τετράκιc παρεγένετο, οὐ μὴν ἔτι οὕτωc, πέντε παρεγένετο, ὅπερ εἰ μὴ ὀνοματικὸν εἴη, κἂν καθ' ἕνα cχηματιcμὸν εἶχε τὸ πέντε ὡc πρὸc τὴν τῶν ῥημάτων cύνταξιν. φαμὲν δὲ [τὰ] πέντε παρεγένοντο, cυμπληθυνομένου τοῦ ῥήματοc ὡc πρὸc τὸ ὄνομα, ὡc εἰ καὶ ἄνθρωποι παρεγένοντο.

Τὸ ὄφελον οἱ μὲν κατὰ cυνεκδρομὴν ῥήματόc φαcι κεκλίcθαι παρὰ τῷ ποιητῇ εἰc πρόcωπα, εἴγε καὶ τὸ δεύτερον ὄφελεc καὶ τὸ τρίτον ὄφελεν· οἱ δὲ ἐκ ῥήματοc ὑποcυγκεκόφθαι τοῦ ὤφειλον, «διὸ κατὰ τὴν τοῦ ἀπαρεμφάτου cύνταξιν ⟨οὐκ⟩ ἐν παραλληλότητι αὐτὸ τίθηcι τῷ εἶθε, 553

αἶθ' ὤφ⟨ελλεc⟩ (Ξ 84).»

Φαίνεται δὲ ὅτι καὶ τὸ δεῦρο, ὁμοίωc ὂν ἐπίρρημα, ἐχόμενον δὲ ὡc προcτακτικῆc ἐννοίαc, κατὰ cυνεκδρομὴν πάλιν ὡc ἀριθμὸν ἀνεδέξατο ἐν τῷ

δεῦτε, φίλοι· τὸν ξεῖνον ἐρώμεθα (θ 133).

ᾧ λόγῳ καὶ τὸ ἄγε ἄγετε.

«Τὰ εἰc $\overline{\text{ων}}$ λήγοντα, ὀνόματα μὲν ὄντα, παραcχηματιcμὸν ἔχει ἤτοι ἐν κοινότητι ὡc ὁ cώφρων ἡ cώφρων, ὁ γείτων ἡ γείτων, ἢ ἐν καταλήξει τῇ εἰc $\overline{\text{να}}$, Λάκων Λάκαινα, δράκων δράκαινα· οἷc μέντοι παράκειται θηλυκὰ εἰc $\overline{\text{cα}}$ λήγοντα, τούτοιc παρέπεται τὸ εἶναι μετοχάc,

Argum. 1 Si adverbia essent, cum singulari et plurali verborum nullo discrimine construerentur: atqui construuntur cum uno plurali. Nomina igitur sunt. — 9 Ὄφελον alii proprie adverbium esse putant, alii genuinum verbum. — 15 Eodem modo δεῦρο, quod ipsum quoque adverbium est, pluralis formam adsumpsisse videtur. — 20 Ἀκέων quidam participium esse putant, ut quod declinetur.

Testim. 15 Ep. Hom. 3, 5 *ὥσπερ γὰρ τὸ δεῦρο, ὁμολογουμένως ὂν ἐπίρρημα, ἐχόμενον δὲ προστακτικῆς ἐννοίας, κατὰ συνεκδρομὴν ἀναδρομὴν* (*ἀριθμὸν* scr. RSchneider) *ἀνεδέξατο*, ∴ . *οὕτως τὸ ἄγε, ἐπίρρημα ὄν, κατὰ συνδρομὴν* (*συνεκδρομὴν* scr. RSchneider) *τοῦ ῥήματος ἔσχε παρατατικὸν* (*πληθυντικὸν* scr. RSchneider) *τὸ ἄγετε*. cf. ib. 118, 10 sqq.

Discr. script. 5. ετι A, om. b in textu, supplevit in var. lect. | 7. τὰ Ab in textu, 'suspectus est articulus' b in var. lect. | cυμπληθυνομένου RSchneider, cυμπληρουμένου Ab | 12. κατὰ GFSchoemann, καὶ Ab | οὐκ GFSchoemann, post cύνταξιν complures voces, in quibus ἀναδέξαcθαι fuisse videatur, intercidisse censet RSkrzeczka | 14. lac. expl. RSkrzeczka, qui dubitat an Ω 254 afferatur | 15. ἐχόμενον δὲ nunc quidem evan. in A | 16. πάλιν ὡc b, in A litterae λιν nunc legi iam non possunt, πληθυντικὸν GDronke | 18. μεθα evan. in A | 22. ληξει A¹, κατα ab A* supra scriptum | 23. 'fort. εἰc $\overline{\text{cα}}$' b in var. lect., εισᾱ A, εἰc ᾱ b in textu

λέγων λέγουcα, φρονῶν φρονοῦcα. καὶ διὰ τούτου γε τοῦ λόγου δείκνυται, ὅτι τὸ κρείων μετοχή, ἐκ τοῦ

κρείουcα γυναικῶν (Χ 48).

ὁμολόγωc οὖν τὸ ἀκέων μετοχή· ἰδοὺ γὰρ παράκειται θηλυκόν,

ἀλλ' ἀκέουcα κάθηcο (Α 565).» —

Ἔcτι δὲ πρὸc τὸ τοιοῦτον φάναι, ὡc ταῖc μετοχαῖc πολὺ πρότερον προϋφέcτηκε ῥήματα, φέρω φέρων, φρονῶ φρονῶν. εἴπερ οὖν τὸ ἀκέων μετοχή, cαφὲc ὅτι καὶ ῥῆμα προϋποcτήcεται τὸ ἀκέω. ἀλλ' οὐδεμία ὑπόμνηcιc τοῦ ῥήματοc. — ἀλλ' ἀcύcτατον τὸ ῥῆμα· βαρυνόμενα γὰρ οὐκ ἔcτιν ἐπινοῆcαι ὑπὲρ δύο cυλλαβὰc τῷ ε̄ παρεδρευόμενα, διcύλλαβα μέντοι, πλέω, ῥέω, κέω, ἢ τὰ παρ' Ἴωcι διῃρημένα, φιλέω, νοέω. εἰ δὲ [μὴ] τὸ τοιοῦτον μὴ παρέπεται, οὐ μετοχὴ τὸ ἀκέων· οὐ γὰρ ἔχει ῥῆμα. — Τὸ δὲ μεῖζον· τὰ πτωτικὰ cυμμεταcχηματίζεται τοῖc ἀριθμοῖc, τὰ δὲ ἐπιρρήματα καθ' ἕνα cχηματιcμὸν ἐκφέρεται. τοῦ μὲν προτέρου, ἄνθρωποι ὄντεc διαλέγεcθε, ᾄδοντεc ὑμνεῖτε, διαχεόμενοι ᾄδετε· τοῦ δὲ δευτέρου, κρύβδην ᾄδετε, βοτρυδὸν παραγίνεcθε. εἴπερ οὖν καὶ τὸ ἀκέων μετοχή, cαφὲc ὅτι πρὸc μὲν
554 τὸ ἑνικὸν καθ' ἑνικὴν cύνταξιν παραληφθήcεται, ἀκέων εὐφραίνου, πρὸc δὲ τὸ πληθυντικὸν κατὰ πληθυντικήν, ἀκέοντεc εὐφραίνεcθε, ὡc ἡcυχάζων εὐφραίνου, ἡcυχάζοντεc εὐφραίνεcθε. ὅπερ οὐ παρείπετο ἐν τῷ

ἀκέων δαίνυcθε (φ 89).

ἐν ἴcῳ γάρ ἐcτι τῷ ἡcυχῇ δαίνυcθε ἢ ἡcυχῶc δαίνυcθε. κατὰ τοῦτον δὴ τὸν τρόπον ἐπιρρηματικῆc ἔχεται cυντάξεωc μᾶλλον ἤπερ μετοχικῆc. — Περὶ τοῦ μεταcχηματιcμοῦ ἐκεῖνο ἔcτι φάναι, ὡc ὁ τύποc ὡc μετοχικὸc γενόμενοc τοῦ ἐπιρρήματοc, κατὰ cυνεκδρομὴν ἔcχε θηλυκὸν παραcχηματιcμόν, ᾧ λόγῳ καὶ τὸ ἄγε, ἐπίρρημα ὄν, τῇ cυνεκδρομῇ τοῦ ῥήματοc ἔcχε παρακείμενον τὸ ἄγετε, ὡc καὶ

δεῦτε, φίλοι· τὸν ξεῖνον ἐρώμεθα (θ 133).

Argum. 6 At 1) verbum ἀκέω nunquam fuit. — 9 2) Ac ne potuit quidem esse, cum praeter verba ionice distracta nulla sint in ε̄ω̄ plus duarum syllabarum. — 13 3) Cum verbi plurali coniunctum non mutatur. — 25 Ergo adverbium est. Sed forma eius participio similis in causa fuit, cur ἀκέουcα fingeretur.

Testim. 23 cf. Ep. Cram. 22, 30 — 23, 12

Discr. script. 5. αλλα ακεουcα A | 12. εἰ δὲ RSkrzeczka, εἰ δὲ μὴ Ab, εἴ γε μὴν GFSchoemann | 15. διαλεγεcθαι A | αιδοντεc A | 16. αιδετε A | αιδετε A | 17. παραγινεcθαι A | 19. πρὸc δὲ — πληθυντικὴν abbr. A² in marg. b, om. A¹ | 24. εχετε A | 28. 'fort. legendum τοῦ ῥήματοc' b in var. lect., τοῦ ἐπιρρήματοc Ab in textu

καὶ, ὡς ἔφαμεν, τὸ ὄφελον ⟨ὑπείληπται⟩ πρὸς ἐνίων κατὰ συνεκδρομὴν γεγονέναι ῥήματος ἐν τῷ

⟨ὡς⟩ ὄφελες (ω 30),

[ὡς] εἰ μὴ τὸ ὤφειλον ὑποσυγκέκοπται. ἐν μέντοι ἐνίαις ἐκδόσεσιν ἦν θηλυκὸν τὸ ἀέκουσα,

ἀλλ' ἀέκουσα καθῆστο (Α 565). —

Ἴσως δὲ [καὶ] παράκειται τῷ ἀκήν, μετατεθέντος τοῦ η εἰς ω καὶ πλεονάσαντος τοῦ ε, ὡς ἔφαμεν, τόνου ἐγγενομένου μετοχικοῦ διὰ τὸν τύπον, καθό τινες ᾠήθησαν καὶ τὸ χρήν χρεών. τὴν εἰς τοῦτο ἀκριβῆ παράθεσιν ἐντελέστερον ἐν τῷ περὶ μετοχῶν ἐκθησόμεθα.

Καὶ περὶ τοῦ ἄνεῳ δὲ διαφορά τις κατὰ τὸν μερισμὸν εἰσήγετο πρὸς ἐνίων, ὡς εἴη μᾶλλον ὄνομα πληθυντικόν, Ἀττικῶς κεκλιμένον, ᾧ λόγῳ καὶ τὸ ι προσκείμενον. ἔχει δὲ τὰ τῆς καταστάσεως τῇδε. ἰά ἐστιν ἡ φωνή, καὶ ἴσως ἀπὸ τοῦ ἰέναι ἐπὶ πᾶσαν ἀκοήν. ἦν δὲ τὰ εἰς α λήγοντα θηλυκὰ ὀνόματα μεταπίπτοντα καὶ εἰς ος μετὰ τὰς συνθέσεις, σκιά ἄσκιος, ὥρα ἄωρος, μοῦσα ἄμουσος, ἡμέρα ἐφήμερος, πεῖρα πολύπειρος. κατὰ στέρησιν οὖν τὴν διὰ τοῦ α ἐγίνετο ἄνιος (σύνεστι δὲ ἐπ' ἐνίων στερήσεων τὸ ν, ὡς ἐπὶ τοῦ ἀναίσχυντος, ἀναιδής). καὶ εἰς εὐθετισμὸν Ἀττικῆς ἐπεκτάσεως μετάθεσις ἐγένετο τοῦ ι εἰς τὸ ε, καθάπερ καὶ οἱ ἀγχίμαχοι ἀγχέμαχοι καὶ ἡ Σικυὼν Σεκυών παρὰ Σικυωνίοις. (καὶ εἰ τὸ ἀκριβὲς τοῦ λόγου τις ἐπιζητήσειεν, ἐπὶ τούτων ἁπάντων μετάθεσιν τοῦ ι εἰς τὸ ε εὑρήσει, μάντεως ὄφεως· καὶ γὰρ αὐτὰ εἰς τοῦτο μετατίθεται ὑπὲρ Ἀττικῆς ἐπεκτάσεως)· ἀφ' οὗ πληθυντικὴ ἐκφορὰ

Argum. 7 Fortasse ex ἀκήν factum est ἀκέων. — 11 Ἄνεῳ a quibusdam pro plurali habitum est, ex ἄνιος, attice ἄνεως, declinato.

Testim. 11 Et. M. 104, 26 sqq. — 17 Ep. Cram. 42, 4 *ἄνεως· τοῦτο σχηματίζεται διττῶς· ἢ γὰρ ἐκ τοῦ ἴα ἐστί, καὶ σημαίνει τὴν φωνὴν . . μετὰ τοῦ στερητικοῦ α· ἄνιος, κατὰ πλεονασμὸν τοῦ ν, ὡς αἷμα ἀναίμων, προπαροξύνεται . . καὶ τὸ Ἀττικὸν ἄνεως. ἢ παρὰ τὸ αὔω τὸ φωνῶ γίνεται ἄναυος ὁ ἄφωνος, καὶ ἀποβολῇ τοῦ υ ἄναος . . . Ἀττικὸν ἄνεως προπαροξύνεται· κανὼν γάρ ἐστιν ὁ λέγων· ὅτε ἀπὸ ῥημάτων ἀποτελεῖται ὀνόματα σύνθετα εἰς ος λήγοντα, τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, οἷον μυκῶ δίμυκος* (*ἐρίμυκος* scr. RSchneider), *συλῶ ἄσυλος, φυτῶ νεόφυτος . οὕτως οὖν αὔω ἄναυος καὶ ἄναος.* Et. Or. 19, 35, in quo additur *οὕτως Ἀπολλώνιος ἐν τῷ περὶ ἐπιρρημάτων.* Et. M. 105, 17. Et. Gud. 56, 22.

Discr. script. 1. τὸ ὄφελον ⟨ὑπείληπται⟩ GFSchoemann, ἐν τῷ ὤφελον Ab | 2—3. ἐν τῷ ὡς ὄφελες, εἰ μὴ RSkrzeczka GFSchoemann, ἐν τῷ ὄφελες ὡς εἰ μὴ Ab; post ρηματ incipit fol. 124 r. | 4. ὤφειλον GFSchoemann, ὤφειλεν Ab | 6. αλλα αεκουσα A | κάθησο Homerus | 7. Ἴσως KLehrs, οὕτως Ab | καὶ del. RSkrzeczka | 8. εκγενομενον A | 11. ανεωι A | 13. τηιδε A | 17. δὲ Ab in textu, 'fort. γάρ' b in var. lect. | 22. μάντεως, ὄφεως GFSchoemann, μάντεος, ὄφεος Ab | αυτα — in fine versus A

Ἀττικὴ ἄνεῳ. — Ἔcτι καὶ οὕτωc φάναι. παρὰ ῥήματα ἀποτελεῖται ὀνόματα εἰc ο̅c̅ λήγοντα, τρίτην ἀπὸ τέλουc ἔχοντα τὴν ὀξεῖαν, φοιτῶ νεόφοιτοc, μυκῶ ἐρίμυκοc, αὐδῶ ἄναυδοc. οὕτω καὶ παρὰ τὸ αὔω ἄναυοc, καὶ ἐλλείψει τοῦ ῡ ἄναοc. ἀφ' οὗ τὸ Ἀττικὸν ἄνεωc, ὡc Μενέλαοc Μενέλεωc. — Ὅτι μὲν οὖν δύναται ὄνομα πληθυντικὸν εἶναι, caφὲc ἐντεῦθεν. ἀλλὰ δῆλον, ὡc καὶ Ἀριcτάρχῳ καὶ τοῖc ἀπὸ τῆc Ἀριcτάρχου cχολῆc cυνήρεcκε, τὸ μὴ μᾶλλον ὄνομα ἐκδέχεcθαι, ὡc ἐπίρρημα δὲ ἐκ τοῦ καθ' ἕνα cχηματιcμὸν ἐκφέρεcθαι καὶ ἐπὶ ἑνικῆc cχέcεωc καὶ ἐπὶ πληθυντικῆc παραλαμβάνεcθαι, ὅπερ οὐ παρείπετο ὀνόμαcι [καὶ γένουc μὴ εἶναι διακριτικόν]. — ἔcτι δέ που καὶ ἐπὶ ἑνικῆc ἐκφορᾶc τὸ τοιοῦτον,

ἡ δ' ἄνεῳ δὴν ἧcτο (ψ 93).

καὶ caφὲc ὅτι, εἰ δοθείη ἡ γραφὴ cὺν τῷ c̄, δοθείη ἂν καὶ τὸ ὄνομα εἶναι τὸ ἄνεωc· εἰ δὲ μηδεμία ἀπόδειξίc ἐcτι τῆc τοῦ c̄ προcθέcεωc, ὁμολόγωc, ὡc πρόκειται, ἐcτὶν ἐπίρρημα. — ἔcτι μέντοι γε ἐπικρῖναι τὸ cχῆμα τῷ τοῦ ὀνόματοc μεριcμῷ, ἐπεὶ ἀντικείcεται, ὡc ἀκριβέcτερον ἐν τοῖc ἑξῆc δεδείξεται, τὸ μὴ εἰc ω̅ περατοῦcθαι τὰ ἀπὸ τριγενῶν ὀνομάτων, ἀπὸ δὲ μονογενῶν. οὐ γὰρ δή γε τῷ φίλοc παράκειται ἐπίρρημα εἰc ω περατούμενον, εἰc δὲ ω̅c̅, καὶ . . . . καὶ ἐν τοῖc τοιού- 556 τοιc· τῷ μέντοι τόνοc, μονογενεῖ ὄντι, παράκειται τὸ τόνῳ. εἴπερ οὖν καὶ τὸ ἄνεωc, ἐκ κοινοῦ γεγονὸc τοῦ ἄναοc ἢ ἄνιοc, ἐπιθετικῶc παραλαμβανόμενον παράκειται ἐπιρρήματι, caφὲc ὅτι οὐκ εἰc ω περατούμενον, εἰc δὲ ωc. δεδείξεται γάρ, ὡc ἔφην, καὶ ἐν τοῖc ἑξῆc, ὡc οὐ τοῖc τοιούτοιc πάλιν τριγενέcιν οὖcι παράκειται ἐπίρρημα εἰc ω̅ περατούμενον, ἀνώτεροc ἀνωτέρω, ἐcώτεροc ἐcωτέρω.

Argum. 1 Poteris etiam sic statuere: ab αὔω derivatur ἄν-αυοc, unde ἄναοc et attice ἄνεωc, cuius illud est plurale. — 8 Contra Aristarchei pro adverbio habuerunt, quod ita ut adverbium usurpetur. Quaeritur autem, quomodo adverbium illud factum sit. Nam ut ἄνεωc exstiterit: ex eo tamen ortum esse non potest: nam in ω̅c̅, non in ω̅ exiret.

Discr. script. 1. ανεωι A | 2—3. 'Legendum φοιτῶ νεόφοιτοc' b in var. lect., φοιτω νεοφυτοc A, φύω νεόφυτοc b in textu | 6. τοῖc b, τηc A | 7. 'cυνήρεcκε τὸ malim' b in var. lect., cυνηρέcκετο Ab in textu | 9. παραλαμβάνεcθαι RSkrzeczka, παραλαμβάνετο Ab in textu, 'ea vox delenda videtur' b in var. lect. | 10. καὶ — διακριτικόν delevit RSchneider | 13. 'an c̄?' b in var. lect., quod probat GFSchoemann, ῑ Ab in textu | 18. post παρακειται fol. 124 v. | 19. post prius καὶ intercidisse fere haec ⟨τῷ εὐcεβήc καὶ τῷ ταχύc⟩ suspicatur RSchneider | 20. τῷ μέντοι b, το μεντοι A | 21. και το ανεωc A, καὶ τὸ ἄνεῳ b, τῷ ἄνεωc RSkrzeczka GFSchoemann | γεγονόc Ab, γεγονότι RSkrzeczka GFSchoemann | 21—22. παραλαμβανόμενον Ab, παραλαμβανομένῳ RSkrzeczka GFSchoemann | 22. ἐπιρρήματι GUhlig RSchneider, ἐπίρρημα τι Ab RSkrzeczka GFSchoemann | 22—23. εἰc ω περατούμενον Ab, εἰc ωc περατούμενον GFSchoemann | 23. εἰc δὲ ω̅c̅ Ab, εἰc δὲ ω̅ GFSchoemann | οὐ GUhlig, αὖ Ab

Ἐχομένωϲ ϲκεπτέον καὶ περὶ τῶν ἐν ταῖϲ φωναῖϲ ϲχημάτων.

Τὰ δὴ ἐπιρρήματα καὶ πρωτότυπά ἐϲτι καὶ παραγωγά. καὶ τὰ τούτων παραγωγὰ ἃ μὲν ἀπὸ ἐπιρρημάτων, ὡϲ παρὰ τὸ ἄνω ἀνωτέρω, ἢ παρὰ ὀνόματα, ὡϲ παρὰ τὸ βότρυϲ βοτρυδόν, ἢ παρὰ ῥήματα, ὡϲ παρὰ τὸ κλέπτω κλέβδην, ἢ παρὰ ἀντωνυμίαν, ὡϲ παρὰ τὸ ἐκεῖνοϲ ἐκείνωϲ, οὗτοϲ οὕτωϲ, αὐτόϲ αὐτόθεν, ἢ παρὰ μετοχάϲ, ὡϲ παρὰ τὸ ἐπιϲτάμενοϲ ἐπιϲταμένωϲ καὶ ἐρρωμένοϲ ἐρρωμένωϲ, ἢ παρὰ προθέϲειϲ ὡϲ ἐξ ἔξωκαὶ παρὰ τὸ ἐν ἔνδον. καθὼϲ ἔϲτιν ἐπινοῆϲαι καὶ τὰϲ τοῦ ὀνόματοϲ παραγωγὰϲ ἢ καὶ ῥήματοϲ παρὰ τὰϲ αὐτὰϲ ἰδέαϲ τῶν λέξεων παραγομέναϲ ⟨ἢ παρ' ἑτέραϲ⟩, εἴγε ἀπὸ μὲν ὀνόματοϲ ὄνομα, ὡϲ λίθοϲ λίθινοϲ, ἢ καὶ ῥῆμα, ὡϲ παρὰ τὴν εὐδαίμονοϲ εὐδαιμονῶ, ἢ καὶ παρ' ἐπίρρημα, ὡϲ ὀψέ ὀψίζω, αἰαί αἰάζω, καὶ παρὰ πρόθεϲιν, ὑπέρ ὑπέρτεροϲ, πρό πρότεροϲ, πάλιν καὶ τῆϲ τῶν ῥημάτων παραγωγῆϲ, ὡϲ πρόκειται, εἰϲ ταῦτα παραγομένηϲ.

Ἐχθέϲ ἢ χθέϲ ῥητέον; Τρύφων (p. 48 Velsen) φηϲὶν ἐν τῷ περὶ ἐπιρρημάτων τὸ ἐχθέϲ ἐντελέϲτερον εἶναι τοῦ χθέϲ Ἀττικοῦ, παρατιθέμενοϲ τὴν ἐν τοῖϲ μονοϲυλλάβοιϲ ἐπιρρήμαϲιν ἀναλογίαν, ὡϲ εἴη ἐν μακραῖϲ ϲυλλαβαῖϲ ἑκάϲτοτε, ναί, μή, ποῦ, πῶϲ, οὔ, καὶ τὰ τοιαῦτα· μηκυνόμενα 557
διὰ τοῦ διπλοῦ, γνύξ, πύξ. πιϲτοῦται δὲ καὶ ἐντεῦθεν μὴ ἐντελῆ εἶναι τό τε δίϲ καὶ τρίϲ, ἐκ δὲ τοῦ δυάκιϲ καὶ τριάκιϲ ϲυγκεκόφθαι, ἐπειδὴ τὰ εἰϲ ϲ̄ λήγοντα μετὰ βραχείαϲ ἐκφορᾶϲ ἐϲτιν ὑπὲρ μίαν ϲυλλαβήν, εἰκόϲ, ἐγγύϲ, ἐντόϲ, ἅλιϲ, ἄχριϲ, πάροϲ· ἐξ οὗ πάλιν ϲυνῆγε τὸ ἐχθέϲ ἀναλογώτερον, ἀφῃρῆϲθαι δὲ πρὸϲ τῆϲ Ἀττικῆϲ χρήϲεωϲ τὸ ε̄. — Οὐ γὰρ πάνυ ἐκεῖνο ὑγιέϲ, τὸ τὰ εἰϲ εϲ λήγοντα φάναι ῥήματα, ϲχέϲ,

---

Argum. 1 Adverbia quibus rationibus formentur. — 2 Adverbia aut primitiva aut derivata sunt. Et derivata quidem ab adverbiis nominibus verbis pronominibus participiis praepositionibus oriunda sunt. — 15 Nonnulla adverbia separatim percensentur. Trypho ἐχθέϲ pleniorem formam esse censet. — 23 Non licet argumentum, quo χθέϲ plenum esse comprobetur, petere a similibus verborum formis.

Testim. 1 cf. Schol. Dion. Thr. BA p. 936, 9—21. Prisc. XV, 5 p. 63, 7 Hertz.

Discr script. 1. inscriptio δευτερα διαλυϲιϲ διερμηνευουϲα και διαλυουϲα τα των φωνων ϲχηματα των επιρρηματων η γαρ πρωτη περι τηϲ εννοιαϲ αυτων διηλεχθη maiusc. A, διελεχθη b, qui hunc titulum scriptoris verbis inseruit | 8. 'Cod. και ωϲ, unde facias καθὼϲ' b in var. lect., ὡϲ id. in textu | 10. ἢ vel ἢ⟨καὶ⟩παρ' ἑτέραϲ vel διαφόρουϲ adiecit RSkrzeczka | 12. ωϲ A, om. b | 15. Ante ἐχθέϲ ἢ χθέϲ ῥητέον lacunam maioris ambitus statuit, et ante ἐχθέϲ inseri vult ⟨πρῶτον περὶ τοῦ⟩ GDronke; interrogandi signum post ῥητέον posuit RSchneider, punctum b | φ̸ pro φηϲιν abbr. A | 18. μηκυνουμενα A | 19. δει πλου pro διπλοῦ A | 20. ἐκ δὲ] fol. 125 r. | 23. post ἀναλογώτερον comma pro puncto posuit RSkrzeczka | 24. λήγοντα ⟨μονοϲύλλαβα⟩ GUhlig

σπές, ἔς, οἷς συνενεχθήσεται καὶ τὸ χθές, εἰ ἦν ἐντελές. ἀλλ' οὗτός γε ὁ λόγος οὐ συστήσει οὐδὲ τὴν ἔς πρόθεσιν οὐδὲ τὴν εἴς, ἐπεὶ ἀμφοτέροις τοῖς σχήμασι σύνεστι ῥηματικὴ κατάληξις. καὶ γὰρ τῷ εἴς ⟨τὸ⟩

αἵματός εἰς ἀγαθοῖο (δ 611),

καὶ τὸ [εἰς] ἔς ὅμοιον τῷ θές. τὴν τοιαύτην οὖν παράθεσιν εἰς κατόρθωσιν λέξεων παραιτητέον, ἐπεὶ πολλὰ μέρη λόγου, διάφορα ὄντα, ἔσθ' ὅτε ταῖς λέξεσι συνῳκείωνται. Ἄμεινον οὖν ἐκεῖνον τὸν λόγον παραθέ⟨σθαι,⟩ ὡς τὸ πλεονάζον ε̄ ᾠκείωται λέξεσι ταῖς ἀπὸ φωνήεντος ἀρχομέναις, ὥς τε τὸ ἀφαιρούμενον λείπειν ἐθέλει λέξιν ἀπὸ συμφώνου ἀρχομένην. ἔχει δὲ τὰ ὑποδείγματα τῇδε. τὸ ἔεδνα πλεονάζει τῷ ε̄, τὸ ἔειπεν ἀρχόμενον ⟨ἀπὸ⟩ τοῦ ε̄ [ἀπὸ] φωνήεντος, τὸ ἑώρων, καὶ εἰ μὴ διαίρεσις τοῦ ἦδε τὸ ἕαδεν, ἀπὸ δὲ τοῦ

ἅδε δ' Ἕκτορι μῦθος (Μ 80)·

ἕηκεν, ἕεις. τοῦ δὲ ἑτέρου ἔφη φῆ, ἔβη βῆ, ἐθέλω θέλω, οἱ ἐρυτῆρες ῥυτῆρες· ἔνιοι δὲ καὶ τὴν χεῖρα παρὰ τὸ ἔχειν φασὶν ἐσχηματίσθαι. τούτῳ γὰρ τῷ λόγῳ δείκνυται καὶ ἐν τῷ περὶ ἀντωνυμιῶν, ὡς οὐ πλεονάζει τὸ ε̄ ἐν τῷ ἐκεῖνος, τοὐναντίον δὲ λείπει ἡ κεῖνος φωνὴ τῷ ε̄. ἔνθα καὶ περὶ τοῦ πνεύματος ἐντελέστερον δείκνυται. κατὰ δὴ τοῦτον τὸν λόγον πάλιν ἐντελέστερον τὸ ἐχθές τοῦ χθές. συνᾴδει δὲ
558 καὶ ἡ τοῦ ἐτύμου προφορά, εἴγε παρὰ τὸ ἐκτὸς τοῦ χρόνου πεπτωκέναι τὸ κατάστημα ἐσχημάτισται, τῶν ψιλῶν ἀντιστοίχων εἰς τὰ δασέα μεταπεσόντων, καθὼς ἔστιν ἐπινοῆσαι καὶ ἐπὶ τοῦ ἔχθος· τὸ γὰρ ἀπόβλητον καὶ ἐκτὸς ἡμῶν τοιοῦτον.

Ἐχομένως σκεπτέον περὶ τοῦ εὖτε καὶ ηὖτε, καθώς τινες ἐπεχείρησαν τὸ

Argum. 7 Praestat igitur ad Tryphonis sententiam confirmandam hoc argumento uti: ε̄ redundans praefigitur vocali; ubi aphaeresis facta est, vox superest a consona incipiens. Posteriori generi tribuendum est χθές; id igitur per aphaeresin ex pleniore ἐχθές forma factum. Quocum convenit eius originatio; oriundum enim est ab ἐκτός. — 24 Εὖτε unum est simplex vocabulum ab ὅτε derivatum; ηὖτε autem per parathesin factum est ex ἅ (= ὡς) et τε coniunctione, hac in re completiva (in ceteris copulativa).

Testim. 15 cf. Et. M. 605, 50. — 20 ibid. 405, 24, quem locum ex Apollonio restituit ALentz.

Discr. script. 1. οὗτός γε b, ουτος τε A | 3. τῷ εἴς τὸ GFSchoemann, τὸ εις̄ Ab | 4. 'εἰς] Deleverim' b in var. lect. | 5. τὸ ἔς ὅμοιον GFSchoemann, τὸ ͻἰς ες̄ ὅμοιον Ab | 7. an λήξεσι pro λέξεσι scribendum sit dubitat RSchneider | συνῳκείωνται RSchneider, συνοικειωνται A, συνοικειοῦνται b | 8. οικειωται A | λέξεσιν ⟨οὐ μόνον ταῖς ἀπὸ συμφώνου, ἀλλὰ καὶ⟩ conicit GFSchoemann | 9. ὥς τε RSchneider, ὥστε Ab | 10. τα εεδνα A | το ε A | 11. εεειπε A | ἀρχόμενον ἀπὸ τοῦ ε̄ φωνήεντος GDronke, secutus RSkrzeczkam, qui coniecerat ἀρχόμενον ἀπὸ τοῦ εῑ φωνήεντος, ἀρχομένου τοῦ ε̄ ἀπο φωνήεντος Ab | 14—15 ερυτυρες A | 15. ἔχειν A et b in textu, qui in var. lect. male refert in A esse σχειν | 21. κατασχημα A | εσχηματισθαι A | 22. εχθες pro ἔχθος A* | 24. inscriptio περι του ευτε και ηυτε A | καθὼς b, και ως A | 24—25. ἐπεχειρισαν A

p. 558, 7 — 559, 33 b

εὖτ' ὄρεος κορυφῇσι (Γ 10)

διὰ τοῦ ε̄ καὶ τοῦ ῡ γράφειν, τοῦ κατὰ φύσιν σχήματος ἀπαιτοῦντος τὴν διὰ τοῦ η̄ καὶ ῡ γραφήν. ἐγένοντο δὲ αἱ φωναὶ τῇδε. ἡ μὲν ηὖτε κατὰ τὸ ἀκριβὲς τοῦ λόγου [ὡς] οὐ [δὲ] μία λέξις ἐστὶν ἁπλῆ, ἀλλ' οὐδὲ σύνθετος, ἐν παραθέσει δὲ τοῦ τέ συνδέσμου, νῦν παραπληρωματικοῦ καθεστῶτος. — Τό γε μὴν εὖτε ἓν ἁπλοῦν ἐστι, γενόμενον οὕτως. χρονικὸν ἐπίρρημα καὶ ἀναφορικὸν ἦν τὸ ὅτε, ὃ δὴ πλεονασμῷ τοῦ ῡ, κατὰ μετάθεσιν τοῦ ο̄ εἰς τὸ ε̄, εὖτε ἐγένετο, καθότι τὸ ῡ ἐπεντιθέμενον ψιλοῦ πνεύματος αἴτιον γίνεται, ὥσπερ ἔχει τὸ ἔκηλος

εὔκηλος φορέοι⟨το⟩ (Arat. Phaen. v. 100).

τό τε εὖνις παρὰ τὴν ἑνός παρωνόμασται. — τῇδε εἶχε καὶ τὸ προκείμενον ἐπίρρημα. — Τοῖς εἰς ω̄ς περατουμένοις ἐπιρρήμασι συνυπάρχει ἐπιρρήματα εἰς ᾱ λήγοντα, ὀξύτονα ἢ καὶ ἔτι βαρύτονα, περὶ ὧν τοῦ τόνου κατὰ τὸ ἑξῆς εἰρήσεται. οἷον τῷ πυκνῶς παράκειται τὸ πυκνά, ὅπερ καὶ ὁμοφωνεῖ πληθυντικῇ ἐκφορᾷ οὐδετέρᾳ, τῷ καλῶς τὸ καλά, τῷ καλλίστως τὸ κάλλιστα, σαφῶς σάφα, ταχέως τάχα. καὶ δὴ τῷ ὥς παρακείσεται τὸ ἅ, τὴν αὐτὴν ἔχον σημασίαν τῷ ὥς, καὶ σχεδὸν τὴν αὐτὴν σύνταξιν. ὃν γὰρ τρόπον κατὰ πλεονασμὸν τῆς κατά προθέσεως λέγομεν καθώς, οὕτω καὶ καθά. ἀλλὰ μὴν καὶ

ὥστε λέων ἐχάρη (Γ 23)

φαμέν· τῇδε ἔχει καὶ τὸ

ἅτε παρθένος (Χ 127).

ὅτι γὰρ πάλιν ἐν δυσὶ μέρεσι λόγου, σαφὲς καὶ ἐκ τῆς μεταλήψεως καὶ 559
τοῦ πνεύματος, εἴγε τὸ ᾱ πρὸ τοῦ τ̄ καθ' ἓν μέρος λόγου ψιλοῦται, ἀτμήν, ἄτη, ἀτηρός. [οὐ μὴν ἀλλὰ] καὶ παρὰ τοῦτο τὸ ἅ ἀποτελεῖται ἰωνικώτερον τὸ ἥ, κατὰ μετάληψιν τοῦ ᾱ εἰς τὸ η̄. πάλιν γὰρ τῆς αὐτῆς συντάξεως ἐχόμενόν ἐστι τὸ

ἧτε ξείνων θέμις ἐστί (ι 268),

καὶ δίχα τοῦ τέ συνδέσμου

ἣ θέμις ἐστίν (Β 73),

Testim. 7 Epim. Cr. 127, 29 *εὖταν* (*εὖτε* scr. RSchneider) *ἐπίρρημα χρόνου δηλωτικόν, καὶ γίνεται οὕτως· ὁ μὲν Ἀπολλώνιος λέγει, ὅτι ἐκ τοῦ ὅτε ἐστί, καὶ πλεονασμῷ τοῦ ῡ οὗτε, καὶ μεταθέσει τοῦ ο̄ εἰς ῡ εὖτε.* cf. Et. M. 398, 43. Gud. 221, 63. 251, 50 (Herod. I 498, 1. II 330 Lentz).

Discr. script. 2. απαιτουντ abbr. A | 3. τὴν διὰ] fol. 125 v. | post γραφὴν supra lin. add. A[2] των κατα φυσιν σχηματων | 4. τοῦ λόγου οὐ μία (vel οὐδὲ μία) RSkrzeczka, του λογου ωc ουδεμια A, τὸ λόγου ὡς οὐδεμία b | 5. δὲ τοῦ b, δια του A | 6. τό γε b, του γε A | 8. pro κατὰ μετάθεσιν scribit καὶ μεταθέσει PEgenolff | 9. ψηλου A | 10. φορέοι⟨το⟩, quod est apud Aratum, scripsit RSchneider, φορέοι Ab | 24. ψηλουται A | 25. ἀτμήν, ἄτη scripsit RSchneider, ἀντιην ἀτην Ab, ἀτίειν, ἄτην ALentz | verba οὐ μὴν ἀλλὰ hinc sustulit et p. 149, 2 ante καὶ οὕτως collocavit KLehrs | 26. ἰωνικώτερον KLehrs, τι ἕτερον Ab | 27. ἐστι b, εχει A

ἐν ἴcῳ τῷ ὧc θέμις ἐςτί.

⟨Οὐ μὴν ἀλλὰ⟩ καὶ οὕτως φαμέν· τοῖc εἰc ωc λήγουcιν ἐπιρρήμαcι cυνυπάρχει τινὰ εἰc η λήγοντα, cυντονούμενα τούτοις, οὐδαμῶc οὐδαμῇ, πάντωc πάντῃ, ἄλλωc ἄλλῃ, διχῶc διχῇ. ὀξυνομένῳ ἄρα τῷ ὥc ⟨cυν⟩οξυνθήcεται τὸ ἥ, ὅπερ, ὡc ἔφαμεν, ἐν τῷ

ἣ θέμις ἐςτί (Β 73),

τοῦτο ἐν ⟨προcθέcει του τε καὶ⟩ πλεοναcμῷ τοῦ υ ηὖτε, πάλιν ἀναγκαίωc τοῦ η ψιλωθέντοc, καθ' ὃν εἴπομεν λόγον καὶ περὶ τοῦ εὖτε. — καὶ cαφὲc ὅτι ὁ ἐγγενόμενοc πλεοναcμὸc ὡc ἕνωcιν τοῦ cχηματιcμοῦ ἀπετέλει. ἔcθ' ὅτε γὰρ τὰ ἐπιcυμβαίνοντα πάθη ⟨ὡc⟩ ⟨ἕνω⟩cιν τῶν μορίων ἀπετέλει, ὅτε καὶ τὸ τί ποτε ὑπὸ cυγκοπὴν πεcόντα ἥνωται ἐν τῷ

τίπτε cὺ δείδοικαc (Μ 244).

τούτῳ οὖν τῷ λόγῳ δοκεῖ καὶ τὸ ηὖτε ὡc ἡνῶcθαι.

Ἀλλὰ κἀκεῖνο ἐπιλυθήcεται, «τί δήποτε τὸ μὲν ηὖτε καὶ ἠΰτε λέγεται ἐν τριcὶ cυλλαβαῖc,

ἠΰτε περ κλαγγὴ γεράνων πέλει (Γ 3),

πάλιν ἀναγκαίωc τοῦ η ψιλουμένου διὰ τὸ προηγεῖcθαι φωνήεντοc· οὐ μὴν ἔτι τὸ εὖτε.» — πρὸc ὃ ἔcτι φάναι, ὡc ἕνεκα μὲν τῆc τοῦ υ ἐπενθέcεωc ἀναγκαία ἡ διcύλλαβοc προφορά. τὸ γὰρ υ καὶ τὸ ι πλεονάζοντα μετὰ φωνήεντοc εἰc μίαν cυλλαβὴν cυνήει, ἕαδεν εὔαδεν, ἔκηλοc εὔκηλοc, καὶ παρὰ Αἰολεῦcι ναόc ναυόc, καὶ παρ' Ἴωcι νόcοc νοῦcοc, καὶ ἐπὶ τοῦ ἔρια εἴρια, ἕωc εἵωc. ἀναγκαίωc οὖν καὶ τὸ ηὖτε ἀπὸ τοῦ

Argum. 2 Fortasse una cum ὧc exstat adverbium ἥ, quod coniungitur cum τέ coniunctione et υ augetur. — 18 Ἠΰτε cur tribus syllabis proferatur,

---

Testim. 2 Schol. B ad B 87 *τὸ ἠΰτε ἐκ τοῦ ὧς* (ὡς Bekker) *γίνεται. κανων δέ ἐστιν ὁ λέγων, ὅτι τὰ εἰς ως λήγοντα ἐπιρρήματα, συνυπάρχοντά τινι, εἰς η λήγει, καὶ ὁμοτονούμενα αὐτοῖς, οἷον πάντως πάντῃ, ἄλλως ἄλλῃ, οὐδαμῶς οὐδαμῇ, διχῶς διχῇ. οὕτως οὖν καὶ ἀπὸ τοῦ ὧς ἥ, καὶ πλεονασμῷ τοῦ υ ἠΰ. ψιλοῦται δὲ ὡς τοῦ υ πλεονάσαντος.* Et. M. 440, 4 *τοῖς εἰς ως λήγουσιν ἐπιρρήμασι συνυπάρχει τινὰ εἰς η λήγοντα, καὶ ὁμοτονοῦσιν αὐτοῖς, οἷον ἄλλως, ἄλλῃ· διχῶς, διχῇ· οὐδαμῶς, οὐδαμῇ. ὀξυνομένου ἄρα τοῦ ὧς, ἀντίκειται τὸ ἥ, ὡς ἐν τῷ 'ἥ[τε ξείνων] θέμις ἐστίν'· ἥ θέμις, ἀντὶ τοῦ ὡς νόμος ἐστί. [καὶ τοῖς εἰς η λήγουσιν ἐπιρρήμασιν ἀντιπαράκειται τινὰ συντονούμενα τούτοις, οἷον πάντως, πάντῃ· ὡς, ἥ.] Τοῦτο ἐν προσθέσει τοῦ τε καὶ πλεονασμῷ τοῦ υ γίνεται ηὖτε. Ψιλοῦται, τὸ γὰρ υ πλεοναζόμενον ψιλοῦται.*

Discr. script. 1. ὧc RSchneider, ὡc A b | 2. punctum post φαμέν posuit KLehrs | 3. cυνυπάρχει A, idem coniecit KLehrs, cυνυπάρχειν b | 4. cυν add. b | 7. ⟨ἐν προcθέcει τοῦ τε καὶ⟩ RSchneider, ⟨καὶ ἐν cυντάξει τοῦ τε 'ἧτε ξείνων θέμις ἐςτί'⟩ inseruit ante τοῦτο KLehrs | 8. ψηλωθεντοc A | περὶ τοῦ b, περι το A | 10. ὡc RSchneider, duae litterae erasae in A | . . . cιν τῶν μορίων] fol. 126 r., lacunam expl. b | 11. ὅτε b, ὁτι A | τὸ τί πότε b, το ποτε A | 12. δείδοικαc Homerus, δει δειδοικαc A, δὴ δείδοικαc b | 17. post η add. προηγον in A, sed deletum | ψηλουμενου A | 20. cυνήει RSchneider, cυνδεῖ A b, cύνειcιν GUhlig | εαδε ευαδε A

ἤτε τὰς ἴςας ςυλλαβὰς τηρεῖ. — τῆς δὲ διαςτάςεως ἀφορμή ἐςτιν ἥδε. 560 οὐκ ἔςτιν ἐπινοῆςαι ⟨τὸ η̄⟩ καὶ τὸ ῡ ἐν μιᾷ ςυλλαβῇ, ὅτε μὴ ἐν κλίςει ῥήματος, αὐλῶ ηὔλουν, αὐχῶ ηὔχουν. ἀναγκαία ἄρα ἡ διάςταςις τοῦ ἠΰτε. ἔνθεν γοῦν φαμὲν ἕνεκα μὲν μεταλήψεως τοῦ ᾱ εἰς η̄ κατωρθῶςθαι τὸ γρηῦς, ἕνεκα δὲ τοῦ τὴν τοιαύτην ςυλλαβὴν μὴ εὑρίςκεςθαι διαςτατικώτερόν φαμεν τὸ

γρηΰς Ἀπειραίη (η 8)·

ὅτι γὰρ ἐκ μονοςυλλάβου διῄρηται, προὖπτον, διδάςκει δὲ καὶ ἡ γενική, διςυλλαβήςαςα ἐν τῷ

γρηὸς ὀδυρομένης.

ἡ γὰρ εἰς η̄ῡς εὐθεῖα διςύλλαβος γενικὴν τριςύλλαβον ἀποτελεῖ, καθάπερ ἡ γένυς τῆς γένυος. ἀποτελεῖ δὲ διςύλλαβον γενικὴν τὴν γρηός· ὅπερ παρείπετο ταῖς μονοςυλλάβοις εὐθείαις. — ἀπειράκις δὲ ἐδείχθη, ὅτι οὐ πρὸς τὰ πάθη αἱ κλίςεις ἀπαρτίζονται, πρὸς δὲ τὰ ὁλόκληρα. —

Βραχεῖα δὲ ἀφορμή ἐςτι τοῦ καὶ τὸ εὖτε παραλαμβάνεςθαι ἀντὶ τοῦ ηὖτε. ὃν γὰρ τρόπον τὸ ὥς ἀντὶ τοῦ ὅτε,

Ἕκτωρ δ' ὡς Cκαιάς τε πύλας (Z 237),

κατὰ τὸν αὐτὸν δὴ τρόπον οὐδὲν κωλύει καὶ τὸ εὖτ' ὄρεος, σημαῖνον τὸ ὅτε, παρειλῆφθαι ἀντὶ τοῦ ὥς.

Τρύφων (p. 48 Velsen) φηςὶν «ὡς τὰ εἰς ᾱ λήγοντα ἐπιρρήματα βραχυκατάληκτά ἐςτιν· οὐ γεγράψεται ἄρα τὸ ἰδία καὶ δημοςία ςὺν τῷ ῑ». Ἔςτι δὲ πρὸς τὸ τοιοῦτον ὑπαντῆςαι, ὡς οὐ κατά τινα νόμον τὰ ἐπιρρήματα πάντως εἰς βραχὺ θέλει λήγειν. τί γὰρ ἐμποδὼν τοῦ καὶ εἰς μακρὰν λήγειν καὶ εἰς βραχεῖαν; καὶ γάρ τινα βραχυκατάληκτά ἐςτιν, ὡς τὸ τῆλε καὶ ὀψέ, καὶ μακροκατάληκτα, ὡς τὸ ἔςω καὶ ἔξω· καὶ τῷ ῑ βραχεῖ, ὡς ἑλληνιςτί, ἰαςτί, ἀλλὰ καὶ εἰς μακρὸν τὸ ῑ, ἀκονιτί, ἀναι-

Argum. 1 haec est causa, quod η̄ et ῡ, praeter verborum flexionem, in unam syllabam non coëunt. — 15 Εὖτε et ηὖτε promiscue usurpantur. — 20 Ἰδίᾳ et δημοςίᾳ adverbiis ῑ mutum addi vetat Trypho, quod adverbia in ᾱ longam exire non soleant. At cur non possint in ᾱ longam terminari, causa nulla est.

Testim. 3 Et. M. 440, 14 *Δεῖ δὲ ἀναγινώσκειν ἠΰτε ἐν διαστάσει. Κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι οὐκ ἔστιν ἐπινοῆσαι τὸ η̄ καὶ τὸ ῡ ἐν μιᾷ συλλαβῇ, χωρὶς εἰ μὴ ἐν κλίσει ῥήματος, ὡς αὐδῶ ηὔδων, αὐχῶ ηὔχουν. Ἀναγκαίως* (*Ἀναγκαία* RSchneider) *οὖν ἡ διάστασις τοῦ ἠΰτε, ὁμοίως τῷ γρηΰς καὶ νηΰς.* ibid. 763, 4 *κανών ἐστιν ὁ λέγων 'οὐκ ἔστιν ἐπινοῆσαι τὸ η̄ καὶ τὸ ῡ ἐν μιᾷ συλλαβῇ* (*ὅτι μὴ ἐν κλίσει ῥήματος αὐλῶ ηὔλουν, αὐχῶ ηὔχουν* addidit ex Apollonio ALentz)'.

Discr. script. 2. τὸ η̄ inseruit b, nullum lac. indicium in A | οτε A, οτι b | 4—5. κατορθωςθαι A | 7. Ἀπειραίη Homerus, απηραιη Ab | 12. τῆς A et b in textu, qui in var. lect.: 'Malim τήν' | 14. κλις7 abbr. A | απ ante αρτιζονται add. A² | 20. inscriptio περι των εις ᾱ βραχυκαταληκτων maiusc. A | 22. τὰ ἐπιρρήματα] fol. 126 v. | 23. post τι γαρ videtur in A scriptum fuisse το, nunc madore evan. post hoc est εμποδον | 26. ακονητι A

μωτί. οὐκ ἄρα ἀπόδειξιc τοῦ ὅτι τὸ ἰδίᾳ cὺν τῷ ῑ οὐ γεγράψεται τὸ τἄλλα εἰc βραχὺ ᾱ λήγειν. — καὶ γὰρ ἐπ' ὀνομάτων ἐνὸν τὸ τοιοῦτον
561 εὑρέcθαι. μοῦcά φαμεν, ἀλλὰ καὶ Ἀθηνᾶ καὶ cοφία.

Ῥητέον οὖν ἑτέρῳ λόγῳ καὶ περὶ γραφῆc τῆc διὰ τοῦ ῑ. — ἡ ἀπὸ τῶν ὀνομάτων μετάπτωcιc εἰc τὰ ἐπιρρήματα, καθ' οὓc λόγουc ἐδείξαμεν ἐν ἀρχαῖc, πάντωc μετὰ τῶν παρεπομένων ἔχει καὶ τὰc γραφὰc cυνυπαρχούcαc, καθάπερ τὸ ἀτρεκέc, cυνεμπεcὸν ὀνόματι, καὶ γραφὴν καὶ τόνον ἀπηνέγκατο, τὸ καλόν, τὸ εὐρύ, τὸ κάλλιcτα, τὸ πυκνά· cχεδὸν ἐπὶ πάντων ὁ λόγοc cυμφωνεῖ, περὶ ὧν καὶ κατὰ τὸ ἑξῆc εἰρήcεται. — Ἔcτιν οὖν τι δημόcιοc, ᾧ παράκειται θηλυκὸν τὸ δημοcία, οὗ cύνταξιc ἐπιρρηματικὴ ἐγίγνετο, δημοcίᾳ ἀπήχθη, ὡc εἰ δημοcίωc τιc ἀπήχθη. καὶ τοῦτο εἰ μὲν ἀπὸ τῆc εὐθείαc τὴν cύνταξιν ἀνεδέξατο, δίχα τοῦ ῑ γεγράψεται· εἰ δὲ παρὰ τὴν δοτικήν, cὺν τῷ ῑ. εἰc ἐπίκριcιν οὖν τοῦ τοιούτου παραληπτέον λόγον ἀποδεικνύντα, πότερα παρὰ δοτικὰc ἢ εὐθείαc τὰ τοιαῦτα. τὸ τοιοῦτον γὰρ παρέπεται οὐ μόνον τοῖc εἰc ᾱ λήγουcιν ὀνόμαcιν, ἀλλὰ καὶ τοῖc εἰc η̄ λήγουcι μορίοιc θηλυκοῖc. ἔcτι τι ὄνομα οὐδαμόc, ᾧ παράκειται ἐπίρρημα τὸ οὐδαμῶc καὶ οὐδαμόθεν, ᾧ ἀπὸ θηλυκοῦ πάλιν cχήματοc ἐπίρρημα παράκειται τὸ οὐδαμῇ. καὶ εἰ μὲν ἀπὸ τῆc εὐθείαc, ἐν ὀξεῖ τόνῳ καὶ δίχα τοῦ ῑ· εἰ δὲ οὐκ ὀξὺc ὁ τόνοc, ὁ δὲ περιcπώμενοc, ὅc ἐcτιν ἐν δοτικῇ, ὁμολόγωc καὶ τόδε cὺν τῷ ῑ γεγράψεται, καθότι πάλιν cυντονούμενον τῷ θηλυκῷ παράκειται καὶ τὸ ἄλλῃ. — Ἔcτι δὲ καὶ ἄλλωc ἐπιδεῖξαι. παρὰ ἀντωνυμικὸν τὸ αὕτη γίνεται ἐπιρρηματική τιc προφορά, ἣν οὔ φαμεν οὕτωc, αὕτη ἄγωμεν, ταύτῃ δέ. καὶ προφανὲc ὡc ἡ πρόcθεcιc τοῦ τ̄ τὴν δοτικὴν ὁμολογεῖ, ᾧ λόγῳ καὶ τὸ τῇδε ἄγωμεν. Δέδεικται ἄρα ὅτι παρὰ δοτικὰc αἱ τοιαῦται ἐπιρρηματικαὶ προφοραί· εἰ δὲ παρὰ δοτικάc, δῆλον ὡc καὶ γεγράψεται cὺν τῷ ῑ. καὶ εἰ τοῦτο, καὶ τὸ ἰδίᾳ ἄρα καὶ δημοcίᾳ παρὰ δοτικάc, καὶ οὕτωc τὰ ἐπιρρήματα γεγράψεται cὺν τῷ ῑ [οὐχ ὥc φηcι Τρύφων διὰ τὸ μακρὸν ᾱ]·

562 Τὰ εἰc ᾱ λήγοντα ἐπιρρήματα ἢ ὀξύνεται, ὡc δηθά, καναχηδά, πυκνά, ἢ βαρύνεται, ὡc τάχα, λίγα, ἄντα, πρῶτα. τὰ πρωτότυπα μόνωc βαρύνεται, αἶψα, αὐτίκα, ὄφρα, ῥίμφα, μάλα, μέcφα, καὶ ὅcα

Argum. 4 Adverbia eodem modo scribuntur atque nomina, quibuscum congruunt forma; illa igitur cum e dativis facta sint, ῑ subscribendum est. — 30. Adverbia, quae eosdem fines habent, generatim percensentur. — 31 1) Adverbia in ᾱ. Primigenia quaeque a praesenti verborum tempore derivantur, barytona sunt.

Testim. 22 cf. Orion. 123, 2.

Discr. script. 3. cοφία b, cοφιαν̇ A | 5. μετάπτωcιc RSkrzeczka, cύμπτωcιc Ab in textu, 'rectius fortasse cυνέμπτωcιc' b in var. lect. | 11. δημοcίᾳ RSchneider, δημοcία Ab | 15. δοτικὰc b, δοτικῆc A, α supra scr. A[1] | 17. ὁ pro ᾧ A | 20. ὁ τόνοc b, τονοc A | 21. δοτικηι A | 24. ἄγωμεν b, αγομεν A | 26. verba αι τοιαυται επιρρηματικαι bis scripta erant ab A[1], sed deleta sunt ab A[x] | 27. ὡc καὶ] fol. 127 r. | 29. verba οὐχ ὡc — μακρὸν ᾱ deleri maluit RSkrzeczka, quam sic corrigi, ut correxit GUhlig οὐχ ὡc φηcι Τρύφων διὰ τοῦ ἁπλοῦ ᾱ

παρ᾽ ἐνεστῶτας τῶν ῥημάτων ἀποτελεῖται, ἠρεμῶ ἠρέμα, μίγω μίγα, ἀντῶ ἄντα, μινύθω μίνυθα (καὶ μετὰ περισσοῦ τοῦ ν̄ μίνυνθα), ῥέω ῥέα (τὰ γὰρ εὐχερῶς γινόμενα ῥύσει ἔοικε. καὶ σαφὲς ὅτι τὸ

ῥέα μὲν γὰρ βριάει (Hes. Op. 5)

ὁλόκληρον γέγονε, τὸ δὲ ῥεῖα ἐν πλεονασμῷ ἐστί τοῦ ῑ)· σιγῶ σῖγα, ἀτρεμῶ ἀτρέμα. — παραιτητέον οὖν τοὺς ἠξιωκότας ὀξύνειν τὸ

μίγδ᾽ ἄλλοισι θεοῖσιν (Θ 436),

«ἐπεὶ τὰ εἰς δα», φασί, «λήγοντα ἐπιρρήματα ὀξύνεται, ὡς ἔχει τὸ

καναχηδὰ ῥέοντες (Hes. Theog. 367)

καὶ τὸ χανδά». — ἔστι γὰρ πρὸς τὸ τοιοῦτον φάναι, ὡς ἰδού τινα εἰς δα λήγοντα καὶ βαρύτονά ἐστιν, ὡς τὸ ληκίνδα, ὀστρακίνδα, ὀνόματα παιδιῶν, καὶ ὡς τὰ ὀξυνόμενα συνυπάρχει τοῖς εἰς δον περατουμένοις, καναχηδόν καναχηδά, αὐτοσχεδόν αὐτοσχεδά, χανδόν χανδά· τῷ μέντοι μίγδα οὐ παράκειται ὁ τοιοῦτος σχηματισμός. ἦν οὖν ἐν πλεονασμῷ τοῦ δ̄, καθὼς καὶ ἡ ἄχερδος πλεονάζει καὶ ὁ δαίδαλος τῷ δ̄, παρὰ τὸ δαίω. καὶ ἐν ἐπιρρήματι δὲ τῷ ὑπόδρα δύναται πλεονασμὸς εἶναι τοῦ δ̄. (εἰ γὰρ μὴ παραδεξαίμεθα ὅτι ἔνδειά ἐστι τοῦ ξ̄, δύναιτο ἂν παρὰ τὸ ὁρῶ ἀποτελεῖσθαί τι ὅρα καὶ ὑπόδρα μετὰ περισσοῦ τοῦ δ̄, ὅπερ οὐ πάντως ἐπιζητήσει τὸ φ̄· καὶ γὰρ ἄλλα ἐστί τινα, ἃ οὐ μετέβαλε κατὰ συναλοιφὴν τὸ π̄ εἰς φ̄, ὡς ἥλιος ἀπηλιώτης, ὡς τὸ

ἐπ᾽ Ἡφαίστοιο θύρῃσιν,

ὡς

ἐπίστιόν ἐστιν ἑκάστῳ (Ζ 265).

ἐν τοῖς προκειμένοις εἴρηται ἱκανῶς περὶ τοῦ ὑπόδρα). τούτῳ ἄρα τῷ 563 λόγῳ καὶ τὸ ληκίνδα ἐν βαρεῖ τόνῳ ἐστίν, οὐ συνυπάρχον τῷ εἰς δον λήγοντι ἐπιρρήματι.

Βαρύνεται καὶ ὅσα οὐκ ἐν ὁμοφωνίᾳ γίνεται πληθυντικῶν οὐδε-

Argum. 27 Barytona sunt, quae non iisdem utuntur formis atque neutra pluralia. Notandus igitur accentus θαμά adverbii, quod, cum discrepet a plurali θαμέα, barytonon esse oporteret; eoque magis notandus, quod ex θαμά nascitur ἅμα.

Testim. 3 Et. M. 703, 4 *τὸ γὰρ εὐχερὲς ῥεύσει (ῥύσει?) ἔοικεν.* ibid. 700, 56 *ῥᾷον· παρὰ τὸ ῥέω· τὸ γὰρ εὐχερῶς γινόμενον ῥύσει ἔοικεν.* — 27 Ep. Cr. 448, 9 *τὰ ἀπὸ πληθυντικῶν οὐδετέρων μεταγόμενα εἰς ἐπιρρηματικὴν σύνταξιν ἅπαντα βαρύνεται, οἷον ταχέα τάχα, σαφέα σάφα, ὠκέα ὦκα, πλὴν τοῦ θαμά.*

Discr. script. 1. μίγω μίγα GHSchaefer, μίσγω μίσγα Ab | 5. γεγονε b, γερον A, quas syllabas ut ex praecedentibus ηρον male repetitas omisit FJBast | 7. μίγδ᾽ Homerus, μίγδα Ab | 11—12. verbis ως το ληκινδα οστρακινδα ονοματα παιδιων linea subscripta est in A | 12. καὶ ὡς b in var. lect., ὡς καὶ Ab, ὡς aut delendum aut in ἔτι mutandum esse censet RSkrzeczka | 13. τῷ b, το A | 15. τῷ δ̄ b, το δ A | 16. δὲ τῷ b, δε το A | 20. συναλοιφὴν τὸ π̄ εἰς φ̄ b, συναλιφην το φ εις π A | ηλιος om. A[1], add. A[2] in marg. | ante απηλιωτης aliquid erasum in A | 21. θυρηισιν corr. A[2], ουσσιν A[1] | 24. ἄρα RSkrzeczka, γὰρ Ab | 27. Βαρύνεται Ab, βαρύνονται FJBast | πληθυντικῶν b in var. lect., πληθυντικη A, πληθυντικῇ b in textu

τέρων ὀνομάτων. παρὰ τὸ ταχύς ἐστιν ὄνομα πληθυντικὸν ταχέα, ἀφ' οὗ ἐπίρρημα οὐχ ὁμόφωνον τὸ τάχα· λιγύς λιγέα λίγα· κρατύς κρατέα κράτα καὶ κάρτα· ὠκύς ὠκέα ὦκα. — Διὸ καὶ σημειωτέον παρὰ τὸ θαμύς, ἀφ' οὗ καὶ τὸ θαμέες [καὶ] πληθυντικὸν ⟨καὶ⟩ τὸ θαμέα, [ὡς] τὸ θαμά, ⟨οὐχ ὡς⟩ ταχέα τάχα. ὅπερ πάλιν διελέγχεται καὶ ἐκ τοῦ ἅμα, εἴγε δύναται ἐν ἐνδείᾳ εἶναι τοῦ θ̄· τὸ γὰρ πυκνῶς γινόμενον ὑφ' ἕνα καιρὸν γίνεται. Τρύφων μέντοι τοὐναντίον φησίν, ὡς τὸ θαμά ἐπλεόνασε τῷ θ̄, τῇ αὐτῇ ἐτυμολογίᾳ ἀρκούμενος. ἐπιστούμεθα δὲ τὸ θαμά ἐντελέστερον διὰ τῆς τοῦ ⟨θαμέα⟩ ὀνόματος παραθέσεως.

Βαρύνεται καὶ ὅσα ἐν ὁμοφωνίᾳ καθέστηκε πληθυντικῶν βαρυτόνων ὀνομάτων· ἥδύτατος, καὶ πληθυντικὸν ἥδύτατα, ἀλλὰ καὶ ἐπιρρηματικῶς τὸ ἥδύτατα. ὀρθῶς ἔχει τὸ κάλλιστα, ἔσχατα, ἥδιστα, πρῶτα.

Βαρύνεται καὶ ὅσα ἐκ μεταλήψεώς ἐστι τῶν εἰς θεν, ὅπερ ἐστὶ παρ' Αἰολεῦσι καὶ Δωριεῦσι, περὶ ὧν καὶ τῆς μεταλήψεως ἐντελῶς ἐκτεθείμεθα. οὐ γὰρ ἐφικτὴ πᾶσα μετάθεσις τῶν εἰς θεν ληγόντων τοπικῶν εἰς τὸ ᾱ. οὐ γὰρ τὸ οὐρανόθεν οὐρανόθα φασίν, οὐδὲ τὸ ἄλλοθεν ἄλλοθα, τὸ δὲ ἔμπροσθεν ἔμπροσθα, ἔνερθεν ἔνερθα, ὄπισθεν ὄπισθα·

ὁ δ' ἐξόπισθα κασταθείς (fr. adesp. 67 Bergk[3])·

πρόσθεν πρόσθα· καὶ παρ' Ἀλκμᾶνι οὕτω δεκτέον τὴν συναλοιφήν,

πρόσθ' Ἀπόλλωνος Λυκήω (fr. 73 Bergk[3]).

Σαφές ἐστιν ὅτι καὶ τὸ ἔνθα τῇδε ἔχει, εἴγε τὰ μὴ οὕτως ἔχοντα

Argum. 10 Barytona sunt, quorum formae conveniunt cum neutris pluralibus barytonis. — 13 Barytona sunt adverbia in θᾱ, quibus Aeolenses et Dores pro adverbiis in θεν utuntur. — 22 Quam regulam sequitur etiam ἔνθα, cum cetera oxytona sint.

Testim. 7 Ep. Cr. 451, 1 *ἐκ τοῦ θαμά* (*θαμύς* scr. RSchneider), *ὃ σημαίνει τὸν πυκνόν γίνεται* ⟨*θαμέα, θαμά καὶ* inser. RSchneider⟩ *κατὰ ἀποβολὴν τοῦ θ̄ ἅμα, τὸ γὰρ πυκνὸν καὶ ἐπάλληλον ἅμα γίνεται, καὶ ἐν τῷ αὐτῷ καιρῷ· τὸ δὲ ἅμα βαρύνεται, ἐπειδὴ τὰ εἰς ᾱ λήγοντα δισύλλαβα ἐπιρρήματα ἅπαντα βαρύνονται· οἷον ὦκα, τάχα, ἅμα, σάφα, λίγα, λίπα, χωρὶς τοῦ θαμά.* Cf. Et. M. 75, 20.

Discr. script. 3. σημειωτέον ⟨τὸ θαμά⟩ FJBast | 4. καὶ τὸ θαμέες] fol. 127 v. | πληθυντικὸν καὶ τὸ θαμέα RSchneider, καὶ πληθυντικὸν τὸ θαμέα Ab in textu, 'Malim πληθυντικόν, καὶ οὐδέτερον τὸ θαμέα' b in var. lect. | 4—5. [ὡς] τὸ θαμά, ⟨οὐχ ὡς⟩ ταχέα τάχα RSchneider, ως το θαμα in fine versus et in initio sequentis versus ταχεα ταχα A; pro θαμα ex A enotavit b θ . . ., FJBast prorsus omisit; ὡς τὸ θ . . . ταχέα τάχα b in textu, τὸ θαμά, ὡς ταχέα τάχα conicit b in var. lect. | 6. ἐν ἐνδείᾳ b, η ενδεια A | 7. θαμά RSchneider, ἅμα Ab | 8. τῷ b, το A | 9. θαμά RSchneider, θαμέα Ab | θαμέα inseruit RSchneider 10. ομοφωνιαι A | 18. ὄπισθα pro ὄπισθα GUhlig | 19. καστάθεις HLAhrens | 'potest etiam Alcmanicum esse' ThBergk | 20. πρόσθεν GDronke, πρόσθε Ab | συναλειφην A | 21. προσθ' FJBast b ThBergk, προς A

τῶν εἰς θα [λήγοντα] ὀξύνεται, δηθά οὐ παρακείμενον εἰς θεν ⟨λήγοντι⟩, τριχθά [μέντοι] καὶ τετραχθά. — Ἀλλὰ καὶ τὰ τῆς σημασίας ὧδε ἔχει. τὰ παρὰ πρόθεσιν παραγόμενα τῶν εἰς θεν ληγόντων κοινῇ χρῆται 564 σημασίᾳ κατὰ τὴν τοπικὴν ἐκφοράν, εἴγε τὰ μὲν ἄλλα τὴν ἐκ τόπου σχέσιν σημαίνει, λέγω τὸ οἴκοθεν, οὐρανόθεν, ἃ δὲ ἔχει τὰς τρεῖς διαστάσεις. ὡς γὰρ καὶ ἐπ' ὀνομάτων ἔστι κοινότητα γένους παραδέξασθαι, οὕτω καὶ ἐπὶ τῶν προκειμένων ἐπιρρημάτων κοινότητα τὴν τόπων ἔστιν ἐπιδέξασθαι· ⟨καὶ⟩ καθάπερ ἔστιν ἐπινοῆσαι τῇ παραθέσει τῶν ἄρθρων διαστελλόμενα τὰ κοινά, οὕτω καὶ τῇ παραθέσει τῶν προθέσεων τὰ προκείμενα διαστέλλεται. φαμὲν γὰρ ἐκ τοῦ ἔμπροσθεν εἰς τὸ ἔμπροσθεν, ἐκ τοῦ ὕπερθεν εἰς τὸ ὕπερθέν, τῶν ἄλλων ἐπιρρημάτων τὸ τοιοῦτον οὐκ ἀναδεχομένων. καὶ δὴ παρὰ τὴν ἐν πρόθεσιν ἦν τι ἐπίρρημα ἔνθεν, ὃ δὴ ὤφειλε τρεῖς ἔχειν διαστάσεις τοπικάς. καὶ ἐπειδὴ ἅπαξ Δωρικώτερον τὸ ἔνθεν εἰς τὸ ᾱ μετετίθετο, καὶ ἦν κοινότερον μεταλαμβανόμενον τὸ ἔνθα, ἐμερίζετο μὲν τῇ συνεκδρομῇ τῶν εἰς θεν ληγόντων τὸ ἔνθεν εἰς τὴν ἐκ τοῦ τόπου σχέσιν, εἶχε δὲ τὰς ὑπολοίπους δύο σημασίας ἐγκειμένας ἐν τῷ ἔνθα. διὰ τοῦτο τὸ ἔνθα καὶ ⟨τὸ⟩ εἰς τὸν τόπον σημαίνει καὶ ἐν τόπῳ,

ἔνθα μὲν Αἴας κεῖται (γ 109),
ἔνθα κατεπλέομεν (ι 142).

δέδεικται ἄρα ἀναλόγως βαρυνόμενον τὸ ἔνθα.

Βαρύνεται καὶ ὅσα ἀντιμεταλαμβάνεται ἑτέροις ἐπιρρήμασι, σχεδὸν ὑπὸ τὸν λόγον τῶν πρωτοτύπων παραλαμβανόμενα. τῷ ἔμπης παράκειται τὸ ἔμπα,

ἔμπα γε μὴν ἴθι δεῦρο.

(ὅτι γὰρ καὶ σύνδεσμός ἐστιν ἐναντιωματικὸς τὸ ἔμπης καὶ ἐπίρρημα, δείκνυται ἐν τῷ περὶ συνδέσμων· ᾧ λόγῳ καὶ ἄλλα συνεμπίπτει ἐν συνδέσμοις καὶ ἐπιρρήμασι. τὸ ὄφρα σύνδεσμος, ἀλλὰ καὶ ἐπίρρημα. οὕτως ἔχει καὶ τὸ ὅπως. καὶ τὸ ἵνα δὲ τοπικὸν ἐπίρρημά ἐστιν,

ἵνα τ' ἔτραφεν ἠδ' ἐγένοντο (κ 417),

καὶ σύνδεσμος αἰτιολογικός, καὶ ἔτι ἀποτελεστικός). καὶ τῷ μάλα δὲ τὸ 565

Argum. 3 Quaecunque adverbia in θεν a praepositionibus derivantur, ita usurpari solent ut iis et 'unde' et 'ubi' et 'quo' quaerenti respondere possimus. Itaque ἔνθεν tres notiones habere debebat: nunc autem ἔνθα dorica forma ita usu recepta est, ut et 'ibi' et 'eo' significet; ἔνθεν igitur nihil nisi 'inde' est. — 22 Barytona sunt ea adverbia in ᾱ, quibus alia eiusdem radicis praesto sunt.

Discr. script. 1. ληγοντα delevit RSkrzeczka, ληγόντων b | 'quid sibi velit ου, alius viderit' b | λήγοντι addidit RSkrzeczka, qui ante τριχθά exemplum adverbii in θᾱ barytoni intercidisse suspicatur | 2. μέντοι delevit RSchneider | 6. ὡς γὰρ b, ει γε A | 7. ἐπὶ b, η A | 8. καὶ add. b | 14. τὸ ἔνθεν] fol. 128 r. | 15. μεταλαμβανόμενον RSkrzeczka, διαλαμβανόμενον Ab in textu, ἰδίᾳ λαμβανόμενον conicit b in var. lect. | τὸ ἔνθα RSkrzeczka, τὸ ἔνθεν Ab in textu, τοῦ ἔνθεν b in var. lect. | 18. τὸ b add. in var. lect. | 23. τὸν b, των A | 31. τῷ μάλα δὲ τὸ Ab, τὸ μάλα δὲ τῷ RSkrzeczka

μᾶλλον ἀντιπαράκειται. ἴcωc δὲ καὶ τὸ ἧκα, τὴν αὐτὴν ἔχον ἀντιμετάληψιν, ἐν ὑπερβατῷ ἐcτι τοῦ φωνήεντοc, ἀναγκαίωc τοῦ ν̄ ἀποcτάντοc, καθότι καὶ ἐπὶ τοῦ πρόcθεν πρόcθα, ἔνερθεν ἔνερθα.

Τῇ αὐτῇ ἀκολουθίᾳ cκεπτέον καὶ περὶ τοῦ οὐδαμά. Ὀξύνεται τὰ εἰc ᾱ λήγοντα ἐπιρρήματα, ὡc πρόκειται, εἰc θα λήγοντα, οὐκ ἐκ μεταθέcεωc ὄντα τοῦ θεν. ὀξύνεται καὶ τὰ ἐν ὁμοφωνίᾳ οὐδετέρων πληθυντικῶν. παρὰ τὸ πυκνόc πληθυντικὴ προφορὰ γίνεται οὐδετέρα πυκνά, ᾧ cύνεcτι πάλιν ὁμόφωνον ἐπίρρημα τὸ πυκνά. οὕτωc ἔχει καὶ τὸ δεξιά καὶ ἀριcτερά, cημαίνοντα τὸ δεξιῶc καὶ ἀριcτερῶc. τοιοῦτόν ἐcτι καὶ τὸ καλά (ὃ δι' ἑνὸc μὲν λ̄ γράφεται κατὰ τὸ κοινὸν ἔθοc, παρὰ Δωριεῦcι δὲ δι' ἑτέρου λ̄, καὶ οὐχ, ὡc ἔνιοι ὑπέλαβον, κατ' Αἰολίδα διάλεκτον· ἐβαρύνετο γὰρ ἄν, πρὸc οἷc οὐδὲ τὸ καλόc Αἰολεῖc ἐν διπλαcιαcμῷ τοῦ λ̄ προφέρονται). — πίcτιc δὲ τοῦ τὴν cυνέμπτωcιν τοῦ τόνου ἐπικρατεῖν τῶν προκειμένων ἐπιρρημάτων τὸ βαρυνθῆναι τὸ πυκνά ἐνδεῆcαν τῷ ν̄, καθὸ ἐξέκλινε τὴν ὁμοφωνίαν. — Καὶ οὐ δεῖ ἀπορεῖν, διὰ τί παρὰ τὸ caφῶc τὸ cάφα ἐβαρύνθη, παρὰ δὲ τὸ καλῶc οὐκέτι τὸ καλά· ὃ μὲν γὰρ τῇ ὁμοφωνίᾳ ἐκρατεῖτο τῇ πρὸc τὸ καλόc καλά, ὃ δὲ οὐ τῇδε εἶχε. — καὶ τὸ οὐδαμά δέ, παρακείμενον τῷ οὐδαμῶc, ἔχοιτο ἂν τοῦ κατὰ τὸ τέλοc ὀξέοc τόνου λόγῳ ⟨τοιῷδε⟩. οὐκ ἔcτιν ὅμοιον τὸ caφῶc τῷ οὐδαμῶc, ἵνα ὅμ⟨οιον⟩ τῷ cάφα τὸ οὐδαμά κατὰ τάcιν καθίcτηται. παράκειται μὲν γὰρ τὸ caφῶc τῷ caφήc, οὗ τὸ οὐδέτερον πληθυντικὸν οὐκ ἔχει cυνέμπτωcιν ἐν τῷ cάφα· τῷ μέντοι οὐδαμῶc παράκειται τὸ οὐδαμόc. πίcτιc δὲ τὸ τὰ εἰc θεν λήγοντα ἐπιρρήματα καὶ τῷ ō παρεδρευόμενα ἢ ἀπ' εὐθειῶν τῶν εἰc ōc ληγουcῶν παρῆχθαι ἢ γενικῶν τῶν εἰc ōc, Λεcβόθεν, οὐρανόθεν, Διόθεν.
566 ἔcτιν οὖν καὶ τὸ ἀμόθεν, καὶ ἔτι τὸ οὐδαμόθεν ἀπὸ τοῦ οὐδαμόc.

Argvm. 4 Quae cum neutris pluralibus conveniunt cum oxytona esse soleant, οὐδαμά iure acutum habet;

Testim. 1—2 Ep. Cr. 184, 10 *Ἧκα ἐπίρρημα μεσότητος· γίνεται δὲ παρὰ τὴν αἰτιατικὴν* ⟨*ἀκήν* add. RSchneider⟩· *ὥσπερ παρὰ τὸ πρόσθεν πρόσθα, καὶ ἔνερθεν ἔνερθα, καὶ ἔνθεν ἔνθα, οὕτως ἀκήν ἧκα· γίνεται δὲ κατὰ μετάληψιν τοῦ αὐτοῦ φωνήεντος. ἀναγκαίως ἀποβλητικὸν γέγονε τοῦ ν̄.* Et. M. 424, 4. — 6 Ep. Cr. 153, 30 *ὅσα ἐν ὁμοφωνίᾳ καθέστηκε πάλιν* (*πληθυντικῶν* scr. RSchneider) *οὐδετέρων ὀνομάτων, μετάγεται εἰς ἐπιρρηματικὴν σύνταξιν.* Eadem sunt in Et. M. 323, 31 ubi recte *πληθυντικῶν* legitur.

Discr. script. 4. οὐδαμά b, ουδαμα η ουδαμη A | 6—7. οὐδετέρων πληθυντικῶν RSchneider, οὐδέτερα πληθυντικά Ab in textu, οὐδετέρᾳ πληθυντικῇ b in var. lect., ⟨πρὸc⟩ οὐδέτερα πληθυντικά RSkrzeczka | 11. οὐχ, ὡc b, ουτωc A | 13. λ̄ b, ᾱ A[1], quod in λ mutavit A* | 14. τοῦ τόνου b, τον τονον A | ἐπικρατεῖν τοῦ τόνου pro τοῦ τόνου ἐπικρατεῖν GFSchoemann | 17—18. καλόc καλά GDronke, καλῶc Ab | 18. τω ουδαμα A | 18—19. το ουδαμωc A | 19. ἔχοιτο ἂν] fol. 128 v. | 19. 20. lacunas explevit b | 21. καθιcταται A | 22—23. τω μεντοι A, τὸ μέντοι b | 23. οὐδαμῶc Ab, οὐδαμά GDronke | το ουδαμοc A, τῷ ουδαμοc b | δὲ τὸ b, δε τω A | 24. τῷ ō b, το ō A | 26. ἀμόθεν DRuhnken b, αλλοθεν A

ὁμολόγως οὖν τὸ μὲν οὐδαμῶς περισπᾶται. — καὶ ἔτι παρὰ Ἐπίκουρον τὸ ἀμῶς γέ πως, σημαῖνον κατά τινα τρόπον, ἀπὸ ὀξυτόνου τοῦ ἀμός. ἐπεὶ καὶ πόθεν περιεσπᾶτο ⟨τὸ⟩ ἀμῶς, εἰ μὴ παρέκειτο ὀξεῖα τάσις, καθὸ καὶ τὸ καλῶς τῷ καλός παράκειται; — Τοῖς δὴ τοιούτοις συμπαράκειται ἐπιρρήματα ὀξυνόμενα, εἰς ᾱ λήγοντα, πυκνός πυκνῶς πυκνά, καλός καλῶς καλά. ὑγιὴς ἄρα ἡ τάσις κατὰ τὴν ὀξεῖαν ἐν τῷ οὐδαμά.

Ἑξῆς ῥητέον ἐστὶ καὶ περὶ τοῦ ῥᾴ. Ἀλκμάν·

τίς καν, τίς ποκα ῥᾴ
ἄλλω νόον ἀνδρὸς ἐπίσποι; (fr. 42 Bergk[3]).

ὅπερ ἐν πάθει προφανεῖ ἐστίν· ἡ γὰρ μακρότης τοῦ ᾱ ἀλλοτρία τῆς προλελεγμένης καταλήξεως. οὐδὲ γὰρ ἐκεῖνο ἔστι φάναι, ὅτι διὰ μονοσυλλαβίαν ἐξετείνετο τὸ ᾱ, εἴγε καὶ ἕτερον ἔστιν ἐπινοῆσαι βραχυκατάληκτον μονοσύλλαβον, τὸ ἅ, παρακείμενον τῷ ὥς, ὁμοφωνοῦν τε πληθυντικῇ προφορᾷ τῇ παρὰ τὸ ὅς, ἅ, ὡς πυκνός πυκνά· ὑπὲρ οὗ κατὰ τὸ προκείμενον εἴρηται, ἐν ᾧ διειλήφαμεν καὶ περὶ τοῦ ἠΰτε καὶ περὶ τοῦ ἅτε. οὐδὲ μὴν ἐκεῖνο ἔστι παραδέξασθαι, ὡς ὅμοιόν ἐστι τῷ ἰδίᾳ καὶ δημοσίᾳ, καθὸ ⟨οὐ⟩ συνεμπίπτει ὀνόματι, καθάπερ καὶ τὰ προκείμενα. — Ἔστι γε μὴν περὶ τῆς γραφῆς ἐπιστῆσαι, εἰ καὶ σὺν τῷ ῑ γεγράψεται τὸ ῥά· οὐδὲ γὰρ ἡ τῶν ἀντιγράφων παράδοσις ἐξωμάλιστο, ἀφορμὴ μὲν οὖν ἐγένετο τοῦ δίχα τοῦ ῑ γράφεσθαι τὸ προκείμενον ἐπίρρημα ἡ τοῦ ῥέα συναλοιφή, τοῦ ε̄ καὶ ᾱ εἰς μακρὸν ᾱ συνῃρημένων. ἣν οὐ παραδεξαίμεθα, κατὰ πρῶτον μὲν λόγον, καθότι οὐ περισπᾶται, καὶ καθὼς εἴπομεν, ὅτι καὶ πρόσθεσίς ἐστι τοῦ ῑ· κατὰ δὲ δεύτερον διαπορήσειέ τις, ποίῳ λόγῳ Αἰολεῖς τὸ β̄ προσέθηκαν. μήποτε οὖν

Argum. 9 Ῥᾴ vocula ᾱ longam habet, quod insolitum. — 19 Qui ei ῑ mutam addi noluerunt, eam ex ῥέα contractam esse existimarunt. Quod probari non potest: notaretur enim circumflexo.

Testim. 1 Et. M. 95, 22 *Ἔστιν ὄνομα ἀμός, ἰσοδυναμοῦν τῷ τὶς Δωρικῶς, ἐξ οὗ καὶ τὸ ἐν Ὀδυσσείᾳ 'Τῶν ἀμόθεν γε' ἀντὶ τοῦ 'ἀπό τινος μέρους τούτων'. Ἐκ τῆς γενικῆς τῶν πληθυντικῶν γίνεται ἐπίρρημα μεσότητος ἀμῶς.*

Discr. script. 1. παρὰ Ἐπίκουρον Ab, DRuhnken Ἐπίκουρον corruptum censet, παρὰ Ἐπικούρῳ συχνὸν vel πολὺ vel simile quid conicit b in var. lect. | 2. του A[1] in marg. | 3. τὸ add. b | 4. τὸ καλως τω καλος A, τῷ καλῶς τὸ καλός b | 9. τίς καν HLAhrens, τίς καν vel κα etiam ThBergk, τίς ἄν Ab, τίς δ' ἂν FWSchneidewin | ῥᾴ haud dubie scribi voluit Apollonius, 'ῥᾶ scripsi, est enim ex ῥέα contractum' ThBergk, ρα A, an voluerit Alcman potius ῥᾷ' vel ῥᾶ' dubitat HLAhrens | 10. ἄλλω b, αλλα A | 17. περὶ τοῦ ἅτε b in var. lect. ChALobeck, πεσατε A b in textu, τοῦ ἅτε GDronke GFSchoemann | 18. οὐ add. b | 21. τοῦ δίχα b, το διχα A | 22. συναλιφη A | 23. οὐ] fol. 129 r. | παραδεξαιμεθα A, παραδεξαίμεθ' ἂν b | 24. post δευτερον duae litterae erasae in A | 25. τὸ β̄ b, το δευτερον A

567 γραπτέον cὺν τῷ ῑ, τῆc καταcτάcεωc οὕτωc ἐχούcηc· ὃν τρόπον τῷ ὄπιcθεν τὸ ὀπιcθίδιοc παράκειται, ἔμπροcθεν ἐμπροcθίδιοc, μαψίδιοc, ἀΐδιοc, οὕτωc παρὰ τὸ ῥέα ἦν τι ῥεῖδιοc, ὃ παρὰ τοῖc Ἴωcιν ἐγένετο ῥηΐδιοc, ἀφ' οὗ καὶ ἐπίρρημα ῥηιδίωc ὡc μαψιδίωc. ἀφ' οὗ ἔπιπτεν, ἐκ μεταθέcεωc τοῦ η̄ εἰc τὸ ᾱ, ῥαΐδιοc καὶ ῥαϊδίωc, ἀφ' οὗ κατὰ cυναίρεcιν τὸ ῥᾳδίωc, καθὰ καὶ ἐν ὀνόμαcι τὸ ῥαΐδιοc ⟨καὶ ῥᾴδιοc καὶ ῥάϊοc⟩ καὶ ῥᾷοc, καὶ Λάϊοc καὶ Λᾷοc. καὶ ὃν τρόπον ἦν τι πάλιν ὄνομα τὸ λήϊοc, ἀφ' οὗ λάϊοc καὶ λάϊον καὶ λάϊα καὶ ἐν cυναιρέcει πάλιν τοῦ ᾱ λᾷα, τίc μοι τὰ λᾷα ἐκτίλλει, Cώφρων (fr. 85 Ahrens), καὶ cὺν τῷ ῑ γράφεται, τὸν αὐτὸν δὴ τρόπον καὶ τὸ προκείμενον cχῆμα ἦν τὸ αὐτὸ πάθοc ἀναδεδεγμένον, ἀφ' οὗ τὸ κατὰ ἀποκοπὴν ῥᾴ ἐγένετο, καθὸ καὶ τὸ βριθέωc μὲν ἐντελέc, παρακείμενον τῷ βριθύc, καὶ ἐν ἀποκοπῇ βρῖ. (ὅτι γὰρ καὶ δύο cυλλαβῶν ἀποκοπαὶ γίνονται, ἐν τῷ περὶ παθῶν ἐδείχθη. τό τε γὰρ πρόπαρ οὕτωc ἔχει, καὶ τὸ μάκαρ, πηδά, καὶ τὸ ὑμέν παρὰ Καλλιμάχῳ (fr. 461 Schneider).) — Καὶ τούτῳ γε τῷ λόγῳ καὶ τὰ τοῦ τόνου εὐκατάcτατα γίνεται, καὶ ἔτι τὰ τῆc γραφῆc, καὶ ἔτι τὸ ἠπορημένον πρὸc τῶν Αἰολέων. μὴ γὰρ ἄλλοτε Αἰολεῖc προcτίθενται τὸ β̄ τῷ ρ̄, εἰ μὴ τὸ δ̄ ἐπιφέροιτο κατὰ τὴν ἑξῆc cυλλαβήν, ἢ τὸ cυγγενὲc ζ̄, ἢ τὸ cυμπαθέcτερον τ̄· ἅπαξ γὰρ τοῦ κ̄ ἐπιφερομένου ἡ πρόcθεcιc ἐγίνετο. διὰ τοῦτο βρόδον φαcὶ καὶ βρίζα καὶ βρυτῆρεc, οὐ μὴν τὸ ῥέω ἔτι βρέω φαcίν, οὐδὲ ἄλλο τι τῶν τοιούτων. πρόδηλον οὖν ὡc ὁμόλογοc ἥ τε ἀποκοπή (οὐ γὰρ ἡ πρόcθεcιc παρείπετο, εἰ μὴ δυνάμει ἐπεφέρετο τὸ δ̄, εἴγε καὶ ἀποκοπαὶ ὑπομνήcειc ἔχουcι τῶν ἀποκεκομμένων cυλλαβῶν), οὐδέν τε ἐμπόδιον ἐπιγινομένου τοῦ βρᾳδίωc τὴν ἀποκοπὴν γενέcθαι δεύτερον.

Διὰ τῶν προκατειλημμένων λόγων καταλάβοιτο ἄν τιc, ὅτι οὐδὲ τὸ ᾱ, cημαῖνον εὐχὴν ἐν τῷ «ἆ πά⟨ντα cυναγείραc⟩» (Callim. fr. 323 Schneider) οὐκ ἔcτιν ὁλόκληρον. ὡc γὰρ ἔφαμεν, οὐκ ἔcτιν ἐν
568 μα⟨κρῷ τῷ ᾱ⟩ τὰ εἰc ᾱͅ λήγοντα ἐπιρρήματα. ἰδοὺ γὰρ καὶ τὸ ἅ

Argum. 9 Sic potius derivatum est: a ῥέα ducitur ῥεῖδιοc, ῥηΐδιοc ῥαΐδιοc, ῥᾴδιοc, — 12 unde duabus syllabis resectis ῥᾴ. — 17 Et quia in resectis syllabis δ̄ inest, Aeolenses huic voculae β̄ praefigunt.

Discr. script. 1—2. τῷ ὄπιcθεν τὸ b, το οπιcθεν το A | 3. αειδιοc A | 6. τὸ ῥαΐδιοc ⟨καὶ ῥᾴδιοc καὶ ῥάϊοc⟩ καὶ ῥᾷοc HLAhrens, το ραιδιοc και ραιοc A, τὸ ῥαΐδιοc καὶ ῥᾴδιοc b, τὸ ῥᾴδιοc καὶ ῥᾷοc FJBast | 7. Λάϊοc καὶ Λᾷοc b, λωϊοc και λωοc A, λώιοc καὶ λῷοc FJBast | 8. λάϊον καὶ λάϊα A b, λαῖον καὶ λαῖα FJBast | 9. λᾷα b, λαια A | λᾷα FWSturz b, λαια A | 11. ῥᾴ b, ραι A | 12. βριθέωc ChALobeck, βριθύωc A b, |βριθύ, ὡc FJBast | 13. βρῖ ChALobeck, βρι A, βρί b | 17. πρὸc A b, βρά GHSchaefer | Αἰολεῖc A b, οἱ Αἰολεῖc FJBast | 20. προθεcιc A | 23. καὶ ⟨αἱ⟩ ἀποκοπαὶ FJBast | 24. ἐπιγινομένου A b, ἐπιγινόμενον FJBast | βρᾳδίωc RSchneider, βραιδίωc A b | 26. προκατειλημμένων A b in textu, 'Fort. προκατειλεγμένων' b in var. lect. | post τιc duae tresve litterae erasae in A, sequitur fol. 129 v. | 27. lacunam expl. GFSchoemann, απα . . . A b | 29. lacunam expl. b

⟨παρὰ τὸ ὅϲ⟩ ἐν μονοϲυλλαβίᾳ ἐφύλαξε τὴν βραχύτητα, λεγόμε⟨νον⟩ ὁτὲ μὲν μετὰ ϲυνδέϲμου,

ἅτε παρθένοϲ (Χ 127),

ὁτὲ δὲ μετὰ προθέϲεωϲ, καθά, καθάπερ, καθότι καὶ τὸ ἰϲοδυναμοῦν,

ὥϲτε λέων ἐχάρη (Γ 23),

καθώϲ. — ἔϲτιν οὖν ἐν ἀποκοπῇ τοῦ βάλε (ὅτι δὲ καὶ δύο ϲυλλαβῶν ἀποκοπὴ γίνεται, ἐντελῶϲ ἐν τῷ περὶ παθῶν παρεϲτήϲαμεν). ἐντεῦθεν γὰρ ἂν καὶ τεκμήραιτό τιϲ, ὡϲ οὐδ' ἐντελέϲ ἐϲτι τὸ βάλε,

βάλε δή, βάλε κηρύλοϲ εἴην (Alcm. fr. 26 Bergk[3]),

[καθώϲ τινεϲ ᾠήθηϲαν] ὅπερ ⟨οὐκ⟩ ἐπλεόναϲεν ἐν τῷ ἄβαλε, ⟨καθώϲ τινεϲ ᾠήθηϲαν,⟩ καθὸ οὐδέποτε πλεοναϲμὸϲ λέξεωϲ λείπεται εἰϲ τὸ δηλούμενον τῆϲ λέξεωϲ. οὐδὲ γὰρ τὸ ἀϲταφίϲ εἰϲ τὸ ᾱ ποτὲ μεταληφθὲν ϲημαίνει τὸ αὐτό, οὐδὲ τὸ ἔειπε τῷ ε̄. τὰ μέντοι ἐντελῆ ὄντα, καὶ ἀποκοπτόμενα καὶ ἀφαιρούμενα, φυλάϲϲει τὸ δηλούμενον· τῶν γὰρ φωνῶν τὰ πάθη, καὶ οὐ τῶν ϲημαινομένων. ἀποκοπὲν τὸ δῶ ϲημαίνει τὸ δῶμα· ἀφαιρεθὲν τὸ ἐθέλω τοῦ ε̄ τὸ αὐτὸ ϲημαίνει, τὸ θέλω, καὶ ἔτι προϲαφαιρεθὲν ἐν τῷ λῶ. — ὁ λόγοϲ καθολικόϲ, χωρὶϲ εἰ μὴ ὑπ' ἀμφιβολίαν πέϲοι τι, ἧϲ καὶ τὰ λοιπὰ τῶν λέξεων ἀπολύεται διὰ τῶν ϲυμφερομένων. — τὸ ἄρα ἃ ἀπεκόπη διὰ τὸ ἐν αὐτῷ δηλούμενον, καὶ τὸ βάλε ἀφαίρεϲιϲ διὰ τὸ ἐν λεκτῷ καταλιμπάνεϲθαι τὸ ᾱ.

Τὰ εἰϲ ᾱν λήγοντα ἐπιρρήματα ἐν μακρῷ ἐϲτὶ τῷ ᾱ, τάϲει δὲ βαρείᾳ, ὡϲ ἔχει τὸ λίᾱν, ἄγᾱν, πέρᾱν. — δεδείξεται γὰρ τὸ ὅτᾰν, ὅτι δύο μέρη λόγου ἐϲτίν, ἔκ τε τοῦ ὅτε ἐπιρρήματοϲ καὶ τοῦ ἂν ϲυνδέϲμου, ἐν ᾧ δεδείξεται, ὅτι καὶ ἀνταποδοτικῷ χρῆται ὁ ποιητὴϲ τῷ τόταν, καὶ πότε ⟨περιϲϲῶϲ⟩ ἔγκειται ὁ ἂν ϲύνδεϲμοϲ, λέγω ἐν παραπληρωματικῷ, καὶ πότε οὔ. — Ἀλλ' οὐδὲ τὸ πάμπᾰν ἄλογον ἂν εἴη διὰ τὴν ϲυϲτολὴν τοῦ ᾱ· ἅπαντα γὰρ τὰ ἐξ ὀνομάτων μεταλαμβανόμενα 569

Argum. 6 Ex ἄβαλε per apocopen ἃ, per aphaeresin βάλε nascitur. — 9 Nam si ᾱ in ἄβαλε redundaret, per se ipsum nihil valeret. Nunquam enim syllaba redundans idem atque vox integra significat. — 21 a) Adverbia in ᾱν longam ᾱ habent et barytona sunt. Non repugnat ὅτ-ᾰν; neque absonum πάμ-πᾰν adverbium, nam etiam in ϲύμπαν πρόπαν neutris ᾱ corripitur; itemque in adverbio πάμπαν.

Discr. script. 1. lacunam expl. GDronke | lacunam expl. b | 10. καθώϲ τινεϲ ᾠήθηϲαν transposuit GUhlig | οὐκ add. GUhlig | 12. τὸ ἀϲταφίϲ εἰϲ τὸ ᾱ aut τοῦ ἀϲταφίϲ τὸ ᾱ b in var. lect , τοῦ αϲταφιϲ ειϲ τὸ ᾱ A b in textu | 13. τὸ αὐτό, οὐδὲ τὸ GDronke, τὸ τοιοῦτον, οὐδὲ τῷ A b | τὸ ἔειπε εἰϲ τὸ ε̄ aut τοῦ ἔειπε τὸ ε̄ b in var. lect. | 16. comma post ε̄ delevit et post ϲημαίνει posuit RSkrzeczka τὸ θέλω A b, ⟨ἐν⟩ τῷ θέλω GDronke | 17. ἐν τῷ λῶ A b, ⟨τοῦ θε̄⟩ ἐν τῷ λῶ GFSchoemann | 18. τι, ἧϲ GDronke, δι' ἣν A b | 19. ἃ RSchneider, ἄλφα A b | ἀποκοπὴ pro ἀπεκόπη GUhlig | 20. ἀφαίρεϲιϲ RSkrzeczka, ἀφαίρεϲιν A b, ἀφῃρέθη GDronke | 24. ὅτι KLehrs, πότε A b | ανταποδωτικω A | 25. 'τόταν vel ut nos τότ' ἄν' KLehrs, τότε A | περιϲϲῶϲ add. KLehrs

εἰς ἐπιρρηματικὴν σύνταξιν, τὴν φωνὴν τοῦ ὀνόματος φυλάσσει, ὡς ἔχει τὸ εὐρύ, τὸ ἀτρεκές, τὸ πυκνά, τὸ καλά, τὸ ἰδίᾳ, τὸ δημοσίᾳ, ἄλλα πάμπολλα. ᾧ λόγῳ οὐδὲ τὸ ⟨πάμπᾰν⟩ [πρόπαν] ὠλιγώρηται ⟨κατὰ τὸ πρόπᾰν⟩ ἢ σύμπᾰν· πάλιν γὰρ ἀπὸ ὀνοματικῆς συντάξεως εἰς ἐπιρρηματικὴν ἐχώρησεν. ἔστι τὸ πᾶν, ⟨ὅπερ⟩ μονοσύλλαβον μὲν ὂν ἐν ἐκτάσει τοῦ ᾱ ἐστίν, ὑπὲρ μίαν δὲ συλλαβὴν καθεστηκός, εἴτε καὶ κατὰ σύνθεσιν εἴτε καὶ κατ' ἐντέλειαν τοῦ ἐλλείποντος ᾰ, ἐν συστολῇ, σύμπᾰν, πρόπᾰν, ἅπᾰν· ὅπερ ἀνεδέδεκτο καὶ τὸ ἐπίρρημα ἐν τῷ πάμπᾰν.

Ὁ αὐτὸς λόγος παρακουλουθήσει, ὡς ἕνεκά γε τοῦ τόνου, ⟨οὐ⟩ καὶ ἐπὶ τοῦ ὠτᾶν, τὴν μὲν μακρότητα τοῦ ᾱ φυλάξαν, οὐ μὴν τὴν τάσιν. καὶ κατ' ἄλλον δὲ λόγον ἐπιστάσεως ἔτυχε, καθὸ διτονεῖ. — Γεγενῆσθαι δὲ οἱ μὲν παρ' ἑταιρικὴν ἐκφώνησιν, ὡς Δίδυμος (p. 403 Schmidt) ἔφη, καὶ παραλαμβάνει αὐτὸ παρὰ τὸ ἔτης μετὰ μορίου τοῦ ὦ κλητικοῦ. — Πρὸς ὅν φησι Τρύφων (p. 49 Velsen), ὡς τὰ τῆς κλητικῆς οὐ καταστατή· βραχὺ γὰρ καὶ βαρὺ τὸ ᾱ ἀπαιτεῖ, ὥσπερ καὶ τῷ δώτης τὸ δῶτα παράκειται, θύτης θῦτα. αὐτός γε μήν φησιν, ὡς τὸ ὦ μόριον ἐπεκταθὲν διὰ τοῦ τᾱ ἐποιεῖτο καὶ κλητικὸν ἐπίφθεγμα, καθότι καὶ τῷ δή τὸ δῆτα παρέκειτο· καὶ διὰ τὴν ἀντέμφασιν τὴν πρὸς τὰ ὦτα τὸ ν̄ προσεληλύθει. — Δῆλον δὲ ὅτι οὐδὲ αὐτὸς κατέστησεν οὔτε περὶ χρόνου οὔτε περὶ τόνου. οὐ γὰρ περὶ συστελλομένου τοῦ ὦτᾰν ἡ ζήτησις, περὶ δὲ τοῦ ⟨ἐκ⟩τείνοντος τὸ ᾱ καὶ περὶ τοῦ διτονοῦντος. πῶς δὲ οὐ γέλοιον αἰτεῖσθαι διὰ τὰς συνεμπτώσεις προσθέσεις συμφώνων ἢ ἀφαιρέσεις, ὅτε σχεδὸν πᾶσα λέξις ὑπ' ἀμφίβολον πίπτει, καὶ οὐ πάντως διὰ τὰς συνούσας ἀμφιβολίας δεῖ προσνέμειν ἢ ἀφαιρεῖν σύμφωνα ἢ φωνήεντα. οὐδὲ γὰρ αἰτησάμενος τὸ μὴ διδόμενον κατέστησε τὸ ἐπίρρημα. — Ἔνιοι μὲν οὖν ἀξιοῦσι τὸ ὠτᾶν Δωρικώτερον εἶναι γενικῆς πληθυντικῆς, νοουμένης ἐπὶ τῶν
570 συνήθων, ὡς εἴ τις εἴποι ὦ τῶν ἑταίρων, ὦ τῶν φίλων, λειπούσης

Argvm. 13 Ὠτᾶν Didymus statuit derivari ab ἔτης et ὦ interiectione; — 15 Trypho ab ὦ interiectione τᾱ syllaba adiecta; alii doricum genetivum esse perhibent (ἐτᾶν) cum ὦ interiectione coniunctum.

Testim. 17 cf. schol. Plat. Apol. 25 c. Et. M. 825, 18. — 27 cf. Et. M. 825, 21.

Discr. script. 3 locum restituit KLehrs, οὐδὲ τὸ πρόπαν ὠλιγώρηται (ωλιγορηται A) ἢ σύμπαν Ab | 5. ἔστι τὸ πᾶν, ὅπερ KLehrs, ἔτι τὸ πᾶν A b | ον supra lin. A | 6. συλλαβὴν] fol. 130 r. | 7. κατ'εντελειαν esse in A cernitur, κατ'ευτελειαν L, . . . ειαν b, κατ' ἐντέλειαν vel κατὰ ἐντέλειαν coniectura assecuti sunt KLehrs GFSchoemann, κατ' ἔνδειαν CJBlomfield, κατὰ συνέχειαν vel συνέπειαν OSchneider | τοῦ λήγοντος pro τοῦ ἐλλείποντος OSchneider | 10—11. τόνου, οὐ καὶ RSchneider, τόνου, καὶ Ab in textu, 'Fortasse χρόνου, καὶ ἐπὶ τὸ ὠτᾶν τὸ τὴν' b in var. lect., τοῦ τύπου pro τοῦ τόνου scribi vult GDronke | 11. ἐφύλαξεν pro φυλάξαν GDronke | 15. κλιτικης A | 18. καθότι b, και οτι A | 21. ἐκ add. b | 24. υπ A, ὑπὸ b | 28. λιπουσης A

τῆc φράcεωc. — ἀλλ' οὐδὲ τὸ τοιοῦτον εὐπαράδεκτον· οὐ γὰρ πιθανὸν ἐκ λειπούcηc φράcεωc λέξιν καθίcταcθαι. — ἐπείτοι δόξει τῶν προκατειλημμένων ὑγιεcτέρα ἥδε ἡ κατάcταcιc εἶναι. ἔcτιν οὖν παρώνυμα εἰc ᾱν̄ λήγοντα, ἔcθ' ὅτε καὶ κατὰ τοῦ αὐτοῦ cημαινομένου παραλαμβανόμενα, καθότι ἔcτιν ἐπινοῆcαι καὶ κατὰ πλεῖcτα τῶν παρωνύμων, ὡc ἐργάτηc ἐργατίνηc, ἄπειροc ἀπείρων, ἀνάγκη ἀναγκαία, ἀμαξαία. ἔcτιν οὖν τι μέγιcτοc, καὶ παρὰ τοῦτο τὸ μεγιcτᾶν, ξυνόc τε καὶ ξυνᾶν. ἔφαμεν δὲ ἐν ἑτέροιc, ⟨ὅτι⟩ καὶ παρὰ τὸ νέοc νεᾶν τι ἦν, ἀφ' οὗ τὸ νεανίcκοc καὶ νεανίαc. καὶ παρὰ τὸ ἔτηc οὖν γενήcεταί τι ἐτᾶν, οὗ τὸ κλητικὸν ὁμόφωνον. καὶ ὡc ἀπὸ κλητικῆc πολλάκιc ἐπιρρηματικαὶ cυντάξειc γίνονται, ὡc Δάματερ, Ἥρακλεc, τάλαν, οὕτωc καὶ τὸ ὦ ἐτᾶν . . . αιον παραπεμπομένων ἡμῶν καὶ τὸν ὀξὺν τόνον ἀντὶ περιcπωμένου μεταλαβεῖν.

Καὶ τὰ παρ' Αἰολεῦcι δὲ ἐκ τῶν εἰc δ̄η̄ν̄ ληγόντων μετατιθέντα τὸ η̄ εἰc τὸ ᾱ πάλιν ἐcτὶ βαρύτονα, ὡc ἔχει τὸ κλέβδαν καὶ cύδαν. καὶ ἐπεὶ τὸ δήν ὀξύτονον ἦν διὰ μονοcυλλαβίαν, καὶ τὸ Δωρικὸν ὀξύτονον, τὸ δάν. καὶ ἐπεὶ οἱ πλεοναcμοὶ τὸν αὐτὸν τόνον τηροῦcι, caφὲc ὅτι καὶ τὸ δοάν πλεονάcαν τῷ ο̄ οὐκ ἀντέκειτο.

Τὰ εἰc ᾱc̄ λήγοντα ὀξύνονται (ἰδιαίτερον μὲν παρὰ τὸν ἄνδρα παραχθὲν τὸ ἀνδρακάc). οὕτωc ἔχει καὶ τὸ ἐντυπάc, ἑκάc, ἀνεκάc (ὅπερ Ἀττικοὶ οὐ δεόντωc ἀναβιβάζουcιν, ὡc καὶ ἐν ἑτέροιc ἐπιρρήμαcι, χάριέν φαcι καὶ ἄληθεc, καθὼc δείκνυμεν καὶ ἐπὶ τοῦ cφόδρα). — cημειωτέον οὖν τὸ πέλαc. τὸ γὰρ

ἀτρέμαc, ὄφρ' εὕδῃcι μένοc (Ε 524).

δύναται ἐκ καταλήξεωc τῆc εἰc ᾱ προcειληφέναι τὸ c̄. ὡc γὰρ τῷ ἠρεμῶ τὸ ἠρέμα παράκειται, τῷ cιγῶ τὸ cῖγα, ἀντῶ ἄντα, ⟨οὕτωc⟩

Argvm. 2 Sic autem statuendum: ἐτᾶν est paronymon ἔτηc vocis, cuius vocativus, eadem usus forma et cum ὦ coniunctus, adverbii loco usurpatur. — 14 Adverbia aeolica in δ̄ᾱν̄ = δ̄η̄ν̄ barytona sunt. Neque repugnat δοάν, ut quod pleonasmum passum sit. — 19 Adverbia in ᾱc̄ oxytona sunt. Notandum igitur πέλαc, minus notabile ἀτρέμαc, nam plena forma ἀτρέμα esse videtur.

Testim. 3 Et. M. 825, 12 *Ἔστιν ἔτης, ὃ σημαίνει τὸν συνήθη καὶ φίλον. ἐξ οὗ γίνεται παρώνυμον ἐτᾶν, ὡς Ἑρμῆς Ἑρμᾶν, μέγιστος μεγιστᾶν, καὶ μετὰ τοῦ ὦ κλητικοῦ ἐπιρρήματος ὦ ἐτᾶν, καὶ κατὰ συναλοιφὴν ὦτᾶν.*

Discr. script. 1. πειθανον A | 2. ἐκ λειπούcηc b, ελλειπουcηc A | 2—3. ‘F. προκατειλεγμένων’ b in var. lect. | 6. ‘F. ⟨ἄμαξα⟩ ἀμαξαία’ b in var. lect. | 7. τιc pro τι A | μεγιcτάν ChALobeck | 8. ὅτι add. b | νεάν et l. 9 ἐτάν ChALobeck | 10. κλιτικον et κλιτικηc A | 11. γιγνονται A | ὡc] fol. 130 v. | ὦ ἐτᾶν b, ωταν ο et post spatium duarum triumve litterarum αιον A; lacunam sic explevit GFSchoemann ⟨ἐν ᾧ ἐκτετάcθαι τὸ ᾱ ἀναγκ⟩αῖον, sic GUhlig ο⟨ὗ ἀναγκ⟩αῖον παραπεμπομένων ἡμῶν ⟨τὸ ε̄⟩ καὶ | 15. cυνδαν A | 18. δοάν GFSchoemann ChALobeck, δάν A b | 19. τον A, ‘F. τὴν’ b in var. lect. | 20. παραχθὲν τὸ b, παραχθεντα A | 21. ὅπερ A, ἅπερ b | 24. ευειδηcι pro εὕδῃcι A | 26. οὕτωc add. GDronke

571 ἀτρεμῶ ἀτρέμα καὶ ἀτρέμαϲ, καθ' ὃν λόγον ἔϲτι πολλάκιϲ καὶ [ἐν] ἔνδεια τοῦ ϲ̄ ἐν ἐπιρρήμαϲιν, εἴγε ἀδιάφορον καὶ τὸ πολλάκιϲ καὶ πολλάκι, τουτάκιϲ τουτάκι.

Τὰ εἰϲ ι λήγοντα ἐπιρρήματα, παραγωγὰ ὄντα, ὀξύνεται. Καὶ ἀπὸ ὀνομάτων μὲν παραγόμενα, ταῖϲ τούτων γενικαῖϲ ἰϲοϲυλλαβεῖ, καὶ ἔϲτιν ἐν ἐκτάϲει τοῦ ῑ. παρὰ τὴν ἀθεώρητοϲ καὶ τὴν ἀθεωρήτου τὸ ἀθεωρητί, ἀκονιτί, ἀμογητί, ἀκλαυτί, πανθοινί. καὶ ϲαφὲϲ ὅτι τὸ ἐν ἐκτάϲει τοῦ ῑ ἀμηνυτί ἀναλογώτερον. ὅτι γὰρ τὰ τοιαῦτα διὰ τοῦ ῑ, ϲαφὲϲ μὲν καὶ ἐκ τῶν διαλέκτων, ϲαφὲϲ δὲ καὶ ἐκ τῆϲ παραδόϲεωϲ καὶ ἔτι τῆϲ παρεπομένηϲ ἔϲθ' ὅτε ϲυϲτολῆϲ, ὅπερ ἴδιον τῶν διχρόνων· τὸ γοῦν Ἀρχιλόχειον ϲυνεϲτάλη,

ἀμιϲθὶ γάρ ϲε πάμπαν οὐ διάξομεν (fr. 41 Bergk³).

Πάνυ γέλοιόν ἐϲτι τὸ τὴν αὐτὴν ϲημαϲίαν ἀπαιτεῖν ἔν τε τοῖϲ ἐπιρρήμαϲι καὶ τοῖϲ ὀνόμαϲιν· εἰ γὰρ ἀθεώρητον τὸ οὐ τεθεωρημένον, πῶϲ τὸ ἀθεωρητί ϲημαίνει τὸ μὴ θεωρῆϲαι; καὶ πῶϲ, εἰ ἄκλαυτον τὸ μὴ κεκλαυϲμένον, πῶϲ τὸ ἀκλαυτί τὸ μὴ κλαῦϲαι ϲημαίνει; ἔϲτι γὰρ καὶ ἐν ἄλλοιϲ μέρεϲι λόγου πάμπολλα, οἷϲ ἡ τοιαύτη διαφορά. ἀπὸ παρακειμένων παθητικῶν ἐνεργητικὰ ὀνόματα γίνεται· παρὰ γὰρ τὸ ἔψαλται τὸ ψάλτηϲ, λέλυται λύτηϲ, κεκάθαρται καθαρτήϲ. παρὰ τὴν ἔξ πρόθεϲιν, ϲημαίνουϲαν τὸ ἐκ τόπου, ⟨τὸ ἔξ⟩ω ἐπίρρημα καὶ τὸ ἐν τόπῳ καὶ εἰϲ τόπον δηλοῖ. παρὰ τὴν πρόϲ πρόθεϲιν, πληϲιαϲμὸν ϲημαίνουϲαν (προϲελθεῖν γάρ φαμεν τὸ ἔγγιον ἐλθεῖν) πρόϲω ἐϲτὶν ἐπίρρημα, οὐ ϲημαῖνον τὴν πληϲιότητα. παρ' ἐνεργητικὸν τὸ τέμνω παθητικὸν γίνεται τὸ τόμοϲ, ἐν βαρείᾳ τάϲει· οὐ γὰρ πιθανόν ἐϲτι παρὰ τὸ τέμνομαι, ἐπεὶ οὐκ ἀναλογεῖ ἡ φωνή. ἔϲτι πάμπολλα εἰϲ τὸ τοιοῦτον ἐπιδεῖξαι.

Τὰ μέντοι διὰ τοῦ ϲτ̄ῑ ἐκφερόμενα ἄμεινον ἡγητέον ἀπὸ ῥημάτων
572 παρῆχθαι, εἰ καὶ ϲυνυπάρχει τὰ ῥήματα, καὶ ταῦτα πάντα εἰϲ ζω̄ περατούμενα. καὶ καθὼϲ ἀπὸ μιᾶϲ ϲυζυγίαϲ τῶν ῥημάτων μία ϲχεδὸν καὶ ἡ ϲυζυγία τῶν ἐπιρρημάτων. εὔλογόν τε καὶ τὸ διηλλαγμένον τοῦ

Argum. 3 Adverbia in ī derivata oxytona sunt. Quae a nominibus descendunt, totidem syllabas habent, quot genetivi eorum, et ī longam; — 13 sed notio saepe variatur. — 26 Quae in ϲτ̄ῑ finiunt, a verbis in ζω̄ derivari credenda sunt, si quidem eius modi verba exstant.

Discr. script. 1. [ἐν] delevit b in var. lect., ἐν ἐνδείᾳ A b in textu | 2—3. πολακι | 6. το supra lin. add. A^x | 7. ακονητι A | post πανθοινι in A hoc signum ·/., quo indicetur intercidisse quaedam, in marg. adduntur και ϲαφεϲ — l. 8 αναλογωτερον, quae omiserat A¹, ab A² | 8. ἀμηνυτί vel ἀναιμωτί KLehrs, αμυνιτι A², ἀμυνητί b | 12. διδάξομεν PElmsley | 15. ακλαυϲτον A | 16. ακλαυϲτι A | 20. τὸ ἔξω b, sed una ω littera legi potest in A; το εξω fuerunt primae litterae in fol. 131 r. | Quae a lin. 17—18 ἀπὸ παρακειμένων usque ad l. 25 ἐπιδεῖξαι leguntur, GDronke ita transponi voluit, ut primum locum occuparent haec verba l. 19 παρὰ τὴν — l. 23 πληϲιότητα, alterum haec l. 17—18 ἀπὸ παρακειμένων — 19 καθαρτήϲ, tertium haec 23 παρ' ἐνεργητικὸν — 25 ἐπιδεῖξαι | 24. πειθανον A | 27. εἰ καὶ ϲυνυπάρχει GFSchoemann, ἢ καὶ ϲυνυπάρχειν Ab

ἐπιρρήματος συνδιηλλάχθαι τῷ πρωτοτύπῳ. οὐ γὰρ πιθανὸν παρὰ τὸ Ἕλλην τὸ ἑλληνιστί, μᾶλλον δὲ παρὰ τὸ ἑλληνίζω· παρὰ γοῦν τὸ Θρᾷξ πάλιν, διάφορον κατὰ τὴν κατάληξιν ὄν, οὐκ ἂν τὸ αὐτὸ παρακολουθήσειε, θρᾳκιστί, παρὰ δὲ τὸ θρᾳκίζω, τῆς αὐτῆς πάλιν ἐχόμενον συζυγίας. οὕτως ἔχει παρὰ τὸ δωρίζω δωριστί καὶ αἰολιστί, βαρβαριστί, μηδιστί, συριστί, σκυθιστί. καὶ ἐπεὶ ἅπαξ τὸ ἰάζω συνεκόπη ἐκ τοῦ ἰωνίζω, ἣν καὶ τὸ συνὸν ἐπίρρημα συμμετειληφὸς τοῦ πάθους, ἰαστί. καὶ σαφὲς ὅτι πάλιν τὸ ἰωνιστί τῷ ἰωνίζω παρέκειτο. — Τούτοις δὴ ἐπιστήσας ὁ Τρύφων ἐζήτει περὶ τοῦ μεγαλωστί, ἱερωστί παρὰ Ἀνακρέοντι, καὶ ἔτι τοῦ παρὰ Ἀθηναίοις νεωστί, ὅπερ οὐκ ἀπιθάνως τῇ παρὰ Ἀθηναίοις συνήθει ἐπεκτάσει ἐξέτεινε τὸ ῑ. «ἔδει γάρ», φησι, «παρὰ τὸ μεγαλίζω μεγαλιστί, νεανίζω νεανιστί· καὶ δῆλον ὅτι καὶ τὸ ἱρωστί παρά τι τῶν εἰς ζω ληγόντων ῥημάτων». — Πρὸς ὃν ἔστι φάναι, ὅτι πολλάκις καὶ ἐκ διαφόρων μερῶν λόγου αἱ αὐταὶ παραγωγαὶ γίνονται. παρὰ ῥῆμα τὸ αἰτῶ γίνεται τὸ αἰτίζω, καὶ παρ' ὄνομα τὸ βάρβαρος τὸ βαρβαρίζω· ἔστι δὲ ⟨ὅτε⟩ καὶ παρ' ἐπιρρήματα, ὡς αἰαί αἰάζω. — οὐδὲν οὖν κωλύει καὶ τὰ προκατειλημμένα τὰ μὲν παρὰ ῥῆμα εἶναι, τὰ δὲ ὡς ἠλογημένα ἀπὸ ἐπιρρημάτων παρῆχθαι τῶν εἰς ως περατουμένων, ὥστε ἐν προσθέσει τοῦ τι ἀποτελεῖσθαι, μεγάλως μεγαλωστί, νέως νεωστί, ἱερῶς ἱερωστί.

Ἐδείξαμεν ἐν τοῖς περὶ τοῦ ἀέκητι, ὡς τὰ μὴ ὑποπίπτοντα ὑπὸ τόνδε τὸν λόγον πίπτει ὑπὸ βαρεῖαν τάσιν, αὖθι, ἶφι. διὰ τοῦτο εὐμαρῶς τὰ τοιαῦτα καὶ τ⟨ὸ σ ἀποβάλλει⟩, πολλάκις, τετράκις. τὸ δὲ δίς καὶ τὸ τρίς οὐκέτι ⟨ἀ⟩π⟨οβάλλει διὰ τὸ⟩ εἰς ὀξεῖαν προάγεσθαι. ἕνεκα τούτου μοι δοκεῖ καὶ τὸ χωρίς, ἀποβαλὸν τὸ σ οὐ δεόντως, ἀνα- 573
λόγως βεβαρύνθαι ἐν τῷ

χῶρι διατμήγουσιν (Callim. fr. 48 Schneider)·

ἀναλογώτερά τε τὰ τοιαῦτα εἴη ἐν βαρείᾳ τάσει, ἦχι, ναίχι, τοῦ οὐχί ὀξυνθέντος

οὐχὶ μεθίει (O 716)·

τούτῳ γὰρ τῷ λόγῳ καί τινες ἀνέγνωσαν τὸ

Argum. 8 Quaedam ab adverbiis derivata esse videntur. — 21 In ῐ desinentia quae alio modo orta sunt, gravari solent; barytona in ις facile transeunt in barytona per ῐ terminata, abiecta σ; oxytona in ις non item.

Discr. script. 1. πειθανον A | 2. γουν τω A | Θρᾷξ RSchneider, Θράξ b, δραξ A | 4. δρακιστι et δρακιζω A | 9. ϊερωστι A FJBast, ἱρωστί b | 10. ὅπερ b, ουπερ A | απειθανως A | 13. ἱρωστί A b, ἱερωστί GUhlig | 16. ὅτε add. b | 17. προκατειλημμένα A b, 'F. προκατειλεγμένα' b in var. lect. | 18. τῶν b, in A erat απο των, sed απο deletum alio atram. | 19. τι A et b, qui in var. lect. non recte dicit, Bastium 'cum codice' ῑ scripsisse | 22. αὖθι] fol. 139 v. | 23. lacunam expl. GDronke | 24. οὐκέτι ⟨ἀ⟩π⟨οβάλλει διὰ τὸ⟩ GDronke, οὐκέτι ἐπ . . . ex A enotavit b, sed dubium an falsus sit επ legens | 28. τε b, δε A | 29. οξυνθεντος A, ὀξυνομένου b

πρῶι δ' ὑπηοῖοι (Θ 530)

ἐν βαρείᾳ τάσει. ἀνάλογος γὰρ καὶ ἡ παρ' Αἰολεῦσι βαρεῖα τάσις, λέγω δὲ τοῦ

ὄψι γὰρ ἄρξατο (lyr. gr. fr. adesp. 55 Bergk[3]),

ἀφ' οὗ τὸ ὀψιμαθής· οὐ γὰρ ὑγιὴς ἡ τοῦ ὀψέ τάσις, ὡς δεδείξεται ἐν τῷ περὶ τῶν εἰς ε̄ ληγόντων ἐπιρρημάτων.

Βαρύνεται καὶ ὅσα συνυπάρχει τοῖς εἰς θεν λήγουσιν ἐπιρρήμασιν, οἴκοθεν οἴκοθι, οὐρανόθεν οὐρανόθι, αὐτόθεν αὐτόθι, πόθεν πόθι, ἀγχόθεν ἀγχόθι. ἅπερ φυλάσσει τὸ θ̄, συνόντος τοῦ ο̄ κατὰ τὴν παρεδρεύουσαν ἢ τοῦ σύνεγγυς ω̄, ὡς ἑτέρωθι, ἑκατέρωθι. τὰ γὰρ μὴ τῇδε ἔχοντα πάλιν μὲν βαρύνεται, ἀντί γε μὴν τοῦ θ̄ τὸ σ̄ παραλαμβάνεται, Ἀθήνηθεν Ἀθήνησιν, Θήβηθεν Θήβησιν, Πιτάνηθεν Πιτάνησιν. — Διὸ καὶ σημειώσαιτο ἄν τις τὸ κεῖθι. ἀλλ' ἦν γε ὑπὲρ τούτου φάναι, ὡς τὰ πεπονθότα οὐ τῷ ἐγγινομένῳ πάθει τὸ ἀκόλουθον ἀποτελεῖ, τῇ δὲ τοῦ ὁλοκλήρου προφορᾷ, ὡς ἐπ' ὀνομάτων τὰ συνῃρημένα κατὰ τὰς εὐθείας οὐ τῷ συνῃρημένῳ κατὰ τὰς κλίσεις ἀκολουθεῖ, τῷ δὲ ὁλοκληροτέρῳ (ὡς ἐν διαλέκτοις τὸ χαρίης καὶ τὰ τοιαῦτα οὐ τῇ λέξει τῶν εἰς ης̄ ληγόντων ἠκολούθησεν, τῇ δὲ πρωτοτύπῳ προφορᾷ)· ὡς ἐν πρωτοτύποις πλεονασμοῖς, ἡνίκα τὸ β̄ σύνεστι τῷ ρ̄ παρ' Αἰολεῦσι συνεχέστερον ἐπιφερομένου τοῦ δ̄ ἢ τοῦ τ̄ καὶ ἔτι τοῦ κ̄, καὶ ἕνεκα τούτου τὸ ῥᾴ τὸ β̄ προσελάμβανεν, οὐ τῷ πάθει ἀρκούμενον τοῦ σχή-
574 ματος, τῷ δὲ ἐντελεῖ ῥᾳδίως. τὸ τοιοῦτον ἐπ' ἄλλων ἀπείρων ἔστι παραστῆσαι. καὶ δὴ καὶ τὸ κεῖθι οὐκ ἔχει φύσει τὴν παρεδρεύουσαν διὰ τοῦ ει̅, διὰ δὲ τοῦ νο̄. ὡς γὰρ παρὰ τὴν τούτου τουτόθεν τι γίνεται καὶ παρὰ τὴν αὐτοῦ αὐτόθεν, οὕτως καὶ παρὰ τὴν ἐκείνου ἐκεινόθεν. ἔφαμεν δὲ τὸ ο̄ αἴτιον γίνεσθαι τῆς μονῆς τοῦ θ̄, καὶ εἰ οὐκ ἐπικρατεῖ τὰ πάθη, ἀναγκαία ἡ μονὴ τοῦ θ̄.

Ὁμοίως καὶ τὰ διὰ τοῦ φι̅ παραγόμενα βαρείας ἔχεται τάσεως, λέγω περὶ τοῦ ἦφι βίηφι, οὐρανόφι, ἅπερ ἔσθ' ὅτε καὶ σὺν τῷ ν̄ λέγεται, πασσαλόφιν, ἀριστερόφιν, δεξιόφιν . . . ἔτι καὶ ἄλλα πλεῖστα

Argum. 7 Barytona sunt ea adverbia in ῑ, quibus adverbia in θεν̅ eiusdem radicis praesto sunt; quaedam eiusdem generis, quae ipsa quoque barytona sunt, in σι̅ exeunt. Κεῖθι ex ἐκεινόθι factum est. — 28 Barytona sunt derivata in φι̅; possunt ν̄ assumere.

Testim. 4 Cf. Herod. π. μον. λέξ. 26, 11. — 12 Cf. Schol. Dion. BA p. 945, 12.

Discr. script. 1. ὑπηοῖοι Homerus, υπ' ηοιοι A, ὑπ' ἠοίῃ b | 2. γὰρ Ab in textu, 'F. δὲ' b in var. lect. | 4. 'Fortasse Alcaei' ThBergk | 9. ἅπερ φυλάσσει bis scriptum erat in A, sed mendum sustulit A[1] | 15. προφοραι A | 18. τῇ b, εν τη A | προφοραι A | 21. τὸ ῥᾴ b, το ρ̄ A | 22. ραιδιωc A | GUhlig dubitat sintne haec τῷ δὲ ἐντελεῖ ῥᾳδίως delenda, an his servatis ἀκόλουθον addendum | 24. ει̅ b in var. lect., η̄ Ab in textu | 28. ab εcθ οτε vocibus, quae nunc fere evan. in A, incipit fol. 132 r. | 30. ετι και A, ἔτι b

μόρια τοιαῦτά ἐστιν, αἱ Αἰολικαὶ ἀντωνυμίαι, ἄμμι ἄμμιν, τὰ τρίτα πρόσωπα, ἔχουσι ἔχουσιν, λέγουσι λέγουσιν, αἱ δοτικαὶ πληθυντικαί, παισί καὶ παισίν.

Τὰ δὴ προκείμενα παρὰ πᾶσιν ὑπείληπται ὡς ἐπιρρήματα εἴη, ὧν ἐστὶ καὶ Τρύφων (p. 51 Velsen). — διὸ καὶ αὐτοί φαμεν, ὡς ἕνεκα τῆς παραγωγῆς εἶναι τὴν βαρεῖαν· ὡς ἕνεκα δὲ τῆς ἀκριβοῦς παραδόσεως, μήποτε παραγωγαί εἰσι κατὰ τοῦ αὐτοῦ δὴ δηλουμένου παραλαμβανόμεναι. — Φησὶν οὖν ὁ Τρύφων τὸ τηνικαῦτα αὐτὰ παράγεσθαι εἰς τὴν ταυτότητα, ἐπὰν ἡ φωνὴ ἡ τοῦ πρωτοτύπου ὁλόκληρος καθεστήκῃ, ὡς ἐν τῷ ἶφι βίηφι· εἰ δὲ μὴ τῇδε ἔχει, τὸ τηνικαῦτα ἐπιρρηματικῆς ἔχεσθαι συντάξεως τὰ μόρια, ὡς ἐπὶ τοῦ χαλκόφι χαλκός. «ἰδοὺ γάρ», φησιν, «αἱ παραχθεῖσαι γενικαὶ ἔχουσι τὸν ἀριθμὸν εὐδιάκριτον, ἡ καλοῖο, ἡ Ἀτρείδαο· τὸ δέ φησι κατ' ὄρεσφι τί μᾶλλον κατ' ὄρους ἢ κατ' ὀρῶν; ἴδιον δὲ τὸ μὴ διακρίνειν ἀριθμὸν ἐν συντάξει ἐπιρρήματος». κατὰ δὴ ταύτην τὴν ἔννοιαν ἀπεφαίνετο τὰ τοιαῦτα ἐπιρρήματα εἶναι. — Ἔστι μέντοι, ἀναλαβόντα τὸν λόγον, ἐκεῖνο φάναι, ὡς πρῶτον παρὰ Σικυωνίοις ἐν γενικῇ ⟨ἑνικῇ⟩ ἀπειράκις παραλαμβάνεται· καὶ ὡς τὸ ἀπὸ χαλκόφι τὴν ἀπὸ χαλκοῦ γενικὴν σημαίνει, οὐχὶ χαλκῶν, οὕτω καὶ τὸ κατ' ὄρεσφιν οὐκ ἄλλο τι σημαίνει ἢ τὴν κατ' ὄρους. — πρός τε τὸν ἀπὸ τῆς φωνῆς λόγον, ὡς πάνυ ἐστὶ βίαιον τὸ διὰ τῆς μονῆς τῆς 575 τῶν πρωτοτύπων φωνῶν παραδέξασθαι τὴν ταυτότητα τοῦ πρωτοτύπου, διὰ δὲ τῆς ἐλλείψεως παραδέξασθαι ἐπιρρηματικὴν παραγωγήν. καὶ γὰρ κατὰ τὸ ἐναντίον φωναὶ μένουσαι ἐν συντάξει ἐπιρρήματα γίνονται, ὡς τὰ ὀνοματικὰ ἅπαντα οὐδεμιᾶς παραφθορᾶς γινομένης ἐν ταῖς φωναῖς (τὰ δὲ ὑποδείγματα πρόκειται, ἄπειρα ὄντα)· καὶ αἱ φωναὶ παραχθεῖσαι καὶ παραφθαρεῖσαι τὰ τέλη μένουσιν ἐν ταῖς ἐννοίαις τῶν πρωτοτύπων. οὐ γὰρ ἐπεὶ τὸ χαλκόφιν ἀπέβαλε τὸ ῡ κατὰ τὴν παραγωγήν, παρὰ τοῦτο οὐ γενική, ἐπεὶ οὐδὲ τὸ ἐμεῦ, ἀποβαλὸν τὸ ῡ ἐν τῷ ἐμέθεν, οὐκ ἀντωνυμία. — οὐκ ἄρα πάντως παρὰ τὰς ἀποβολὰς τῶν στοιχείων ὁ μερισμός, παρὰ δὲ τὰς γινομένας συντάξεις, ὥς γε καὶ ἐντελῶς παραστήσομεν περὶ τῶν εἰς θεν ληγόντων ἐπιρρημάτων, τίνα τε ὄντως ἐστὶν ἐπιρρήματα, καὶ τίνα αὐτὸ μόνον παραγωγῇ κέχρηται τῇ διὰ τοῦ θεν, φυλάσσει δὲ τὴν τῶν πρωτοτύπων ἔννοιαν. — Ἔτι ἡ γινομένη παραγωγὴ ἐν ἐπιρρήμασι κατὰ μιᾶς ἐστὶ συντάξεως, ὡς ἡ διὰ τοῦ θι ἐν συντάξει ἐστὶ τῇ κατὰ δοτικήν, οἴκοθι ἐν οἴκῳ, Ἀβυδόθι ἐν Ἀβύδῳ,

Argum. 4 Haec in φι desinentia a plerisque adnumerantur adverbiis; sed videntur potius ita derivari, ut in ea orationis parte, cuius vox primitiva fuit, maneant.

Discr. script. 1. ἐστιν, αἱ GDronke, εστιν και A, ἐστι καὶ b in textu, ἐστι καὶ αἱ id. in var. lect. | 6. παραδωσεως A | 9. καθεστηκε A | 12. εὐδιάκριτον b, αδιακριτον A | 16. εκεινον A | 17. ἑνικῇ add. GDronke | 18. χαλκον pro χαλκῶν A | 24. παραφορας A | 29. αποβαλλον A | 31. ἐπιρρημάτων] fol. 132 v. | 33. των supra lin. A² | 35. κατα in marg. add. A¹

ἥ τε διὰ τοῦ $\overline{\delta\epsilon}$ ἐν συντάξει τῇ κατ' αἰτιατικήν, οἴκαδε εἰς οἶκον, ἄγραδε εἰς ἀγρόν, καὶ ἐπὶ τῶν ἄλλων ὁ αὐτὸς λόγος· ἡ δὲ προκειμένη παραγωγὴ οὐκ ἔχει τῇδε, ὡς οὐκ ἂν ἐπιρρηματικὴ γινομένη. καὶ γὰρ κατὰ γενικήν ἐστιν, ὡς τὸ χαλκόφιν καὶ πασσαλόφιν, καὶ ἐν δοτικῇ, ὡς φρήτρηφι, καὶ ἐν αἰτιατικῇ, δεξιόφιν, ἀριστερόφιν. καὶ κατὰ τοῦτο ἄρα τὰ προκείμενα μόρια οὐκ ἔχεται ἐπιρρηματικῆς παραγωγῆς. ἔστι δὲ καὶ παρὰ Ἀλκμᾶνι (fr. 59 Bergk[3]) καὶ κατὰ κλητικῆς τὸ οὐρανία οὐρανίαφιν, τῶν τοιούτων πλεονασμῶν οὐ κρατούντων τὰς πτώσεις. καὶ γὰρ τὸ τοιόσδε καὶ τὸ τοιοῦδε καὶ τοιῷδε, παραγωγῆς ἐχόμενα τῆς διὰ τοῦ $\overline{\delta\epsilon}$, ὡς εἰ πάλιν ἦν ἐπιρρηματικὴ παραγωγή, κατὰ μίαν πτῶσιν
576 ἦν. — Προαλὲς δὲ καὶ τὸ λαβεῖν ὅτι ἐν τῷ ἦφι βίηφιν ὁλόκληρος ἡ παραγωγή. εἰ γὰρ αὖ ἡ παραγωγὴ στοιχείου γίνεται ἀφαιρετική, ὡς ἐπὶ γενικῆς τοῦ $\bar{\upsilon}$, ἐκ πασσαλόφι καὶ χαλκόφιν, ὡς ἐπ' αἰτιατικῆς τοῦ $\bar{\nu}$, δεξιόν δεξιόφιν, ἀριστερόν ἀριστερόφιν, δοθήσεται ὅτι καὶ κατὰ τὸν λόγον τῆς δοτικῆς ὑφιᾶσι τὸ ῑ, καὶ τὰ τῆς ὀρθογραφίας οὕτως καταστήσεται δίχα τοῦ ῑ γραφόμενα. καὶ σαφές ἐστιν ὅτι τὰ προκείμενα, ἀκουόμενα ἔχοντα στοιχεῖα, πρόδηλον ἔσχε καὶ τὴν ἀφαίρεσιν· τὰ δὲ ἐν τῇ δοτικῇ οὐκ ἐξεφώνει τὸ ῑ· σαφὲς γοῦν ὅτι, κἂν ἐλλείψῃ τὸ ῑ, οὐ πρόδηλον ἕξει τὴν ὑποστολήν.

Τὰ εἰς $\bar{\omega}$ λήγοντα βαρύνεται, ἔσω, κύκλῳ, τόνῳ, πόρρω, πρόσω, ἑκαστάτω, ἀνωτέρω, ἀνωτάτω, περαιτέρω. ὥστε ἕνεκα τούτου σημειοῦσθαι τὸ ἐ π ι σ χ ε ρ ώ καὶ ἰώ. Ἀλλ' ἴσως ἡ μὲν προκατειλεγμένη τῶν εἰς ω βαρεῖα τάσις ἔχει τὴν ὁμοείδειαν συνῳδὸν τοῦ τόνου· ἦν γὰρ ἅπαντα ἐν παραγωγῇ, ὡς εἰ καί τις οὕτως εἴποι· τὰ εἰς $\bar{\omega}$ λήγοντα ἐπιρρήματα παραγωγὰ ἐν βαρείᾳ τάσει ἐστί. καὶ εἰ μὲν ἀπὸ προθέσεων γέγονεν, ἰσοσυλλαβοῦντα μὲν ταῖς προθέσεσιν, εἰ καὶ δισύλλαβοι εἶεν αἱ προθέσεις· περισσοσυλλαβοῦντα δέ, εἰ ἀπὸ μονοσυλλάβων προθέσεων εἴη ἡ παραγωγή. διότι δὲ τὸ τοιοῦτον παρέπεται, ἐν ἄλλῳ τόπῳ καθολικώτερον εἰρήσεται. τὰ δὲ ὑποδείγματα ἐκκείσθω· παρὰ τὴν ἀνά ἄνω, κατά κάτω, πρός πρόσω, ἔς ἔσω. τό τε τόνῳ καὶ κύκλῳ πρὸς ὁμοφωνίαν τὴν ἀπὸ τοῦ τόνος καὶ κύκλος ἐν δοτικῇ πτώσει. ἦν οὖν καὶ ταῦτα ἐκ προκειμένου γεγονότα. ἀλλὰ μὴν καὶ τὸ ἑκαστάτω καὶ ἑκαστέρω

Argum. 20 Adverbia in ω gravantur praeter ἐπισχερώ et ἰώ, quae sunt oxytona; etiam adverbia in $\bar{\omega}$ a praepositionibus, — 30 a dativis nominum, a comparativis superlativisque derivata oxytona sunt.

Testim. 7 Cf. Schol. N 588.

Discr. script. 2. ἄγραδε KLehrs, ἀγρόνδε Ab | 7. κλιτικης A | ουρανια ουρανιαφιν A, οὐρανίαφιν b | 10. $\overline{\delta\epsilon}$, ὡς εἰ A b, $\overline{\delta\epsilon}$ ⟨κατὰ διαφόρους πτώσεις ἦν. ἀλλ'⟩ εἰ GDronke | 12. εἰ γὰρ αὖ ἡ b, η γαρ αυτη A | 13. τοῦ $\bar{\upsilon}$ b, ως εκ του A | εκ πασσαλοφι A, πασσαλόφι b | 16. σαφες εστιν A, σαφές b | 17. ακουομενα A[2] in marg. b, om. A[1] | 18. γοῦν] 'Praestiterit οὖν. Item p. 166, 1' b in var. lect. | ελληψει A | 21. περεταιρω pro περαιτέρω A | ὥστε b, ως τε A | 28. παρέπεται] fol. 133 r. | 30. ⟨⟩πρός πρόσω GDronke, πρό πρόσω Ab

ἦν ἐν συγκριτικῇ παραγωγῇ. τά γ' οὖν προκατειλεγμένα δέδεικται ὡς εἴη παραγωγά. ἦν οὖν τὰ προκείμενα, λέγω τὸ ἐπισχερώ καὶ ἰώ, οὐκ ἐνεχόμενα τῇ δοτικῇ παραγωγῇ, καὶ ἕνεκα τούτου οὐδὲ τῇ ταυτότητι τῆς τάσεως ἐχρήσατο. ὅτι δὲ καὶ ἐν παραγωγῇ τινὰ γινόμενα διαλλάσσει κατὰ τὴν τάσιν τῶν πρωτοτύπων ἢ τῶν μὴ κατὰ τὸ αὐτὸ γενομένων, [577] ἐδείξαμεν περὶ τῶν εἰς ῑ ληγόντων ἐπιρρημάτων, εἴγε ἃ μὲν αὐτῶν πάλιν ὀξύνεται, ἃ δὲ βαρύνεται ἐν διαστολῇ τῇ δεούσῃ· οὐ γὰρ τὸ νόσφι καὶ τὸ ἶφι ὁμοίως εἰρήσεται τῷ ἑλληνιστί. καὶ εἰ δέδοται τὸ παρηλλαγμένον τοῦ τόνου ἐν διαφόρῳ εἴδει, σαφὲς ὅτι οὐδὲ ἐπὶ τοῦ τοιούτου βίαιον καὶ τὸ ἐπισχερώ ὀξύνεσθαι καὶ τὸ ἰώ, ἐν παραλλαγῇ καθεστῶτα τοῦ πρόσω καὶ τόνῳ καὶ τῶν ὁμοίων.

Ἔτι τὰ εἰς ω λήγοντα ἐπιρρήματα παροξύνεται, καθὼς ἔχει τὰ προκατειλεγμένα, πρόσω, ἔσω, κάτω, ἐγγυτέρω. σαφὲς οὖν ὅτι, καθὼς προείπομεν, εἰ ἐπίρρημα τὸ ἄνεῳ, σεσημειώσεται. — ἀλλ' εἰ παρεστήσαμεν ὡς τὰ συνεμπίπτοντα ὀνοματικῇ πτώσει ἐπιρρήματα τὴν τάσιν τῶν ὀνομάτων φυλάσσει, σαφὲς ὅτι προπαροξυνόμενον ἕνεκα τοῦ τόνου κατώρθωται. ἐδείκνυτο γὰρ τὸ προκείμενον, ὡς ἀπὸ Ἀττικῆς γραφῆς τῆς ἄνεως ἐσχημάτιστο· ἦν δὲ τὸ παρὰ Ἀττικοῖς ἄνεως τρίτην ἀπὸ τέλους ἔχον τὴν ὀξεῖαν. ὅθεν εὐλόγως τὰ μὲν ἄλλα βαρυνόμενα τὴν ὀξεῖαν πρὸ τέλους ἔχει, οὐ δυναμένης τῆς ὀξείας ⟨εἰς⟩ τρίτην ἀπὸ τέλους πίπτειν.

Ἔτι τὰ εἰς ω̄ λήγοντα ἐπιρρήματα βραχείᾳ κέχρηται τῇ παρεδρευούσῃ, ὡς ἔχει τὸ ἑκαστέρω καὶ τὸ τόνῳ, ἄνω. — καὶ οὐκ ἀντίκειται τὸ εἴσω· δέδεικται γὰρ καὶ ἡ ἐς πρόθεσις ὁλοκληροτέρα καὶ τὸ ἔσω. — Τὸ ἄρα πόρρω ἐκτέταται ὡς Ἀττικώτερον, καθὸ καὶ τὸ προπέρυσι πρωπέρυσίν φασι, καὶ ὅτι μᾶλλον μηκυντικοί εἰσι κατὰ τὰ φωνήεντα· περισσοσυλλάβου πάσης γενικῆς κατάληξίς ἐστι βραχεῖα, ἀλλὰ Ἀθηναῖοι πόλεώς φασι καὶ τὰ τούτοις ὅμοια. κτητικῶν τῶν εἰς κ̄ο̄ς̄ ληγόντων ἡ παρεδρεύουσα βραχεῖά ἐστιν, ἀλλὰ κεραμεικός τέ φασι καὶ βοεικός. τὸ ᾱ πρὸ τῶν δύο λ̄λ̄ συστέλλεται, σκάλλω, θάλλω, σφάλλω, ἄλλος, μαλλός, φάλλος· ἐδείχθη καὶ κατὰ τοῦτο τὸ μᾶλλον Ἀττικόν. ἄπειρος ἡ εἰς τὸ

Argvm. 14 Ἄνεῳ iure proparoxytonon est, quippe cuius forma cum casu nominis congruat. — 25 Πόρρω adverbium ex πόρῳ ortum esse videtur, ut altera ρ̄ atticae dialecto debeatur.

Discr. script. 1. γ' οὖν et h. l. reposuit et fortasse p. 165, 18 reponendum esse censet GUhlig, γοῦν Ab | 6. περὶ τῶν A b, ⟨ἐν τῷ⟩ περὶ τῶν RSkrzeczka GDronke | 9. τοῦ τόνου ἐν διαφόρῳ εἴδει GUhlig, τοῦ εἴδους ἐν διαφόρῳ τόνῳ Ab | 14. ανεω A | ἀλλ' εἰ GUhlig, καὶ εἰ Ab | 15. ονομαστικη A | 20. τῆς ὀξείας εἰς τρίτην b in var. lect., της οξειας τριτην A, τῆς ὀξείας τρίτης b in textu, τῆς ὀξείας ⟨τρίτης ἀπὸ τέλους εἶναι· τὸ δὲ ἄνεῳ προπαροξύνεται, Ἀττικῶς δυναμένης τῆς ὀξείας εἰς⟩ τρίτην GDronke | 22. βραχειαι A | 25. αττικοτερον A | 27. κατάληξις] fol. 133 v. κατα in καταληξις voce add. A^2 in marg. | 29. τε φασι A, φασι b

578 τοιοῦτο παράθεϲιϲ. — Ἄλλωϲ τε, ὃν τρόπον παρὰ τὴν τόνῳ δοτικὴν τὸ ὁμόφωνον γίνεται ἐπίρρημα τόνῳ, οὕτωϲ καὶ παρὰ τὴν πόρῳ δοτικὴν τὸ ἀκόλουθον ἐγένετο πόρῳ. ἴϲωϲ δὲ καὶ ὁ πλεοναϲμόϲ τῆϲ διαλέκτου. διὸ καὶ ὁ πυρρίαϲ· τῇ γὰρ πυρόϲ γενικῇ παρωνόμαϲται. καὶ ὁ πυρρόϲ τῇδε ἔχει. — Οὐκ ἀγνοῶ δὲ ὡϲ ἔνιοι παρὰ πρόθεϲιν τὴν πρόϲ φαϲι γεγενῆϲθαι, ὥϲτε ἐν ὑπερβατῷ τοῦ ρ̄ γεγενῆϲθαι πόρϲω, καὶ μεταθέϲει τοῦ ϲ̄ εἰϲ τὸ ρ̄ πόρρω. οὐκ ἀήθωϲ δὲ καὶ τὸ ϲ̄ εἰϲ τὸ ρ̄ μεταπίπτει, ὡϲ ἡ μυρϲίνη μυρρίνη, θαρϲεῖν θαρρεῖν.

Ἔτι καὶ τὸ οὕτω εἰ κατὰ φύϲιν εἰϲ ω̄ λήγει, ἕνεκα τοῦ χρόνου τοῦ παρεδρεύοντοϲ ϲεϲημειώϲεται. — ὅθεν διακριτέον, πότερον ἐν προϲθέϲει ἐϲτὶ τοῦ ϲ̄ τὸ οὕτωϲ ἢ ἐν ὑφαιρέϲει τοῦ ϲ̄ ⟨τὸ οὕτω⟩. — Οὐδὲν τῶν εἰϲ ω̄ ληγόντων ἐπιρρημάτων τὸ ϲ̄ ποτὲ προϲλαμβάνει, ἀπειράκιϲ μέντοι τὰ εἰϲ ϲ̄ λήγοντα βαρύτονα ἐπιρρήματα τὸ ϲ̄ ἀποβάλλει· δεύτερον ἄρα ἐϲτὶ τὸ οὕτω τοῦ οὕτωϲ. — Τὰ εἰϲ ω̄ λήγοντα ἐπιρρήματα δείκνυται ἢ ἀπὸ ὀνομάτων τῶν οὐ τριγενῶν ἐϲχηματιϲμένα ἢ ἀπὸ προθέϲεων, ὡϲ ἔχει τὸ τόνῳ, κύκλῳ, κάτω καὶ τὰ ὅμοια· τὰ δὲ εἰϲ ωϲ περατούμενα πάντωϲ ἀπὸ τριγενῶν πτωτικῶν, κούφωϲ, φίλωϲ, μέϲωϲ, ταχέωϲ, εὐϲεβῶϲ, καλῶϲ. ἔϲτι δέ γε τὸ οὗτοϲ οὐ μοναδικόν, τριγενὲϲ δέ. ϲαφὲϲ οὖν ὅτι καὶ κατὰ τοῦτο τὸ οὕτωϲ ἐντελέϲτερον.

Ἴϲωϲ τιϲ οἰήϲεται τὸ παράδειγμα ἐνέχεϲθαι πολλοῖϲ ἀντικειμένοιϲ, πρόληψιν ἔχων τοῦ ὅτι παρὰ τὸ ἐγγύτατοϲ ⟨τὸ⟩ ἐγγυτάτω ἐγένετο, παρά τε τὸ ἐϲώτατοϲ τὸ ἐϲωτάτω, καὶ ἔτι ἐπὶ τῶν τοιούτων ὑπερθετικῶν. ὅπερ ἐχρῆν καὶ τὸν Τρύφωνα, ἀποφαινόμενον τὸν προκείμενον κανόνα, περὶ τῶν δοκούντων ὡϲ ἀντικειμένων ἀπολογήϲαϲθαι. τὰ δὴ οὖν προκείμενα ἐπιρρήματα οὐ παρὰ τὰ προκείμενα ὑπερθετικὰ ὀνόματα

Argvm. 5 Quidam illud a πρόϲ praepositione derivari censent. — 9 Οὕτωϲ plena forma est, non οὕτω. Nam adverbia in ω non assumunt ϲ̄ litteram, quae vero in ϲ exeunt, eam haud raro abiciunt; deinde, quae a nominibus triplicis generis derivantur, in ω̄ϲ exeunt. — 21 Quacum regula ἐγγυτάτω non pugnat; nam non ab ἐγγύτατοϲ adiectivo, sed a positivo adverbiali descendit.

Testim. 14 Epim. Cr. 307, 9 *τὰ ἀπὸ τριγενῶν ὀνομάτων γινόμενα μεσότητος ἐπιρρήματα εἰς ω̄ς λήγειν ὀφείλουσιν· οἷον καλός καλή καλόν καλῶς· φίλος φίλη φίλον φίλως· κοῦφος κούφη κοῦφον κούφως· ὅταν δὲ μὴ τριγενὲς ᾖ, εἰς ω̄ς* (ω scr. JACramer) *λήγουσιν, οἷον κύκλος κύκλῳ, πρός πρόσω.* Cf. Et. M. 643, 32. Et. Gud. 443, 21.

Discr. script. 3. πορρω A | διπλαϲιαϲμόϲ pro πλεοναϲμόϲ GDronke | post πλεοναϲμόϲ est ατηϲ in A, sed uncis inclusum | 4. πυρρι˜ pro πυρριαϲ A | 8. μυρρίνη b, μυρινη A | 10. τοῦ τῆϲ παρεδρευούϲηϲ pro τοῦ παρεδρεύοντοϲ GDronke | 10. ϲεϲημειωϲεται scriptum erat in A, sed erasis ϲε litteris est ϲεϲημειωται, ϲεϲημειώϲεται b | 11. υφαιρεϲει A, ἀφαιρέϲει b | τὸ οὕτω add. b | 18. ουτωϲ A | 21. ἐνέχεϲθαι RSkrzeczka et L ex coniectura, ut videtur, nam in A est ερεχεϲθαι, ita tamen ut pars ρ litterae erasa sit, ἔρχεϲθαι b in textu, 'F. ἔχεϲθαι' id. in var. lect. | 22. τὸ add. b | 25. litterae μενων απολογη A² in rasura

ἐcχημάτιcται, ἣν δὲ ὑπερτεθειμένα ἐξ ἐπιρρημάτων cυγκριτικῶν. τὰ δὲ τῆc ἀποδείξεωc ἔχει τῇδε. εἴπερ παρὰ τὸ ἐγγύτατοc καὶ ἀνώτατοc τὸ 579 ἐγγυτάτω ἦν καὶ ἀνωτάτω, δῆλον ὡc καὶ παρὰ πάντα τὰ ὑπερθετικὰ τὸ τοιοῦτον ἂν παρείπετο, ὥcτε ἀπὸ τοῦ γοργότατοc φάναι ἡμᾶc τὸ γοργοτάτω, ταχύτατοc ταχυτάτω, ἡδύτατοc ἡδυτάτω, γραμματικώτατοc γραμματικωτάτω. ἀλλ' οὐχ ὡc ἔcτι τὰ τοιαῦτα ἐπιρρήματα, παντὶ προῦπτον. εἴπερ οὖν τὰ προκείμενα ἐπιρρήματα παρ' ὄνομα ἐγεγόνει, ἄπορον ἂν τὸ τοιοῦτον ἦν, παρὰ τί ἡ κακία τῶν τοιούτων ἐπιρρημάτων, γενομένη ἐν Ἑλληνιcμοῦ παραδοχῇ [λέγω ἡ τοῦ ἀνωτάτω ἢ κατωτάτω]. — Τὰ ἐπιρρήματα οὐχ ἅπαντα μὲν τὴν cύγκριcιν ἀναδέχεται, ὅτι μὴ μόνον τὰ ἀναδεχόμενα εἴη τοπικά, ἅπερ ἀπὸ πρωτοτύπων πάλιν ἐπιρρημάτων ἐcτί, ποιεῖται δὲ διττὴν τὴν ἐπίταcιν, εἰc μὲν ὄνομα, ἡνίκα φαμὲν παρὰ τὸ ἐγγύc ἐγγύτεροc, παρά τε τὸ ἄφαρ ἀφάρτεροc, ἔcω ἐcώτεροc, ἄνω ἀνώτεροc, ἅπερ οὐκ ἐπίταcιν πεποίηται τῶν τόπων ἢ τῶν μετειληφότων προcώπων τῆc τοπικῆc cχέcεωc· ποιεῖται δὲ καὶ τοπικὴν ἐπίταcιν, ἅπερ αὐτὴν τὴν τοπικὴν cχέcιν ἀφηγεῖται, ἐγγύc ἐγγυτέρω, ἔcω ἐcωτέρω, ἑκάc ἑκαcτέρω. — ὥcτε διαφέρειν τὰ ἀπὸ ὀνομάτων cυγκρινόμενα τῶν ἀπὸ ἐπιρρημάτων, τῷ τὰ μὲν ἀπὸ ὀνομάτων εἰc μόνα ὀνόματα cυγκρίνεcθαι, κοῖλοc κοιλότεροc, ταχύc ταχύτεροc, τὰ δὲ ἀπὸ ἐπιρρημάτων καὶ εἰc ὀνόματοc καὶ εἰc ἐπιρρήματοc ἐπίταcιν, ὡc πρόκειται. — τοῖc δὴ οὖν cυγκριτικοῖc τῶν ἐπιρρημάτων παρεπόμενόν ἐcτι τὸ ὑπερτίθεcθαι, ὡc πρόδηλον κἀκ τῆc καταλήξεωc, καθὸ καὶ ἐπ' ὀνοματικῆc cυγκρίcεωc ἡ αὐτὴ πάλιν κατάληξιc ἐγγίνεται, γοργότεροc γοργότατοc, ταχύτεροc ταχύτατοc. καὶ πάλιν παρὰ τὸ ἀνωτέρω τὸ ἀνωτάτω. caφὲc οὖν, ὅτι cυνυπάρχοντα ταῖc cυγκριτικαῖc ἐκφοραῖc τῶν ἐπιρρημάτων ὁμολογεῖ τὴν ἀπ' αὐτῶν ἐπίταcιν. οὐ γάρ ἐcτιν εὐμαρὴc ἡ εἰc ω̅ κατάληξιc τῶν ὑπερθετικῶν, εἰ μὴ πρότερον ἡ cυγκριτικὴ γένοιτο κατάληξιc. ἐπεὶ γὰρ οὔ φαμεν 580 βραδυτέρω, οὐδὲ βραδυτάτω· οὐδὲ γὰρ τὸ προκείμενον ἦν ἐπίρρημα. τῷ ἐγγύc παράκειται καὶ ἐγγύτεροc καὶ ἐγγυτέρω, καὶ cυνυπάρχει τὸ ἐγγυτάτω. ἀπεδείχθη οὖν, ὡc οὐ παρὰ τὸ ἐγγύτατοc ἢ ἀνώτατοc ἡ

Argum. 3 Quod nisi ita esset, caussam non perspiceres, cur non ab omnibus adiectivis eius generis adverbia in ω̅ derivari possent. — 10 Adverbia non omnia comparationem admittunt, sed omnia localia, a quibus et adiectiva et adverbia derivantur comparativa. — 21 Adverbiorum igitur comparativi in superlativos transeunt adverbiales.

Discr. script. 2. εἴπερ] fol. 134 r. | 6. γραμματικοτατοc A | οὐχ ὡc A b, ὡc οὐκ EEgger | 7. 'F. ὀνόματα' b in var. lect. | 9. παραδόcει pro παραδοχῇ RSkrzeczka | 9—10. λέγω — κατωτάτω delevit RSchneider; RSkrzeczka pro ἀνωτάτω ἢ κατωτάτω scribit ταχυτάτω ἢ ἡδυτάτω | 11. b non recte dicit in A esse μονων, est enim μονον, ut ipse scripsit in textu | 14. ἐπίταcιν b, επι παcιν A | 15. ἢ A et b in textu, 'malim ἀλλ' ἢ' b in var. lect. | 16. cχέcιν b, επιταcιν A | 23. καθο A, καθὼc b | 30. τῷ b, το A

ἀνωτάτω καὶ τὰ-τούτοις ὅμοια ἐγίνετο. ἔστι γε μὴν ἀπὸ ὀνομάτων συγκριτικῶν ἐπιρρηματικὴ κατάληξις συνεμπίπτουσα. ἐπὶ μὲν οὖν συγκρίσεως ἑνικῷ οὐδετέρῳ, ἐπὶ δὲ ὑπερθέσεως πληθυντικῷ οὐδετέρῳ· ταχύς ταχύτερον, ἀλλὰ καὶ ἐπίρρημα ταχύτερον· καὶ πληθυντικὸν ταχύτατα, ἀλλὰ καὶ ⟨ἐπίρρημα⟩ ταχύτατα. οὕτως ἔχει καὶ τὸ κάλλιστα καὶ ἥδιστα. ἔστι μὲν οὖν παρὰ μὲν ὄνομα τὸ ἐγγύτερος ἐπίρρημά τι συγκριτικὸν ὀνοματικὸν τὸ ἐγγύτερον, οὗ ὑπερθετικὸν τὸ ἐγγύτατα· καὶ ἔτι παρὰ τὸ ἀνώτερος ἐπίρρημά τι τὸ ἀνώτερον, οὗ ὑπερθετικὸν τὸ ἀνώτατα· ὡς μέντοι πρόκειται, παρὰ τὸ ἀνωτέρω ὁμοιοκατάληκτον πεσεῖται τὸ ἀνωτάτω, ὥστε διαφέρειν τὸ ἀνωτάτω τοῦ ἀνώτατα, ᾗ τὸ μὲν ὀνοματικόν ἐστιν ἐπίρρημα, τὸ δὲ ἐπιρρηματικόν.

Καὶ τὸ ἄφνω δέ, ἐν πάθει γενόμενον καὶ οὐ προφανῶς ἐπιδεξάμενον τὴν προκειμένην ὀνοματικὴν τριγένειαν, συνεξῆλθε τοῖς εἰς ω̅ λήγουσιν ἐπιρρήμασιν. ἔστι μὲν γὰρ αὖ τούτου προκείμενον ὄνομα ἀφανής, καὶ ἔτι τὸ ἀφανῶς, ἡ δὲ συγκοπὴ ἄφνω, πάλιν καὶ τοῦ τόνου εὐλόγως ἀναβιβασθέντος, ᾗ ἀπεδείχθη τὰ εἰς ω̅ λήγοντα ἐπιρρήματα, μοναδικὰ ὄντα λέγω, κατὰ βαρεῖαν τάσιν. ὅτι δὲ ἔσθ’ ὅτε πάθος ἐγγινόμενον ἀμαυροῖ τὰς ἰδιότητας τοῦ δεόντως πως σχηματίζεσθαι, ἐντελῶς ἐν τοῖς περὶ παθῶν ἐδείχθη.

Τὰ εἰς ω̅ς̅ λήγοντα ἐπιρρήματα κοινολεκτούμενα δυσὶ τόνοις ὑποπίπτει. ἢ γὰρ βαρύνεται, ὡς κούφως, φαύλως, μετρίως, ἢ περιέσπασται, ὡς τὸ σεμνῶς καὶ εὐσεβῶς. καὶ ἔτι παρὰ Δωριεῦσιν ἔνια ὀξύνεται, 581 ὥστε κατ’ ἔγκλισιν ἀνεγνώσθη ἢ ῥ α κ α λ ὼ ς ἀ π ο κ α θ ά ρ α σ α ἐ ξ ε λ ε π ύ ρ ω σ ε ν (Sophr. fr. 87 Ahrens). περὶ ὧν καὶ κατὰ τὸ ἑξῆς εἰρήσεται.

Ὑπέλαβον ὅτι καὶ κατὰ τὸ ἔθος τὸ ὥς Δωρικόν ἐστι, περὶ οὗ ἐν εὐτάκτῳ εἰρήσεται ἐν τῷ περὶ τῶν διεψευσμένων τόνων. καὶ νῦν δὲ κεφαλαιωδέστερον ἔστι περὶ αὐτοῦ ἐκθέσθαι, ὡς προσήκοντα ⟨τὸν⟩ τόνον ἀνεδέξατο.

Τὰ προκείμενα τῶν ἐπιρρημάτων, ἰδίας παραγωγῆς οὐ τυχόντα, οὐδὲ τὸν ἴδιον τόνον ἔχει, ἀναμένει δὲ τὸν πτωτικὸν τόνον, ὅς ἐστιν

Argum. 12 Ἄφνω ex ἀφανῶς factum est — 20 Adverbia in ω̅ς̅ communi omnium usu recepta aut barytona, aut perispomena sunt. — 25 Iure ὥς acuto notatur.

Testim. 13 Cf. Et. Or. 17, 19.

Discr. script. 2. συγκριτικῶν] fol. 134 v. | επιρρηματικην A | 4. πληθυντικὸν ⟨ὑπερθετικὸν⟩ GDronke | 5. καὶ ἐπίρρημα ταχύτατα b in var. lect, καὶ ταχύτατα A b in textu | 14. τούτου b, τουτο A | 15. ἐπίρρημα pro ἔτι conicit GDronke 18. τοῦ GFSchoemann GDronke, τὸ Ab in textu, τῷ b in var. lect. | 22. ενιαι A | 23. pro ὥστε HLAhrens conicit ὅτε | καλὼς HLAhrens, κάλως b | 25. ὅτι καὶ τὸ ὥς κατὰ τὸ Δωρικὸν ἔθος ἐστί collocat GDronke | 27. προσήκοντα τὸν RSkrzeczka, προσήκοντα JVahlen, ἀνήκοντα A b, ἀνάλογον τὸν GDronke | 29. ante ιδιας in marg. add. A² ουκ

ἀπὸ γενικῆς πληθυντικῆς. καὶ ἕνεκα τούτου ἢ περισπᾶται ἢ βαρύνεται, καθὸ πᾶσα γενικὴ πληθυντικὴ ἤτοι περισπᾶται ἢ βαρύνεται. ἅμα καὶ συναποδεικτέον, ὡς παράγεται τὰ ἐπιρρήματα· καὶ συνηγορητέον τῷ προκειμένῳ μορίῳ, ὅτι δεόντως ὠξύνθη. — Ἔκκειται μὲν οὖν πρῶτος λόγος, ὅτι διὰ τοῦτο ἢ περισπᾶται ἢ βαρύνεται, διὰ τὸν παρεπόμενον τόνον τῇ γενικῇ πληθυντικῇ· καὶ συνυπάρχειν γὰρ θέλει τῇ γενικῇ πληθυντικῇ. τὸ μέγας ἑτερόκλιτον ἔχει τὸ μεγάλου, καὶ τὸ ἐπίρρημα οὐ παρὰ τὴν μέγας, ὡς παρὰ τὴν μεγάλων τὸ παντός ὀξύνεται, ἡ δὲ πάντων γενικὴ βαρύνεται· ἔνθεν καὶ τὸ συνὸν ἐπίρρημα συμβαρύνεται. — καὶ ὅτι τοῦτο αἴτιον, σαφὲς καὶ ἐκ τοῦ Δωριεῖς συμπερισπᾶν τὸ ἐπίρρημα, ἐπεὶ καὶ τὴν γενικὴν παντῶν φασίν. οὕτως ἔχει καὶ τὸ ἀλλῶς καὶ τηνῶς. τοῦτο γὰρ καὶ ἐνίους ἠπάτησεν ἀποφήνασθαι ὡς τὰ παρ' ἡμῖν βαρύτονα τῶν ἐπιρρημάτων περισπῶσι Δωριεῖς. ὅπερ οὐκ ἦν ἀληθές· οὔτε γὰρ τὸ κούφως οὔτε τὸ φίλως οὔτε τὰ τοιαῦτα περισπῶσι. διὰ τί οὖν τὸ παντῶς; ὅτι καὶ τὴν ποιοῦσαν τὸν τόνον γενικὴν περιεσπάκεισαν. διότι δὲ τὴν παντῶν γενικὴν περισπῶσι καὶ ἔτι τὴν ἀλλῶν, ἐν ἑτέροις ἐδιδάξαμεν κατὰ τὰς ἀντωνυμικὰς γενικάς. — Ἔτι καὶ τὰ τῆς φωνῆς ἐγγίζει (τοῦ γὰρ ῡ ἅπαξ μετάθεσις εἰς τὸ ϲ̄ γίνεται) καὶ τὰ ἐγγινόμενα πάθη· ἕνεκα τίνος τὸ σοφῶς οὐ διαιρεῖται; ὅτι οὐδὲ ἡ σοφῶν γενική. ἕνεκα τίνος τὸ ψευδέως, εὐσεβέως, ἀτρεκέως, 582 ἢ ὅτι καὶ ⟨ἡ⟩ εὐσεβέων καὶ ἀτρεκέων;

Ἐταράχθησαν ἔνιοι καὶ κατὰ τὰ σχήματα τῶν ἐπιρρημάτων, ὑπολαμβάνοντες μὴ ἐξομαλίζεσθαι τὰ τῆς τάσεως τῶν ἐπιρρημάτων, εἴγε ἀπὸ τοῦ καλῶς φασι παγκάλως καὶ ἀπὸ τοῦ σεμνῶς ἀσέμνως, οὐ μὴν ἀπὸ τοῦ ψευδῶς ἀψεύδως, σαφῶς ἀσάφως ἦν. οὐδὲ γὰρ ἡ σύνθεσις αὐτῶν, τῶν δὲ προεκκειμένων πτωτικῶν, οἷς παρείπετο ἀναβιβάζειν μὲν τὸν τόνον, εἰ εἰς ο̄ϲ̄ λήγοιεν, φυλάσσειν δέ, εἰ εἰς η̄ϲ̄. καὶ ἐπεὶ καλός πάγκαλος παγκάλων, διὰ τοῦτο παγκάλως· ψευδής δὲ καὶ ἀψευδής καὶ ἀψευδῶν, καὶ διὰ τοῦτο ἀψευδῶς, καὶ ἀσαφῶς.

Δέδεικται ἄρα διὰ πλειόνων, ὅτι οὐκ ἴδιον τόνον ἀνεδέχετο τὰ εἰς ω̄ϲ̄ παρηγμένα παρ' ὀνοματικὰς ἐκφοράς· ὅθεν μοι δοκεῖ καὶ τὸ

Argum. 4 In tonosi haec adverbia sequuntur genetivum pluralis eorum nominum, unde derivantur. — 10 Quae lex confirmatur et doricis formis, — 18 et eo, quod adverbia aut admittunt aut non admittunt eas mutationes, quae in genetivis pluralis aut fiunt aut non fiunt. — 25 Παγκάλως ἀσαφῶς recte cum παγκάλων ἀσαφῶν accentu congruunt. — 30 Itaque ὡς, cui genetivus pluralis, ad quem dirigatur, praesto non est, nihil impedit ne acutum habeat.

Discr. script. 4. Ἔκκειται] fol. 135 r. | 5. το in voce τουτο supra lin. A¹ | 11—12. τὸ ἀλλῶς] 'Sic et Koenii apographum et meum. Sed Bastius codicem habere dicit την αλλως, indeque efficit legendum esse τηναλλῶς' b in var. lect. Est το αλλως et in A et in L, ex quo sua sumpsit Koen | 17. κατὰ b, και A | 20. 21. signum interrogationis, quod post ἀτρεκέως posuerat b, post ἀτρεκέων pro puncto posuit RSchneider | 21. ἡ add. b

προκείμενον ἐπίρρημα εὐθύνεcθαι, εἰ ἐλέγχοιτο ἀπὸ γενικῆc περιcπωμένηc, ἣ ὤφειλεν ἕπεcθαι. οὐ δὴ ἔχει γενικήν· ἡ γὰρ παρεκκειμένη γενικὴ τῶν. — Καὶ ἴcωc ὑπολάβοι τιc, ὅτι «καὶ τὸ τώc ἄλογόν ἐcτιν, ὅπερ πάλιν χρὴ περιcπᾶν». — ἀλλ᾿ ὡc δεύτερόν ἐcτι τὸ τώc τοῦ ὥc, παντί τῳ δῆλον. οὐ γὰρ τῆc γενικῆc τὸ τ̄ ἔχει, τῆc δὲ ἀνταποδόcεωc τοῦ ⟨ὥc⟩, ᾧ λόγῳ καὶ τῷ ἕωc τὸ τέωc παράκειται καὶ τῷ ἡνίκα τὸ τηνίκα, τῷ τε ὄφρα τὸ τόφρα. μάρτυc ἡ χρῆcιc ⟨ἡ⟩ παρ᾿ Ἕλληcι. — Τίc οὖν αἰτία τοῦ ὀξυνθῆναι τὸ ὥc; τὸ προκείμενον αὐτοῦ μόριον πτωτικὸν ὅc. ἐντεῦθεν γὰρ ἔcτιν ἐπινοῆcαι, ὡc παρ᾿ εὐθεῖαν παρήχθη, εἴγε αἱ μὲν ἄλλαι τῶν πλαγίων μετὰ τοῦ τ̄ λέγονται, αἱ δὲ εὐθεῖαι μόναι δίχα τοῦ τ̄. ὅc γὰρ καὶ τοῦ καὶ τῷ καὶ τόν. λέγω νῦν τὸ ὅc cημαῖνον τὸ οὗτοc, ὡc ἐν τῷ

ὅc ῥα μάλιcτα (Λ 123).

οὔτε γὰρ ἀπὸ τοῦ ἀορίcτου μορίου, οὔτε ἀπὸ τῆc cυνάρθρου ἀντωνυμίαc, οὔτε ἀπὸ τοῦ ὑποτακτικοῦ ἄρθρου· λέγω δὲ ἀντωνυμικοῦ τοῦ ὅc. διὸ καὶ τὸ ἐπίρρημα τῆc δείξεώc τε καὶ ἀναφορᾶc ἐcτι παραcτατικόν.
583 τὸ γοῦν ἑτερόζυγον, λέγω τὸ ἐπεκτεταμένον, πάλιν μεμίμηται τὴν εὐθεῖαν πτῶcιν· πάλιν γὰρ τὸ οὕτωc οὐ παρὰ γενικὴν οὐδὲ παρὰ δοτικήν, μόνην δὲ εὐθεῖαν τὴν δίχα τοῦ τ̄ λεγομένην. ἀμφοτέροιc γοῦν τὸ πάθοc cύνεcτι, τουτέcτιν ἡ ἀποβολὴ τοῦ c̄, οὕτω, καὶ

ὥ τε χερνᾶτιc γυνή (lyr. gr. III³ p. 1359 Bergk),

cημαcία τε ἡ αὐτή. — Ἀλλ᾿ ἐκεῖνό τιc φήcει· «κατὰ τοῦτό γε cεcημειώcεται, ὅτι μὴ ἀπὸ γενικῆc ἐcχηματίcθη». — Πρὸc ὃν ἔcτι φάναι, ὅτι καὶ ἄλλαι πάμπολλοι παραγωγαί, ἀπὸ γενικῶν cχηματιζόμεναι, ἔχουcί τινα παρεκδεδραμηκότα παρὰ τὰc εὐθείαc· τὰ κτητικὰ τῶν εἰc κοc ληγόντων παρὰ γενικὰc cχηματίζεται, ποιμενικόν, Ἀτλαντικόν· ἀλλὰ τὸ θηλυκόν παρ᾿ εὐθεῖαν, τὸ πανηγυρικόc. παρὰ τὴν ἔρωτοc τὸ

Argum. 4 Ei ut respondeat, τώc postea factum est. — 9 Derivatur igitur ὥc a nominativo singularis ὅc vocis, quae pronominalis est idemque valet quod οὗτοc; — 18 ab hoc, quod est οὗτοc, derivatur οὕτωc. — 22 Ne hoc quidem mirum est, ὥc οὕτωc a nominativis, cetera in ωc adverbia a genetivis derivari.

Testim. 8 Et. M. 643, 34 (ex Epim. Cr. 307, 4) *εἰπεῖν καὶ τὸν τεχνικόν· ʻτὸ δὲ ὧς ὀξύνεται, ἐπεὶ ἀπὸ τοῦ ὅς γέγονε, καὶ τὰ ὅμοιαʼ*. ibid. 820, 51 *ὃν δὲ τρόπον τὸ ὅς ἐκταθὲν ἐγένετο ὡς* (scr. ὧς) *καὶ τὸ οὗτος οὕτως, οὕτω καὶ τὸ ὅδε ὧδε*. — 18 Cf. Et. Gud. 443,21. — 21 Cf. Apoll. de pron. p.48,28. synt.156,22 b.

Discr. script. 2. προεκκειμένη, ut est p. 170, 26, pro παρεκκειμένη scripsit GDronke, παρακειμένη GUhlig | 3. υπολαβη A | ἄλογον b, αναλογον A | 4. ʻF. χρῆνʼ b in var. lect. | 5. τῶι A | οὐ γὰρ] fol. 135 v. | ἔχεται pro ἔχει conicit RSchneider | 6. ὥc add. b | 7. τηνίκα b, πηνικα A | τωι A | ἡ add. b | 12. ʻF. τὸ ὅc ⟨τὸ⟩ cημαῖνονʼ b in var. lect. | 21. ὥ τε RSchneider, ὥτε b HLAhrens, ὦτε ThBergk, οτε A | χερνᾶτιc b, χερνατηc A | 22. φήcει b, φηcι A | τοῦτό γε GFSchoemann, τοῦ γε Ab | 22—23. cημειωcεται A | 25. παρεκδραμηκοταA | 26. ποιμαινικον A

p. 583, 13 — 585, 13 b

ἐρωτύλος, ἀλλὰ καὶ παρὰ εὐθεῖαν τὴν ἡδύς τὸ ἡδύλος. οὐδὲν οὖν τὸ ἐμποδὼν τὸ πάντα μὲν τὰ ἐπιρρήματα παρὰ γενικὰς σχηματίζεσθαι, τό γε μὴν ὥς καὶ τὸ οὕτως παρ' εὐθείας. — Ἤδη ἀπεδείχθη τὰ προκείμενα τῶν ἐπιρρημάτων ἰδίῳ μὲν τόνῳ μὴ κεχρημένα, ἀναμένοντα δὲ τὴν τάσιν τὴν ἐν πτωτικοῖς. σαφὲς ὅτι, εἰ τὸ ὥς περιεσπᾶτο, ἠλογεῖτο ἄν, τοῦ ὅς ὀξυνομένου. βίαιοι ἄρα οἱ ὑπολαμβάνοντες αὐτὸ Δωρικόν· καὶ γὰρ τῶν Δωρικῶν πρόκειταί τινα περισπώμενα.

Συζυγεῖ τῷ προκειμένῳ μορίῳ ἀνταποδοτικὸν μὲν τὸ τώς, πυσματικὸν δὲ τὸ πῶς, καὶ ἔτι ἀναφορικὸν τὸ ὅπως, καθὸ καὶ ἄλλοις ἡ τοιαύτη τάξις παρέπεται, ᾗ τῇ πῇ ὅπῃ, οὗ τοῦ ποῦ ὅπου, ἡνίκα τηνίκα πηνίκα ὁπηνίκα. — Ἴσως οὖν τις φήσει τὰ κατὰ πεῦσιν ὁμοτονεῖν τοῖς κατὰ ἀπόλυσιν. «τὸ ποῦ περισπᾶται, ἀλλὰ καὶ τὸ οὗ τῆς αὐτῆς τάσεως ἔχεται. ἡνίκα, καὶ τὸ πηνίκα. τὸ ᾗ περισπᾶται, ἀλλὰ καὶ τὸ πῇ. εἰ δὴ καὶ τὸ πῶς περισπᾶται, ὁμόλογον ὅτι καὶ τὸ ὥς περισπασθήσεται.» Ἀλλὰ πρός γε τὸ τοιοῦτον ἔστι φάναι. τί γὰρ μᾶλλον, εἰ τὸ ὥς ἀποδέδεικται εὐλόγως ὀξυνόμενον, οὐχὶ τὸ πῶς περισπώμενον ἡμαρτῆσθαι ὁμολογήσουσι τοῦ ἀπὸ τοῦ τ̄ 584 ἀρχομένου κατ' ὀξεῖαν προφοράν, λέγω τοῦ τώς; — Ἔστιν οὖν ὑπὲρ ἀμφοτέρων ἀναλαβόντα τὸν λόγον ἐκεῖνο φάναι, ὡς εὐλόγως καὶ τὸ πῶς περιεσπᾶτο, προαποδεδειγμένου τοῦ ὅτι τὸ ὥς ὀξύνεται. — τὰ πύσματα ἢ φύσει θέλει βαρύνεσθαι ἢ δυνάμει. τὰ γοῦν ὑπὲρ μίαν συλλαβήν, ἔχοντα τόπον τῆς βαρείας, πάντα βαρύνεται· τὰ δὲ μονοσύλλαβα, οὐ δυνάμενα ἐκτὸς τῆς ὀξείας γενέσθαι, δυνάμει ἐβαρύνθη περισπασθέντα.

Argum. 3 Quod cum ita sit, acutus recte imponitur ὥς adverbio. — 10 Dicat fortasse quispiam, ὣς scribendum esse, ut cum πῶς congruat. — 15 Sed ut ὥς acutum, ita πῶς circumflexum suo iure habet.

Testim. 20 Epim. Cr. 324, 32 *τὰ μονοσύλλαβα εἶχε τὸν τόνον φυσικόν· τὰ γὰρ πύσματα βαρύνεσθαι θέλει, χαρακτῆρος μὴ ἀντικειμένου (ὡς εἴπομεν διὰ τὸ ποδαπῆ καὶ ποσαχῶς)· πόσος, πηνίκα· τὰ δὲ μονοσύλλαβα οὐκ ἠδύνατο βαρύνεσθαι, ἐκώλυε γὰρ ἡ μονοσυλλαβία. ὅταν οὖν προ⟨σ⟩λάβῃ τὸ ⟨ō⟩ ἀναφορικὸν καὶ γένηται ὑπὲρ μίαν συλλαβήν, ἀναλαμβάνει τὸν ὀφειλόμενον τόνον καὶ βαρύνεται. οἷον ποῦ, ο καὶ πῇ λέγεται, καὶ πῶς. ταῦτα οὐ φυσικῶς περιεσπάσθη, ἀλλὰ κατ' ἀνάγκην. οὐ γὰρ ἠδύνατο βαρύνεσθαι μονοσύλλαβα ὄντα. ἀναγκαίως ἄρα περισπᾶται, καὶ δυνάμει διὰ τῆς περισπωμένης βαρύνεται. ἐὰν οὖν προσέλθῃ τὸ ō καὶ σχῇ τὴν ποσότητα τῆς βαρείας, ἀναλαμβάνει καὶ τὴν βαρεῖαν, ὅπως κτλ.*

Discr. script. 1. ἐρωτύλος b, ερωτικος A | παρὰ εὐθεῖαν τὴν b, παρα την ευθειαν παρα την A | 2. ἐμποδὼν RSkrzeczka, ἐμποδοῦν Ab | 8. ανταποδωτικον A | 13. ἡνίκα] fol. 136 r. | 14. A[1] marg. haec adscripsit ει δη κ το π̃ τουτεστιν ει δε και το πωc | 17. τοῦ b, τουτ̓ A, i. e. του τε ut p. 124, 16, vel του της ut de coni. 512, 13 b | 17—18. post ὁμολογήσουσι comma ponendum et post προφορὰν inserendum esse ὄντος censet RSkrzeczka, idem coniecit GDronke | 18. non recte b dicit pro τοῦ τώς, quod est in A quodque ipse scripsit, in A esse του τ | 19. ωc A, ὅτι b | 20. προσαποδεδειγμενου A | 23. κ in εκτος in rasura in A

ὅθεν τὸ μὲν ὥς, οὐχ ὑποπῖπτον πύσματι, τὸν ἴδιον τόνον ἐφύλαξε· τὸ δὲ πῶς, γενόμενον πύσμα, οὐ διὰ τὴν φωνὴν οὕτω περιεσπάσθη ὡς διὰ τὴν πεῦσιν τὴν ἐγγενομένην. οὕτως γοῦν τὰ ἀπ' αὐτῶν ἀναφορικά, προσλαμβάνοντα τὸ ō, ὡς ἂν τῶν τόνων ἐν τοῖς μονοσυλλάβοις κατηναγκασμένων, γενόμενα δισύλλαβα δέχεται καὶ τὴν προοφειλομένην τάσιν, ἡνίκα γίνεται ὅπου καὶ ὅπῃ καὶ ὅπως, τῶν ὑπὲρ μίαν συλλαβὴν οὐ ταὐτὸν ἀναδεχομένων διὰ τὸ κατὰ φύσιν ἔχειν τὸν τόνον, πότε ὁπότε, ποῖος ὁποῖος, πηνίκα ὁπηνίκα. ὅθεν δοκεῖ μοι καὶ [κατὰ] τὴν Δωρικὴν διάλεκτον τῷ μὲν προκατειλεγμένῳ λόγῳ ὅπως ἀναγινώσκειν, οὐδ' ὅπως ἄριστα (Sophr. fr. 88 b Ahrens), τῷ μέντοι μᾶλλον αὐτοὺς συγκαταβιβάζειν τὰ ἐπιρρήματα ὀπῶς, ὥστε ἀμφοτέρας τὰς ἀναγνώσεις λόγου ἔχεσθαι.

Ὅτι δὲ οὐ συμπαθείας ἔχεται ἡ πεῦσις ὡς πρὸς τὰ δίχα τοῦ τ̄ καὶ μετὰ τοῦ τ̄ λεγόμενα, σαφὲς ἐντεῦθεν. ὃν τρόπον συνυπάρχουσιν οἱ ἐνεστῶτες τοῖς παρατατικοῖς, καὶ οἱ παρακείμενοι τοῖς ὑπερσυντελικοῖς, καὶ αἱ γενικαὶ ταῖς δοτικαῖς, καὶ ἄλλα πλείονα, τὸν αὐτὸν τρόπον καὶ τὰ πύσματα ὡς πρὸς τὰς ἀναφορικὰς προφοράς, καὶ τὰ δίχα τοῦ τ̄ ὡς πρὸς τὰ ἀνταποδοτικά, λέγω ⟨τὰ⟩ μετὰ τοῦ τ̄. συνυπάρχει γοῦν ἑαυτοῖς καὶ συνεξέρχεται. καὶ ἐπεὶ ἅπαξ τὸ πότερος διὰ τοῦ π̄, καὶ τὸ ὁπότερος. ἀλλ' οὐ πάντως κατηνάγκασται τὸ ὅτερος καὶ τότερος. καὶ ἐπεὶ πάλιν τὸ ἕως, εὐθέως καὶ τὸ τέως, καὶ ὄφρα καὶ τόφρα, οὐ πάντως ἐξηναγκασμένου τοῦ φάναι καὶ πέως καὶ ὁπέως, καὶ πόφρα καὶ ὁπόφρα. οὕτως καὶ ἐπὶ τῶν προκειμένων μορίων οὐ πάντως καταναγκάζεται τὰ ἑξῆς. οὐ γὰρ ἐπεὶ τὸ ἀναγινώσκιυ καὶ ἀνεγίνωσκον, εὐθέως καὶ τὰ ἑξῆς κλίματα· οὐδὲ ἐπεὶ τὸ ὕδωρ ὀρθῆς καὶ αἰτιατικῆς, εὐθέως καὶ γενικῆς καὶ δοτικῆς. ἔνθεν οὖν [καὶ] κατὰ συμπάθειαν καὶ τὸ τώς τῷ ὥς συνετονώθη, οὐ μὴν τὸ πῶς, καθὸ οὔτε πάντως συνυπάρχον ὀφείλει εἶναι, καὶ καθὸ ἐδείξαμεν, ὅτι αἱ πεύσεις κατὰ φύσιν ἐβαρύνοντο.

Καὶ τοσαῦτα μὲν περὶ τῶν παρὰ τὰ πτωτικὰ παρηγμένων.

Δοκεῖ δὲ πρωτότυπον εἶναι τὸ ἕως· οὐ γὰρ προϋφέστηκέ τι· τό τε ἀνταποδοτικὸν αὐτοῦ τέως.

Argum. 13 Interrogativa omnino ceterorum correlativorum analogiam non sequuntur. — 30 Ἕως videtur primitivum esse.

Testim. 3 Choer. Can. 430, 3 *ὥς φησιν Ἀπολλώνιος ἐν τῷ περὶ ἐπιρρημάτων, τὰ μονοσύλλαβα πευστικὰ περισπώμενα ὄντα, προσλαμβάνοντα τὸ ō καὶ γινόμενα ἀναφορικά, βαρύνονται, οἷον πῶς ὅπως, πῇ ὅπῃ· οὕτως οὖν καὶ ποῦ ὅπου.*

Discr. script. 8. κατὰ delevit GDronke | 9. ὅπως b, το πως A | 10. ὀπῶς HLAhrens | 18. ἀνταποδοτικά b, αναφορικα A | τὰ add. b | 20. ἀλλ' οὐ GUhlig, καὶ οὐ A b | 23. καταναγκάζεται] fol. 136 v. | 25. κληματα A | 26. 'καί post οὖν videtur abundare' b in var. lect. | 27. καθο A, καθὼς b | 31. post τέως lacunam maioris ambitus statuit EEgger

Ἠπόρηται δὲ καὶ τὸ αὔτως πῶς ἐγένετο. οὐ γὰρ ἔχει τὴν ἔννοιαν τῆς αὐτός ἀντωνυμίας, καθότι τὸ ἐκεῖνος ὡς πρὸς τὸ ἐκείνως καὶ τὸ οὗτος ὡς πρὸς τὸ οὕτως. πρὸς οἷς καὶ τὰ τοῦ τόνου διελέγχει. Τρύφων (p. 52 Velsen) περὶ τοῦ σημαίνοντος τὸ οὕτως ἐκδέχεται μετάπτωσιν τοῦ ō εἰς τὸ ā γεγενῆσθαι. ἀλλὰ ἐλείπετο καὶ περὶ τοῦ σημαίνοντος τὸ μάτην διαλαβεῖν. ὅθεν ἢ καὶ αὐτὸ δεκτέον θεματικόν, ἢ συγκαταθετέον Ἡρακλείδῃ, φαμένῳ ὡς κατὰ στέρησίν ἐστι ⟨τὴν διὰ⟩ τοῦ ā αὔτως, συναλοιφῆς γενομένης τοῦ ā καὶ ō εἰς ā μακρόν, ὡς τὸ Μενέλαος — Μενέλας, Δορύλαος Δορύλας, Πτερέλαος Πτερέλας. τὰ γὰρ ἐν τῷ δέοντι μὴ γενόμενα ματαίως γίνεται· φαμὲν γὰρ τὰ ἐν τῇ δεούσῃ ποιότητι ποίησον οὕτως.

Ἔστι καὶ ἰδία παραγωγὴ [περὶ] τῶν εἰς χως ληγόντων, ἃ μάλιστα παρὰ τὴν τῶν ἀριθμὸν δηλούντων πάλιν ἐπιρρημάτων ἀντιπαράθεσιν ἀποτελεῖται, τοῦ τέλους εἰς τὸ χως τρεπομένου. ἅπερ οὐκέτι ἀναμένει τόνον ἀλλότριον, ἰδίᾳ δὲ περισπᾶται ἅπαντα, τετράκις τετραχῶς, πεντάκις πενταχῶς, πολλάκις πολλαχῶς. ἐν ἰσοσυλλαβίᾳ οὖν ἀντιπαράκειται τοῖς προκειμένοις ἐπιρρήμασι.

Καὶ κατὰ τοῦτο οὖν τις σημειώσαιτο τὸ διχῶς καὶ τριχῶς, ὅτι 586
πλεονοσυλλαβεῖ τοῦ δίς καὶ τρίς. Ἀλλ' ἴσως ἐπεὶ οὐδὲ ὁλόκληρα αὐτὰ τὰ ἐπιρρήματα, ἐν δὲ συγκοπῇ, καὶ τὰ παρακείμενα οὐ τῇ συγκοπῇ ἠκολούθει, τῇ δὲ ὁλοκλήρῳ προφορᾷ. — Ἀλλ' ἐπεὶ ἐμποδίζει τὸ μὴ συνισοῦσθαι αὐτὰ τῷ δυάκις καὶ τριάκις, ἄμεινον ἐκεῖνο φάναι, ὡς πολλάκις τὰ ἀπὸ μονοσυλλάβων λέξεων παραγόμενα ἢ καὶ συντιθέμενα φυλακτικά ἐστι τῶν ἰδίων φωνηέντων ὑπὲρ τοῦ μὴ παραναλίσκεσθαι εἰς τὰς παραγωγὰς αὐτὰς τὰς πρωτοτύπους λέξεις, εἴγε καὶ ἡ πρό πρόθεσις συντιθεμένη οὐκ ἀποβάλλει τὸ ō, φωνήεντος ἐπιφερομένου, ἡ δὲ ἀπό καὶ ὑπό· καὶ τὸ γήδιον ὑποκοριζόμενον ἐφύλαξε τὸ η̄ τοῦ γῆ, τοῦ τέλους τῶν τοιούτων γενικῶν εἰς τὸ ιδιον μεταλαμβανομένου, κυνός κυνίδιον, ἄρτου ἀρτίδιον, λέγω τῶν μετὰ συμφώνου ἐκφερομένων· καὶ τὸ μνααῖος ἐφύλαξε τὸ ā. — ἔστι καὶ ἄλλα πάμπολλα εἰς τὸ τοιοῦτον παραθέσθαι. ἀναγκαία ἄρα καὶ ἡ μονὴ τοῦ ī ἐν τῷ διχῶς καὶ τριχῶς.

ARGVM. 1 Αὔτως ex οὕτως ortum esse censet Trypho; ex ἀ-ούτως contractum putat Heraclides. — 12 Adverbia in χῶς a numeralibus in κις aequato syllabarum numero derivari solent. — 18 Quacum lege pugnant διχῶς τριχῶς; neque possunt ex δυάκις τριάκις facta esse. Videntur igitur ī servasse, ne prorsus oblitterentur voculae primitivae.

DISCR. SCRIPT. 4. τοῦ ō b, το ō A | 7. τὴν διὰ τοῦ ā αὔτως RSchneider, τοῦ ā οὕτως Ab, ἐκ τοῦ ἀούτως GFSchoemann | 7—8. συναλειφης A | 12. περὶ delevit RSkrzeczka, in ἐπιρρημάτων mutavit GDronke | 13. παρὰ b, περι A | 18. 'F. οὐκ ἄν τις' b in var. lect. | 21. ⟨τοῦτο⟩ τὸ GDronke | 22. δυιακις A | 24—25. εἰς τὰς] fol. 137 r. | 30. μνααιδιος A

Καὶ περὶ τάcεωc δὲ τοῦ ἡcύχωc ἢ ἡcυχῶc καὶ τοῦ παρακειμένου ἐπιρρήματοc, λέγω τοῦ ἡcύχῃ ἢ ἡcυχῇ, ἦν τιc διαφορά. — Καὶ οἱ μὲν ἠξίωcαν ἀμφότερα βαρύνειν, λέγω τὸ ἡcύχωc καὶ ἡcύχῃ, καθὸ cυμβαρύνεται τὰ τοιαῦτα τῶν ἐπιρρημάτων ταῖc cυνούcαιc γενικαῖc. φαμὲν κούφωc, ὅτι καὶ κούφων, καθὼc πρόκειται· εἰ δέ φαμεν ἡcύχων, δῆλον ὅτι καὶ ἡcύχωc. — καὶ εἰ τὰ τοιαῦτα ἔχει τὰ παρακείμενα εἰc ῑ̄ ἐπιρρήματα τὸν αὐτὸν τόνον τηροῦντα, δῆλον ὅτι καὶ ἡcύχῃ. φαμὲν γὰρ πάντῃ, ὅτι καὶ πάντωc, καὶ ἄλλῃ, ὅτι καὶ ἄλλωc,

ἄλλῃ μὲν γὰρ ἔγωγε (Ν 49)·

οὐδαμῇ δέ, ὅτι καὶ οὐδαμῶc. διχῇ τε καὶ τριχῇ, ὅτι καὶ διχῶc καὶ τριχῶc. τούτῳ γὰρ τῷ λόγῳ καὶ Δωριεῖc παντᾷ φαcιν, ὅτι καὶ τὸ ἐπίρρημα παντῶc, καὶ ἀλλᾷ, ὅτι καὶ ἀλλῶc. κατὰ τοῦτον τὸν
587 λόγον, δεδομένου τοῦ ἡcύχωc, cυνδοθήcεται καὶ βαρύτονον τὸ ἡcύχῃ. — Ἔcτι καὶ ὑπὲρ τοῦ ἑτέρου λόγου ἐκεῖνο φάναι, ὅτι καὶ ἄλλα μόρια, ὀφείλοντα κατὰ ἀκολουθίαν τινὰ ἢ ὀξύνεcθαι ἢ περιcπᾶcθαι, cυνεκδρομῇ γραφῆc παρακολουθήcαντα ἀπέφευγε τὸν δέοντα τόνον. παρὰ τὸ ἵcτημι ἐcτὶ τὸ ἱcτάc καὶ παρὰ τὸ βίβημι τὸ βιβάc, κίχρημι κιχράc, τίθημι τιθείc. ἔδει οὖν καὶ παρὰ τὸ ἴcαμι τὸ ἰcάc εἶναι· ἀλλ᾽ ἐπεὶ ἅπαξ αἱ εἰc ᾱc λήγουcαι μετοχαὶ βαρύνονται, τῷ ῑ παραληγόμεναι, γεμίcαc, λεπίcαc, λακτίcαc, cυνεξέδραμε καὶ ἡ ἴcαc τοῖc τοιούτοιc. οὐδὲν οὖν κωλύοι καὶ τὸ ἡcυχῶc περιcπᾶν τῇ cυνεκδρομῇ τῇ τῶν εἰc χῶc ληγόντων ἐπιρρημάτων, καὶ πάλιν cυμπαρακεῖcθαι τὸ ἡcυχῇ cυμπεριcπωμένωc ὡc διχῇ καὶ τριχῇ.

Τὸ παρὰ Μενάνδρῳ νουνεχόντωc δοκεῖ ἀcύcτατον εἶναι, καθότι τῶν τοιούτων ἐπιρρημάτων προϋφέcτηκε καὶ πτωτικόν. τὸ νουνεχῶc ἀναλογώτερον καθέcτηκε, καθότι καὶ τὸ νουνεχήc παράκειται. καθὸ οὖν οὐ δοκεῖ ἐπιρρηματικῶc ἐξενηνέχθαι, cεcημειώcθω· ἐπεί τοί γε πολλάκιc cχήματά τινα ἐκ διεcτώτων εἰc ἑνότητα παραλαμβάνεται.

Argum. 1 Ἡcύχωc ut gravi accentu notetur, suadet tonus ceterorum adverbiorum in ωc (ab adiectivis in οc derivatorum). Ἡcύχωc adverbii analogiam ἡcύχῃ sequatur necesse est. — 25 Ex duobus verbis νοῦν ἔχων unum adverbium coaluit νουν-εχόντωc.

Testim. 25 Et. M. 606, 35 *νουνεχόντως· ὑφ᾽ ἓν ἀναγνωστέον· πολλάκις γὰρ ἀπὸ δύο διεστώτων μερῶν τοῦ λόγου γίνεται ἑνότης, οἷον Ἄρειος πάγος Ἀρειοπαγίτης, Νέα πόλις Νεαπολίτης, τὸ αὐτό ταὐτότης. Οὕτω νοῦν ἔχων, σύνθετον νουνεχόντως.*

Discr. script. 2. ηcυχηι ῆ ηcύχη A | 3. ηcυχη A | 7. ῑ̄ RSchneider, ῆ Ab | 8. ηcυχηι A | παντη A | 10. αλλη A | ἔγωγ᾽ Homerus | post εγωγε A habet και αλλωc, quae GHSchaefer sic auxit καὶ 'ἄλλ᾽ ἄλλωc' et ad ξ 124 retulit, om. b | 11. ουδαμη, διχη et τριχη A | 13. αλλαι A | 15. φάναι b, in A erat φαμεν, sed in φαμαι mut. A[1] | 22. κωλυοι A, quem idem habere dicit b in var. lect., quod ipse edidit, κωλύει | 26. ἐπιρρημάτων fol. 137 v. | 28. εξηνηνεχθαι A

παρὰ δύο διεστῶτα τὸ Ἄρειος πάγος Ἀρειοπαγίτης, παρὰ τὸ τὸ αὐτό ἕν που ἀποτελεῖται τὸ ταὐτότης, παρὰ τὸ Νέα πόλις ἓν τὸ Νεαπολίτης. συσταίη ἂν οὖν καὶ παρὰ τὸ νοῦν ἔχων τὸ νουνεχόντως κατὰ τὸν τοιοῦτον λόγον, οὐ μήν, ὡς προείπομεν, κατὰ σύστασιν τῶν προκειμένων ἐπιρρημάτων.

Τοσαῦτα περὶ τῶν εἰς ως ληγόντων ἐπιρρημάτων.

Τὰ εἰς ου̅ λήγοντα ἐπιρρήματα, ἐάν τε παρ' ὀνόματα ᾖ ἐσχηματισμένα, ἐάν τε παρ' ἄλλο μέρος λόγου, περισπᾶται. τῷ ὕψος παράκειται τὸ

ὑψοῦ δ' ἐν νοτίῳ τήν γ' ὥρμισαν (δ 785)·

τῷ τῆλε τὸ τηλοῦ (δ ⟨μή⟩ποτε ἐδύνατο, καὶ τῷ τέλος παρακεῖσθαι, 588 ὥστε τὸ μὲν ἐντελὲς εἶναι τελοῦ, εἶτα κατ' ἐπέκτασιν τηλοῦ· τὰ γὰρ ἐπὶ τέλους συντείνοντα μεγεθύνεται)· τῷ ἄγχι τὸ ἀγχοῦ· τῇ αὐτός ἀντωνυμίᾳ τὸ αὐτοῦ (ἔνθεν καὶ δοκεῖ τὰ τῆς παραθέσεως ἀμφίβολα γίνεσθαι, ὅτι καὶ ἡ γενικὴ συνεμπίπτει. τὸ γοῦν

ὀφθαλμοὶ δὲ χαμαὶ πέσον ἐν κονίῃσιν
αὐτοῦ πρόσθε ποδῶν (Π 741)

ἤτοι ἀντὶ τοῦ αὐτοῦ πρόσθε ποδῶν ἔπεσαν, ἢ τοπικὴν σχέσιν σημαίνει· καὶ τὸ

αὐτοῦ καὶ κριοῖο θοώταταί εἰσι κέλευθοι (Arat. Phaen. 225)

ἤτοι τοῦ κριοῦ καὶ τοῦ σκορπίοῦ θοώταται αἱ κέλευθοί εἰσιν, ἢ τοπικῶς πάλιν τὸ ἐπίρρημα κεῖται). — Ὅθεν ἀναλογώτερον δοκεῖ εἶναι τὸ ποῦ τοῦ ὅπου. ἔχοι δ' ἂν καὶ τὸ ὅπου ἀναλογίαν, καθὸ τὰ ἐν περισπασμῷ λεγόμενα μονοσύλλαβα, προσλαμβάνοντα τὸ ο κατὰ ἀναφορικὴν ἔννοιαν, βαρύνεται. τὸ πῶς ὅπως λέγεται καὶ τὸ πῇ ὅπῃ· καὶ τὸ ποῦ ἄρα ὅπου εἴρηται.

Ὁμοίως καὶ τὰ εἰς οι λήγοντα παραγωγὰ περισπᾶται, παρ' οἷα μέρη λόγου ἂν ᾖ παρηγμένα, Μεγαροῖ, Ἰσθμοῖ, καὶ παρὰ ἐπίρρημα τὸ ἐνταῦθα ἐνταυθοῖ. σεσημειώσεται οὖν τὸ οἴκοι οὐ μόνον τῇ

Argum. 8 Adverbia in ου̅, sive a nominibus sive ab aliis vocibus derivantur, circumflexum habent. — 23 Ὅπου autem correlativorum, quae ab ο̅ incipiunt, sequitur analogiam. — 28 Adverbia in οι̅ derivata perispomena sunt. Quare πόποι οἴκοι εὐοῖ notabilia;

Testim. 13—14 Et. Or. 152, 6 et tacito Apollonii nomine Et. M. 757, 9 haec ad verbum fere exscripserunt. — 23 Choer. Can. 430, 1.

Discr. script. 1. τὸ A et b in textu, 'nonne τὰ?' id. in var. lect. | Ἀρειοπαγίτης ChALobeck, Ἀρεοπαγίτης A b | 1—2. παρὰ τὸ τὸ αὐτό b, παρα το αυτο A | 2. ταὐτότης ChALobeck, ταυτότης A b | 2—3. Νέα et Νεαπολίτης ChALobeck, νέα et νεαπολίτης b | 9. τῷ b, το A | 11. ωρμησαν A | 12. δ μήποτε pro ὁπότε RSchneider | τῷ τέλος b, το τελος A | 23. Ὅθεν supra lin. A[1] | 27. 'F. εἰρήσεται' b in var. lect. | 30. μόνον ⟨ἐν⟩ RSkrzeczka

τοιαύτῃ τάϲει, ἀλλὰ καὶ ἔτι ἐν τῷ οἴκοθεν, ὡϲ δεδείξεται ἐν τῷ περὶ τῶν εἰϲ θεν. — Καὶ ἕνεκα τοῦ τύπου καὶ τὸ πόποι, ὦ πόποι· καὶ γὰρ τὰ πρωτότυπα θέλει ὁπωϲδήποτε περιϲπᾶϲθαι, ὡϲ ἔχει τὸ οἰμοιμοῖ καὶ τὸ ὀτοτοῖ καὶ τὸ οἰοιοῖ. — Φαίνεται ὅτι καὶ τὸ εὐοῖ κατὰ τοῦτο ϲεϲημειώϲεται. — τὸ γὰρ παρὰ τοῖϲ περὶ τὸν Ἀλκαῖον μέϲϲοι δῆλον ὅτι κατὰ τὴν ἰδίαν διάλεκτον ἀνὰ λόγον βαρυνθείη ἄν. οὐ γάρ ἐϲτιν ἐλλειπὴϲ τῇ ἔν προθέϲει, ϲυϲτελλομένου τοῦ ω̅ εἰϲ τὸ ο̅, ὥϲ τινεϲ ὑπενόηϲαν, ἐν μέϲϲῳ· ἀλλ' ὃν τρόπον παρὰ τὸ οἶκοϲ τὸ οἴκοι ἐγένετο, ϲημαῖνον τὸ ἐν οἴκῳ, παρά τε τὸ Πυθώ ⟨τὸ⟩ Πυθοῖ, καὶ παρὰ τὸ Μέγαρα τὸ Μεγαροῖ, ϲημαῖνον τὸ ἐν Μεγάροιϲ, τὸν αὐτὸν
589 τρόπον καὶ παρὰ τὸ μέϲοϲ τὸ μέϲϲοι ἐγένετο, ϲημαῖνον τὸ ἐν μέϲῳ. ὅπερ ἔφην κατὰ τὸ Αἰολικὸν ἔθοϲ βαρύνεϲθαι.

Τὰ εἰϲ δε λήγοντα τοπικὰ ἐπιρρήματα, ἐν ἑνὶ μέρει λόγου καθεϲτῶτα, καὶ προπαροξύνεται καὶ τῷ α παρεδρεύεται, ὡϲ ἔχει τὸ οἴκαδε, ἄλαδε. ἐν τόνῳ οὖν ϲεϲημειώϲεται τὸ ἐνθάδε, ᾗ ⟨τε⟩ τὰ τοιαῦτα τῶν ἐπιρρημάτων παράκειται ὀνόμαϲι, τὸ ἐνθάδε δὲ οὐδὲ τῇδε ἔχει. τὰ προκείμενα τῶν ἐπιρρημάτων οὐδέποτε ἀποβολῇ τοῦ δε ϲχέϲιν τοπικὴν ἀποτελεῖ· πῶϲ οὖν παρὰ τὸ ἐνθάδε τὸ ἔνθα ϲχέϲιν τοπικὴν ϲημαίνει;

ἔνθα κατεπλέομεν (ι 142). —

Πρόϲκειται δὲ ἐν ἑνὶ μέρει λόγου, ἐπεὶ καὶ ἔϲτιν ἐκ ϲυντάξεωϲ τῆϲ κατ' αἰτιατικὴν καὶ ϲυνδέϲμου τοῦ δέ πάλιν ἡ εἰϲ τόπον ϲχέϲιϲ, ὡϲ ἔχει τὸ Οὔλυμπον δέ καὶ ἀγρὸν δέ καὶ οἶκον δέ. διὸ οὐδὲ κατὰ τὸ τοιοῦτον ὅμοιόν ἐϲτι τὸ ἐνθάδε, ὅτι οὔτε ἔγκειται αἰτιατική, οὔτε ὁ τόνοϲ τοῦ πρωτοτύπου διαφυλάϲϲεται, καθάπερ ἐπὶ τῶν προκειμένων. τὸ γὰρ οἶκον προπεριϲπᾶται, καὶ πάλιν ἐν τῇ προϲθέϲει τοῦ δέ μένει ὁ αὐτὸϲ τόνοϲ, οἶκον δέ, μετὰ τοῦ καὶ τὴν ὀξεῖαν ἐπὶ τέλουϲ εἶναι. ὁ αὐτὸϲ λόγοϲ ἐπὶ τοῦ Ὄλυμπον καὶ Οὔλυμπον δέ. — διὸ καὶ δοκεῖ τὸ

ἄλαδ' ἑλκομενάων (Ξ 100)·

ἀμφίβολον εἶναι, δυνάμενον καὶ τῇ παραγωγῇ κεχρῆϲθαι τοῦ οἴκαδε, δυνάμενον καὶ ἐν αἰτιατικῇ εἶναι τοῦ ἄλα καὶ προϲθέϲει τοῦ δέ, ἐφ'

Argum. 5 μέϲϲοι rursus cum οἴκοι convenit. — 13 Adverbia in δε localia, quae ex una voce constant, proparoxytona sunt. Ἐνθάδε neque hanc legem sequitur, neque cum οἶκον δέ sim. convenit.

Testim. 4 Schol. Dion. Thr. BA p. 946, 32.

Discr. script. 2. ὦ KLehrs, ὧ b | 4. ὅτι καὶ] fol. 138 r. | εὐοῖ ChALobeck GUhlig, εὐοῖ b, εὐοί GFSchoemann, οἴμοι vel ὤμοι KLehrs | 6. ἀναλόγωϲ pro ἀνὰ λόγον GDronke | 7. ελλειπηϲ A, ἐλλιπὴϲ b | 9. τὸ add. b | 15. 'F. ἐνθάδε, ᾗ τε τὰ' b in var. lect., ἐνθάδε. ᾗ Ab in textu | 17. τοῦ δε b, του δ̅ in rasura A[1] | 23. Veram scripturam et hic et l. 27. 28 restituit KLehrs, Οὔλυμπόνδε ἀγρόνδε οἶκόνδε b

οὗ καὶ δύο τόνοι ἐπιτεθήϲονται, ἄλα δέ. — ϲαφὲϲ οὖν ὅτι οὐδὲ κατὰ τοῦτον τὸν λόγον τὸ ἐνθάδε ὑποπίπτει τῷ λόγῳ, πάλιν τοῦ τόνου καταβιβαζομένου. — Μή ποτ' οὖν τῇδε ἐϲχηματίϲθη. ἔϲτι καὶ ἑτέρα παραγωγὴ ἡ διὰ τοῦ δε, ἥ τιϲ οὐχ ἕνεκα ϲχέϲεωϲ τοπικῆϲ παραλαμβάνεται, αὐτὸ δὲ μόνον κατὰ παραγωγήν, τῆϲ ϲημαϲίαϲ πάντοτε μενούϲηϲ τῆϲ αὐτῆϲ καὶ φωνῆϲ τῆϲ ὁλοκλήρου τῆϲ κατὰ τὸ πρωτότυπον, ἐφ' ἧϲ καὶ ὁ τόνοϲ ἐφέλκεται πρὸ τοῦ τέλουϲ, ὥϲπερ ἔχει παρὰ τὸ τοῖοϲ τὸ τοιόϲδε, τόϲοϲ τοϲόϲδε, καὶ ἐν ἐπιρρήμαϲι τὸ τῆμοϲ τημόϲδε, τηνίκα τηνικάδε. εἴπερ οὖν ἴδιον τῆϲδε τῆϲ παραγωγῆϲ τὸ ἐν ἀποβολῇ τοῦ δε τὴν αὐτὴν ἔχειν ϲημαϲίαν τοῖϲ πρωτοτύποιϲ, καὶ τὴν ὀξεῖαν ἐφέλκεϲθαι πρὸ τοῦ τέλουϲ, δῆλον ὡϲ καὶ τὸ ἐνθάδε τῆϲδε τῆϲ παραγωγῆϲ ἂν εἴη, ἐπειδὴ τὰ προκείμενα δύο παρεπόμενά ἐϲτιν ἐν τῷ ἐνθάδε. — κατὰ τοῦτό γέ τοι μόνον ϲεϲημειώϲεται, καθὸ ἡ τοιαύτη παραγωγὴ οὐχ οἱαιϲδήποτε λέξεϲι πρόϲειϲιν, ἀλλὰ μορίοιϲ ἀνταποδοτικοῖϲ τοῖϲ ἀπὸ τοῦ τ ἀρχομένοιϲ, ὡϲ ἔχει τὸ τοϲόϲδε καὶ τὸ τοιόϲδε. οὐδὲ γὰρ τὰ ἄλλα ϲύζυγα, μὴ ἔχοντα τὸ τ, τῆϲ παραγωγῆϲ τυγχάνει, λέγω τὸ ἦμοϲ, ἡνίκα, εἰ μὴ γένοιτο τῆμοϲ καὶ τηνίκα. οὐ παρείπετο οὖν τῷ ἐνθάδε τὸ τοιοῦτον· κατὰ τοῦτο ἄρα ϲεϲημειώϲεται.

Τοῖϲ αὐτοῖϲ ἐπιχειρήμαϲι χρήϲαιτο ἄν τιϲ καὶ ἐπὶ τοῦ ἔνθεν καὶ ἐνθένδε· οὐδὲν γὰρ τῶν εἰϲ θεν ληγόντων ἐπιρρημάτων ἔξωθεν παραγωγὴν ἴϲχει τὴν διὰ τοῦ δε. φαίνεται δὲ ὅτι οὐδὲ δύο λέξειϲ εἰϲὶν ἡμαρτημέναι, ἀλλὰ μία, εἴγε καὶ τὸ ἔνθεν Δωρικώτερον ἀπεδείχθη γενόμενον ἔνθα, καθὼϲ ἐπεδείξαμεν καὶ περὶ τοῦ πρόϲθεν πρόϲθα, ὕπερθεν ὕπερθα.

Ἔχοι δ' ἂν ἐπίϲταϲιν καὶ τὸ ὧδε, ϲυνήθωϲ μὲν τὴν εἰϲ τόπον ϲχέϲιν δηλοῦν, ἐν δὲ τοῖϲ Ὁμηρικοῖϲ, ὡϲ Ἀριϲτάρχῳ δοκεῖ, ἐν τῷ καθόλου μὴ τοπικῆϲ ἔχεϲθαι ϲχέϲεωϲ, τῆϲ δὲ κατὰ ποιότητα. καὶ ϲαφέϲ ἐϲτιν, ὅτι τῇ μὲν παραγωγῇ τῇ διὰ τοῦ δε οὐκ ἀπιθάνωϲ τὸ ϲύνηθεϲ

Argum. 3 Videtur igitur ad τοιόϲδε all. similitudinem accommodatum esse; — 13 quamquam hoc modo non nisi correlativa, quae a τ incipiunt, amplificari solent. — 19 Eadem de ἐνθένδε dici possunt. — 25 Ὧδε in sermone vulgari est 'huc', sed omnino localem notionem non induere apud Homerum praecipit Aristarchus. Ac sane non ita formatum est, ut cetera in δε adverbia localia.

Testim. 25 Et. M. 820, 43 *Ὧδε σημαίνει δύο παρὰ τῷ ποιητῇ· τὸ οὕτως . . σημαίνει καὶ τὸ νῦν . . σημαίνει καὶ τόπον παρὰ τοῖς ἄλλοις, τὸ ἐνταῦθα. σημαίνει καὶ τὸ ὅπως, καὶ μάλιστα Ὅμηρος τοῦτο οἶδεν· οὐδέποτε δὲ παρὰ τῷ ποιητῇ τοπικὸν εὑρίσκεται, ἀλλὰ πάντοτε ἀντὶ τοῦ οὕτως, ἐπίρρημα μεσότητος. Οὐδὲν δὲ εἰς δε λῆγον τοπικὸν ἔχει πρὸ τοῦ τέλους τὸ ω, πλὴν τοῦ ὧδε· οὐδὲν δὲ εἰς δε λῆγον δισύλλαβον τοπικόν ἐστιν.*

Discr. script. 1. επιτεθηϲονται A[1] in rasura | 6. και φωνηϲ τηϲ ολοκληρου τηϲ siglis script. add. A[2] in marg., recepit b, om. A[1] | 7. post εφελκεται desinit fol. 138 r.; eadem vox repetita in initio fol. 138 v. | 12. επειδε A | 19. τιϲ καὶ ἐπὶ b, τι κεπι A

τοπικὸν ἐξεδέξατο ἐπίρρημα, οὐ μὴν καὶ τὰ τῆς παραγωγῆς ὁμολογεῖ, καθὼς ἐδείχθη ὡς ἡ τοπικὴ παραγωγὴ τὴν διὰ τοῦ ᾱ γραφὴν ἔχει πρὸ τοῦ τέλους, ἀπό τε ὀνομάτων παρήγετο, τὸ δὲ οὐ τῇδε εἶχεν. — Ἀλλ'
591 ἦν καὶ ἑτέρα σύνταξις ἐν αἰτιατικῇ πάλιν ὀνομάτων καὶ προσθήκῃ τοῦ δε, ὡς ἔχει τὸ οἶκον δέ καὶ τὰ τούτοις ὅμοια. ὅπερ πάλιν οὐ τῇδε εἶχε τὸ προκείμενον ἐπίρρημα, οὔτε κατὰ γραφήν, οὔτε κατὰ τάσιν. διὸ καὶ ἕνεκα τῶν τοιούτων μᾶλλον ἄν τις παραδέξαιτο τὸ «τὸ δέ» ἐπὶ τοπικῶν ἐπιρρημάτων,

πολλοῖσιν γὰρ ἔγωγε ὀδυσσάμενος τὸ δ' ἱκάνω (τ 407)·

δύναται γὰρ ἐγκεῖσθαι αἰτιατικῆς ἄρθρον κατ' οὐδετέραν προφοράν. — Σαφὲς οὖν ὅτι ἔχοιτο ἂν λόγου του κατὰ παραγωγὴν τὴν δε συλλαβὴν προσλαβὸν κατὰ τὸ αὐτὸ σημαινόμενον, ὡς ἔχει παρὰ τὸ τῆμος τὸ τημόσδε, τὴν αὐτὴν ἔχον σημασίαν τῷ πρωτοτύπῳ, τηνίκα τηνικάδε. σημαίνοντος οὖν τοῦ ὥς ἐπιρρήματος τὸ οὕτως, εἴη ἂν ἡ προκειμένη παραγωγὴ κατὰ τὸ αὐτὸ δηλούμενον ἐν τῷ ὧδε, ἀναγκαίως προπερισπωμένη, ἐπεὶ ἡ φύσει μακρὰ ἐν τῇ τοιαύτῃ παραγωγῇ περισπωμένην ἀναδέχεται, τοιοῦδε, τοιῷδε.

Ὁμοίως δ' ἂν ἔχοιτο καὶ τὸ τοιοῦτον ἐπιστάσεως. — «Ὁλοκλήρους γὰρ τὰς τῶν πρωτοτύπων φωνὰς ἥδε ἡ παραγωγὴ φυλάσσει, τοῖος τοιόσδε, τηλίκος τηλικόσδε, τῆμος τημόσδε· χρῆν οὖν καὶ παρὰ τὸ ὥς ὥσδε.» — Ἀλλὰ τοῦτο μὲν δύναται ἀπολογίας ἔχεσθαι, τῇ μὲν ἀπὸ Δωρικοῦ δυνάμενον ἐσχηματίσθαι τοῦ ὧ, ὅπερ ἀντὶ τοῦ ὥς παραλαμβάνουσι, τῇ δὲ ἀπὸ τοῦ πτωτικοῦ τοῦ προϋφεστῶτος κατ' ἔλλειψιν τοῦ c̄· καὶ γὰρ παρὰ τὸ ὅς ὤφειλεν ὅσδε εἶναι, ὅπερ ἐγένετο ὅδε. ἀλλὰ καὶ τοῦτο συνήθως ἀποβάλλει τὸ c̄· τὸ γὰρ αὐτὸ σημαίνει ἔσθ' ὅτε τὸ ὁ καὶ τὸ ὅς,

ὁ γὰρ ἦλθε θοάς (Α 12)·

ὃς γὰρ δεύτατος ἦλθεν (α 286).

Ἔχοιτο δ' ἂν ἔτι καὶ ἐπιστάσεως τοιαύτης, καθὼς εἴπομεν ὅτι ἡ διὰ τοῦ δε παραγωγὴ πολὺ πρότερον τὴν ἀνταπόδοσιν τὴν διὰ τοῦ τ̄
592 παραλαμβάνει· οὐ γὰρ παρὰ τὸ οἷος τὸ τοιόσδε, οὐδὲ παρὰ τὸ ἡνίκα τηνικάδε. — Καὶ πάλιν ὑπὲρ τούτου ἔστι φάναι, ὅτι ἔλλειψίς ἐστι

Argum. 11 Videtur igitur eis adverbiis in δε̄ adnumerandum esse, quae eandem notionem atque primitiva habent: ὧδε = ὥς. — 18 Mirum fortasse videtur, ab ὥς non ὥσδε derivari, cum in talibus adverbiis forma primitiva servari soleat. Sed patrocinantur illi formae ὧ (= ὥς) et ὅδε (= ὅσδε). — 29 Ut in initio οὗτος pronominis, ita in initio ὧδε adverbii τ̄ desideratur.

Discr. script. 1. ἐξεδέξατο ⟨τὸ⟩ OSchneider | 4. ονοματων και A¹b, και in κατα mutavit A² | 5. οἶκον δέ KLehrs, οἶκόνδε b | 7. τὸ τὸ δέ RSchneider, τὸ τόδε b | 7—8. τοπικῶν ἐπιρρημάτων Ab, τόπου, ἐπιρρηματικῶς GFSchoemann | 9. ὀδυσσάμενος Homerus, ὀδυσάμενος Ab | τὸ δ' RSchneider, τόδ' b | 11. του b in var. lect., τοῦ in textu | του κατὰ παραγωγὴν] fol. 139 r. | 30. ανταποδωσιν A | 31. οἷος b, οιοσδε A

τοῦ τ̄ ἐπὶ τῶν προκειμένων μορίων, ὡς δείκνυται καὶ ἐν τῷ περὶ ἀντωνυμιῶν, ὡς καὶ ἡ οὗτος ἀντωνυμία, παραχθεῖςα ἀπὸ τοῦ ὅς, λείπει τῷ τ̄, ἀποδεικνυμένου τοῦ τοιούτου καὶ διὰ τῶν πλαγίων πτώςεων, τούτου, τούτῳ, καὶ οὐδετέρου τοῦ τοῦτο, καὶ διὰ Δωρικοῦ τοῦ τοῦτοι. ὅπερ καὶ διὰ τοῦ ἀρθρικοῦ δείκνυται καὶ διὰ τοῦ ἀντωνυμικοῦ· τὸ γὰρ οἱ τοί φαςι Δωριεῖς, καὶ τὸ αἱ ταί, ταύται ταὶ θύραι μᾶτερ (Sophr. fr. 88 Ahrens). λέγω δὲ ὅτε κατὰ προτακτικὴν θέςιν ἐςτὶ τὸ ἄρθρον· ἐπεὶ ὅτε γε καθ' ὑπόταξίν ἐςτι, τὸ τ̄ οὐ πάντως προςτίθηςιν, ἐπεὶ φυςική ἐςτιν ἡ ἀπόςταςις τοῦ τ̄, οὐκ ἐν πάθει γενομένη. ὅθεν οὐδ' ἐπίμεμπτον ταὶ γυναῖκες αἳ τὰν θεὸν φαντὶ ἐξελᾶν (Ahrens dial. II p. 468). ἐτέτακτο γὰρ οὐ κατὰ πρόταξιν, ἀλλὰ καθ' ὑπόταξιν.

Ἑξῆς ῥητέον καὶ περὶ τοῦ οἶκον δέ. — Τὰ μὲν οὖν προκατειλεγμένα ἐπιρρήματα, τύπου ἰδίου ἐχόμενα, τὴν εἰς τόπον ςχέςιν ἐςήμαινε, παραγωγῆς τυγχάνοντα τῆς διὰ τοῦ δε· τὰ μέντοι τοιαῦτα, οἶκον δέ, ἀγρὸν δέ, Οὔλυμπον δέ, ςύνταξιν ἔχει ἐπιρρηματικήν, οὐ μὴν μεριςμὸν τὸν κατὰ τὰ ἐπιρρήματα. καὶ γὰρ τὸ ἐξ οἴκου ἔχει τὴν ἐκ τόπου ςημαςίαν, οὐ μήν ἐςτιν ἐπίρρημα,· μέρη δὲ δύο λόγου, τὴν ἐκ τόπου ςχέςιν παριςτάντα, καθὸ ςυνεχέςτερον αἱ προθέςεις, μετὰ καὶ ἄλλων πλειόνων ςημαινομένων, καὶ παρεμφατικαί εἰςι τόπου. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ ἐν οἴκῳ· οὐ γὰρ ταὐτόν ἐςτι τῷ οἴκοθι. ὡς καὶ ἐπὶ τοῦ νῦν ἐπιρρήματος, δηλοῦντος τὸ ἐν τούτῳ τῷ χρόνῳ, οὐ ταὐτὸν παράγεται. — Ὑπενόηςαν δ' ἔνιοι, ὡς ἓν εἴη μέρος λόγου τὸ οἰκονδέ, ἐκ λόγων τοιούτων· «ὅτι κατὰ μίαν ςχέςιν ἐκφέρονται, ὅπερ ἴδιον ἐπιρρημάτων· ὅτε εἰ ὀνόματα ἦν τὸ οἰκονδέ, οὐκ ἂν ἐνεποδίζετο μεταςχηματίζεςθαι εἰς πτώςεις καὶ ἀριθμούς, ὅπερ παρείπετο ὀμόμαςιν. — οἱ ςυμπλεκτικοὶ ςύνδεςμοι εἰς ςυμπλοκὴν παραλαμβάνονται, καὶ οὐ 593 παρὰ τοὺς ἀριθμοὺς ἢ τὰς πτώςεις ἐμπόδιοι καθεςτᾶςιν· ἑκάςτης γὰρ πτώςεως καὶ παντὸς ἀριθμοῦ δεκτικοί εἰςιν. εὖ γὰρ λέγοι τις ἀνθρώπους μὲν ἐθεαςάμην, ἄλλα δὲ ζῶα οὔ, ἢ ἄνθρωπος μὲν ἦν, ὅπως δὲ ἀφανὴς ἐγένετο οὐκ ἐπίςταμαι· ἀδιαφόρως γὰρ ἔχουςι, καθ' οἱανδήποτε ἂν ὦςι πτῶςιν, ςυμπλέκειν καὶ παραλαμβάνεςθαι. ὅπερ

ARGVM. 13 Illa in δε̄ derivata (ἄγραδε sim.) adverbia sunt; οἶκον δέ vero sim. constructionem quidem, sed non formam habent adverbialem. — 23 Fuerunt autem qui οἰκονδέ unam vocem esse existimarent.

DISCR. SCRIPT. 3. τῷ b, το A | 6. ταύ̣ται HLAhrens, ταῦται b | 10. θεὸν φαντὶ HLAhrens, θεόν φαντι b | 11. ἐξελᾷν b, *εξελαν HLAhrens | 14. ἐχόμενα] fol. 139 v. | 15—16. οἶκον δέ, ἀγρὸν δέ, Οὔλυμπον δέ KLehrs, οἰκόνδε, ἀγρόνδε, Οὔλυμπόνδε b, οικον δε nunc evan. in A | 25. ὅτε b, οτι A | 28. καθιςταςιν A | 29. εὖ γὰρ λέγοι τις RSkrzeczka, εἰ γὰρ λέγοι τις A et b in textu, 'F. καὶ γὰρ λέγει τις' b in var. lect., εὐλόγως γὰρ λέγοι τις vel εἴ γε λέγεται GDronke | 30. ἢ A et b in textu, καὶ b in var. lect. | 32. πτῶςιν ⟨ὀνόματα⟩ GDronke

ἐπὶ τοῦ οἶκον δέ καὶ Οὔλυμπον δέ οὐκ ἔϲτιν ἐπινοῆϲαι· οὔτε γὰρ ϲύνδεϲιϲ οὔτε μετάπτωϲίϲ τιϲ εἰϲ ἀριθμὸν ἢ πτῶϲιν ἔνεϲτιν. — Ἔτι τὰ ὀνόματα, προϲλαμβάνοντα ἄρθρα, φυλάϲϲει τὴν ἰδίαν ϲύνταξιν λόγον τε τὸν αὐτόν, δίχα τοῦ πλέονι ἀναφορᾷ κεχρῆϲθαι, ἄνθρωπος δὲ παραγενόμενος, ὁ ἄνθρωπος δὲ παραγενόμενος· ὁ αὐτὸϲ λόγοϲ καὶ ἐπὶ τῶν ὁμοίων. οὐ μὴν ταὐτόν ἐϲτιν ἐν τῷ οἶκον δέ καὶ τὸν οἶκον δέ· οἰκόνδε γὰρ ἐλεύϲομαι, οὐ μὴν τὸν οἰκόνδε ἐλεύϲομαι.» — Τοῖϲ τοιούτοιϲ λόγοιϲ ἐπανέχοντέϲ φαϲιν ἡνῶϲθαι τὰ τοιαῦτα εἰϲ ἐπιρρηματικὴν παραγωγήν. καὶ πάλιν ἀντείχοντο τῶν τονικῶν παραγγελμάτων, καὶ οὕτωϲ ἐπηπόρουν ἐπὶ τῶν ϲχημάτων. — Ἔϲτι δὲ πρὸϲ ἓν ἕκαϲτον τῶν προκειμένων ὑπαντῆϲαι, καὶ ὡϲ πρόκειται, δείξομεν ὅτι ἐϲτὶν ἐπιρρηματικὴ ϲύνταξιϲ, οὐ μὴν ἐπιρρηματικαὶ φωναί. — Τὰ μὲν οὖν ἐκ τῆϲ τάϲεωϲ προφανῆ. πῶϲ γὰρ τρίτη ἀπὸ τέλουϲ ⟨ἡ⟩ περιϲπωμένη; πῶϲ τετάρτη ἀπὸ τέλουϲ ἡ ὀξεῖα; λέγω ἐν τῷ οἰκονδέ, Οὐλυμπονδέ. — Πρὸϲ οἷϲ καὶ αἱ φωναὶ κλινόμεναι ὁλόκληροί εἰϲι κατ' αἰτιακὴν πτῶϲιν. (ἀλλ' οὐ τοῦτό φημι ϲυνεκτικὸν τοῦ δύο μέρη λόγου εἶναι, ἐπεὶ κἀν τοῖϲ κατ' ἀρχὴν ἐδείξαμεν τὰϲ ὀνοματικὰϲ πτώϲειϲ εἰϲ ϲύνταξιν ἐπιρρηματικὴν τιθεμέναϲ καὶ ἐπιρρήματα καλουμέναϲ.)

Διαφέρει τὸ οἴκοθεν τοῦ ἐξ οἴκου, ᾗ ὃ μὲν ἓν μέροϲ λόγου, τὸ δὲ δύο, ἐκ προθέϲεωϲ καὶ ὀνόματοϲ, καὶ τὸ οἴκοθι τοῦ ἐν οἴκῳ, καὶ
594 τὸ οἴκαδε τοῦ εἰϲ οἶκον. καὶ ᾧ λόγῳ τὸ εἰϲ οἶκον δύο μέρη λόγου, οὕτωϲ καὶ τὸ οἶκον δέ, ἐγκειμένου τοῦ δέ ϲυνδέϲμου.

Ἴδιόν ἐϲτι τοῦ δέ ϲυνδέϲμου ἐπάγειν ἐϲ αὐτὸν τὴν ὀξεῖαν· τοιοῦτον δὲ καὶ τὸ οἶκον δέ, ὡϲ εἰ καὶ τὸ Ζεὺϲ δέ. ἡ διὰ τοῦ δε̅ παραγωγή, οὐκ οὖϲα ϲυνδεϲμική, ἀποφεύγει τὴν τοῦ ϲυνδέϲμου τάϲιν, παροξυνομένη μὲν ἐν τῷ τοϲόϲδε, προπαροξυνομένη δὲ ἐν τῷ οἴκαδε, καθὸ κα ἡ διὰ τοῦ γε̅ παραγωγὴ εἰϲ τὸ ἐναντίον μεθίϲταται τῆϲ τάϲεωϲ τοῦ γέ ϲυνδέϲμου. ἔϲτι γὰρ ἐγκλιτικὸϲ ὁ γέ, τὴν πρὸ αὐτοῦ ὀξύνων, καὶ διὰ τοῦτο ⟨τὸ⟩ ἔγωγε καὶ ἔμοιγε παρὰ Ἀττικοῖϲ τρίτην ἀπὸ τέλουϲ ἔχει τὴν ὀξεῖαν, ἵνα διὰ τοῦ τόνου φύγῃ τὸ ἀμφίβολον τοῦ γέ ϲυνδέϲμου.

Ἀλλὰ πῶϲ τοπικὴ ϲχέϲιϲ ἐϲτὶν ἐκ ϲυνδέϲμου τοῦ δέ; — Ὅτι καὶ προθετικῇ παραθέϲει ϲυνδεϲμικὴ δύναμιϲ ἐγγίνεται, διὰ τὸ ἡμέραν

Argum. 11 Cui sententiae repugnat et accentus, — 15 et forma accusativi integra servata. — 24 Coniunctionis δέ est servare accentum, cum δε̅ paragogicum omnem tonum respuat. — 32 Ut praepositionibus quibusdam, ita etiam δέ coniunctioni vis adverbialis subicitur.

Discr. script. 1. ολυμπονδε A | b scripsit et h. l. et l. 6, 7, 15 οἰκόνδε, et Οὐλυμπόνδε | 2. ϲύνδεϲιϲ KLehrs, ϲύνθεϲιϲ Ab | 4. τοῦ πλέονι b, το πλεονει A | 13. πῶϲ γὰρ] fol. 140 r. | 14. ἡ add. b | 22. λόγῳ τὸ b, λογω του A | 23. οἰκόνδε b, ut supra | 25. οἶκον δέ etiam b in var. lect., cum in textu sit οἰκόνδε | 26. τάϲιν b in var. lect., ϲύνταξιν A et b in textu | 28. τοῦ γε̅ b, του δε A | τάϲεωϲ b in var. lect., ϲυντάξεωϲ A et b in textu | 30. τὸ add. b | 32. δέ b, γε A | 33. προθετικῇ παραθέϲει b, προθετικη παραθεϲιϲ A

εἶναι φῶς ἐστι, διὰ Διονύσιον παρεγένετο Ἀπολλώνιος, ἐκ τῆς ῥᾳθυμίας αἱ κακίαι γίνονται, ὡς εἰ ἕνεκα τῆς ῥᾳθυμίας. τί οὖν βίαιον τὸ καὶ σύνδεσμον προθετικὴν δύναμιν ἀποτελέσαι; — πρὸς οἷς οὐδὲ πάντοτε συμπλέκει ὁ δέ σύνδεσμος, παραλαμβάνεται δὲ καὶ κατ' ἔμφασιν, οὐδὲ ἐλάλησέ μοι,

οὐδ' ἐλεαίρεις
παῖδά τε (Ζ 407).

τάχα δὲ καὶ εὐλόγως οὕτως ἀνθυπήχθη ἀντὶ τοπικῆς σημασίας. — τὸ δὲ συνεκτικώτατον, ὅτι ἐμιμήσατο τοπικὴν παραγωγήν, λέγω τὴν οἴκαδε, ἄγραδε· καὶ ἐντεῦθεν, οὐ συνδέων ἐν τῷ οἶκον δέ, ἠκούετο τοπικῶς. — Προστεθείη δ' ἂν ἔτι καὶ τοῦτο. εἴπερ τὸ μέρος τοῦ λόγου ἀνθυπήλλακται, σαφὲς ὅτι καὶ ὁ τόπος, λέγω ὁ κατὰ τὴν ἀρχήν. τοῦτο δέ φημι, ἐπεὶ οὔτε ὁ καί σύνδεσμος ἐδύνατο παραλαμβάνεσθαι, οὔτε ἄλλος τις τῶν προτακτικῶν. ἀλλ' οὐδὲ τῶν ὑποτακτικῶν, ὅτι μὴ μόνον αὐτὸς ὁ δέ, ὡς ἔφην, μιμούμενος τὴν τοπικὴν παραγωγήν, μετάβασίν τε τοῦ πράγματος σημαίνων. διὸ καὶ στιγμῆς αἴτιός ἐστι καὶ αὐτοτελείας παρα- 595
στατικός· στιγμὴ γὰρ πᾶσα σημεῖον αὐτοτελείας. ὅ τέ οὐκ ἐδύνατο παραλαμβάνεσθαι, ἐπεὶ οὐκ αὐτοτέλειαν ποιῶν ἕτερον λόγον ἀπῄτει ἐπὶ τοῦ οὔτε τιμῶ σε οὔτε λαλῶ σοι. — Κατὰ τούτους δὴ τοὺς τρόπους οἶμαι ἀναγκαίως τὸν δέ σύνδεσμον παραληφθῆναι.

Ἀλλὰ πῶς τὸ ὄνομα οὐ κλίνεται τὸ μετὰ τοῦ δέ; Ὅτι ἑκάστῃ πτώσει κατὰ παράθεσιν προσιοῦσα ἡ πρόθεσις ἴδιον ἔχει σημαινόμενον. διαφέρει γοῦν τὸ δι' Ἀπολλωνίου τοῦ δι' Ἀπολλώνιον, ᾗ τὸ μὲν αἰτιολογικὸν ἀκούεται, ὃ δὲ τοιοῦτόν τι, γινώσκοντος Ἀπολλωνίου. ἣν οὖν τοπικὴ σχέσις ἐν τῷ οἶκον δέ, ἥ τις αἰτιατικὴν πτῶσιν ἀπαιτεῖ· ὅθεν οὐ κλίνεται, ἵνα μὴ τὸ σημαινόμενον φθαρῇ.

Διὰ τί ἄρθρον οὐ προσλαμβάνει; Ὅτι τὰ πτωτικά, τοπικὴν σχέσιν σημαίνοντα ἐκ προθέσεως, οὐ δύνανται παράθεσιν ἄρθρου παραδέξασθαι, εἰ μὴ προστεθείη ἡ πρόθεσις. οὔ φαμεν τῆς Λέσβου παρεγενόμην, οὕτως δέ, ἐκ τῆς Λέσβου παρεγενόμην· καὶ ἔτι οὔ φαμεν τῷ

Argum. 4 Omnino δέ coniunctio complures notiones habet, — 9 et localem potestatem a syllabae δε paragogicae similitudine accepit. — 13 Nec potuit ulla alia coniunctio praeter δέ hanc vim accipere. — 21 Cum uno accusativo δέ illud construitur, quia, ut certam aliquam vim habeat, cum uno eodemque casu construatur necesse est. — 28 Articulus non admittitur, nam nomina localia articulum non assumunt nisi antea adiecta praepositione.

Discr. script. 6. ελαιαιρεις A | 12. τόπος b in var. lect. KLehrs, τόνος A et b in textu | 13. ἐδύνατο] fol. 140 v. | παραλαμβάνεσθαι RSkrzeczka, κατ' ἀρχὴν λαμβάνεσθαι Ab | 14. μονον in A esse satis clare cerni potest, 'videtur esse μόνον' L in marg., μόνος edidit b, qui in var. lect. auctor est in A legi μονο | 18. ποιῶν RSchneider, ἀπαιτῶν Ab, ἀποτελῶν b in var. lect. LFriedlaender, παριστάνων GFSchoemann | 19. δὴ b, δε A | 24. ὁ δὲ b | γιγνωσκοντος A | 25. οἰκόνδε b | 30. τῆς Λέσβου b, της εκ (εκ supra lin. A¹) Λεσβο in fine versus A | παρεγενόμην· καὶ ἔτι οὔ φαμεν b, παρεγενομενομενοσηνκαιετιεκτηςλεσβουουφαμεν A, b in var. lect. nihil nisi εκ της Λεσβου inter ἔτι et οὐ repetitum enotavit

οἴκῳ μένει με, ἐν δὲ τῷ οἴκῳ μένει με. ‑εἰ δὲ τοῦτο ἀληθές, σαφὲς ὅτι δεῖ πρότερον ἐπικαλέcαι τὸ ἄρθρον τὴν πρόθεcιν, εἶτα οὕτωc ἐγγενέcθαι τὴν cχέcιν. τούτου δὲ μὴ γενομένου, οὐδὲ τὸ ἄρθρον προcελεύcεται. — Τοcαῦτα περὶ τῶν προκειμένων cχημάτων.

Τὰ εἰc ο͞c λήγοντα ἐπιρρήματά ἐcτι μὲν cπάνια, ὀξύνεται δὲ κατὰ τὸ πλεῖcτον, ἐντόc, ἐκτόc, εἰκόc. Τὸ πάροc cημειωτέον. Τὸ γὰρ τῆμοc τῇ πρὸc τὴν πεῦcιν βαρείᾳ ἐκφορᾷ ἀναγκαίωc ἀπέβαλε τὴν ὀξεῖαν, ἐπεὶ ὁμοτονεῖ τὰ πύcματα τοῖc ἀνταποδοτικοῖc, τοῖοc ποῖοc, τόcοc πόcοc, τηλίκοc πηλίκοc. ἀνάγκη δὲ πάντωc τὰ τοιαῦτα μόρια βαρύνειν καὶ τὰ τούτοιc cύζυγα, λέγω ὁπηλίκοc, ὁπόcοc. ἀναγκαίωc οὖν τὸ τῆμοc ἐβαρύνθη, καθὸ καὶ τὸ ἦμοc καὶ τὸ ὁπῆμοc.
596 ᾧ λόγῳ καὶ τὰ εἰc ο͞υ λήγοντα ἀπάντοτε μὲν περιcπᾶται, τηλοῦ, ἀγχοῦ, αὐτοῦ, τὸ δὲ ὅπου διὰ τὴν ἀναφορικὴν πάλιν προφορὰν ἐβαρύνθη. — φαίνεται δὲ ὅτι τὸ ποῦ διὰ μονοcυλλαβίαν ἀναγκαίωc cυνεξῆλθε τῷ τηλοῦ καὶ ἀγχοῦ.

Ἔνιοι τὸ ἐναγχόc ἐβάρυναν, οἰόμενοι τὴν ἐπιcυμβαίνουcαν cύνθεcιν αἰτίαν εἶναι τῆc βαρύτητοc. — Πρὸc ὃ ἔcτι φάναι, ὅτι πρῶτον ἡ ἐκ cυνθέcεωc προφορὰ πολὺ πρότερον οἶδε τὴν ἐν ἁπλότητι· οὐ λέγεται δὲ κατ' ἰδίαν τὸ ἀγχόc. πρὸc οἷc οὐδὲ ἔχουcιν ἄντικρυc ἐπιcτῆcαι τοιαύτην cύνθεcιν ἐπιρρημάτων. — δεύτερον τῇ cυνεκδρομῇ τῶν ὀξυτόνων ὀφείλει ὀξύνεcθαι. — Ἔχει δὲ καὶ ὁ cχηματιcμὸc τῇδε. ὃν τρόπον καὶ ἐπ' ὀνομάτων μεταπλαcμοὶ γίνονται, καθάπερ τὸ ἐρυcάρματεc, τὸ λῖτα, τὸ παρὰ Cαπφοῖ αὖα (fr. 152 Bergk[3]), τὸ πυργοκέρατα παρὰ Βακχυλίδῃ (fr. 51 Bergk[3]), δυνατὸν καὶ ἐπὶ τοῦ προκειμένου τῇδε γεγενῆcθαι τὸν cχηματιcμόν. παρὰ τὸ ἀγχοῦ δύναται γεγενῆcθαι τὸ ἀγχόc, προcλαβὸν τὴν ἐν πρόθεcιν κατὰ παρολκήν, ὡc ἔχει τὸ ἐναλίγκιοc, ἐναντίοc, ἐνέπειν. αἱ δὴ τοιαῦται τῶν προ-

---

Argum. 5 Adverbia in ο͞c fere omnia oxytona sunt. Πάροc igitur notabile est; minus notabile τῆμοc: sequitur enim analogiam correlativorum. — 16 Ἐναγχόc recte oxytonon est. Factum enim est ex ἀγχοῦ, ἐν praepositione redundante; — 27 qui pleonasmus non valet ad accentum retrahendum.

Testim. 23. Et. M. 174, 38 *Εἴρηται* (scil. *αὔω = καθεύδω*) *παρὰ τὴν αὔαν Αἰολικῶς τὴν ἡμέραν· τὴν γὰρ ἠῶ οἱ Αἰολεῖς αὔον* (*αὔαν* V et Gud., *αὐαν* D) *φασί.* Cf. ib. 171, 1 *Αὔριον· παρὰ τὸ αὐῶ* (in Sorb. est *αὔω*; vid. Or. 14, 24) *Αἰολικόν, ὃ σημαίνει τὴν ἡμέραν.* ib. 174, 44 *Αὔως· ἡ ἠώς, τουτέστιν ἡ ἡμέρα. Οὕτω λέγεται παρὰ τοῖς Αἰολεῦσι. Σαπφώ· ‘Πότνια αὔως’.*

Discr. script. 2. ἐπικαλέcαι GDronke, ἐπικαλύψαι Ab | 5. ἐπιρρήματά ἐcτι b in textu, ‘Scr. ἐπιρρήματα ἔcτι’ id. in var. lect. | 8. ανταποδωτικοιc A | 9. ‘F. τά ⟨τε⟩ τοιαῦτα’ b in var. lect. | 11. οὖν τὸ] fol. 141 r. | τῆμοc b, τημοι A | 18. ου supra lin. A[1] | 23. αὖα ThBergk, αὐα Ab, ‘Scribendum videtur αὐόαν, auroram’ ChALobeck | 24. πυργοκέρατα Ab, ‘f. πυρcοκέρατα’ ChALobeck, ‘conieci πύργον ὑψικέρατα’ ThBergk

θέcεων παρελκόμεναί, καθάπερ πλεονάcματα οὖcαι, οὔτε τάcιν οὔτε ἄλλο τι τῶν παρεπομένων ἐναλλάccουcι. καὶ γὰρ τὸ ἐναντίος οὐκ ἀνεβίβαζε τὸν τόνον, ὀφεῖλον. εἴπερ οὖν cύνθετον, τί οὐ cυμμεταβάλλει τὸ γένος, ὅπερ ἴδιον cυνθέcεωc; ὁ αὐτὸc λόγοc καὶ ἐπὶ τοῦ ἐναλίγκιος. καὶ τὸ ἐνέπω ἐκλίθη ὡc ἁπλοῦν, ἤνεπον. — τούτων οὖν τῇδε ἐχόντων, παρελκομένηc τῆc ἔν προθέcεωc ἐν τῷ ἐναγχός, περιccὸν ἀφιcτάνειν τὸν κατὰ τὸ τέλοc τόνον, ὅπου γε, ὡc ἔφημεν, τῷ τύπῳ, καὶ εἰ ἦν cύνθετον, ἐχρῆν ὀξυτονεῖν.

Οὕτωc ἔχει καὶ τὸ cυνεχέcτερον λεγόμενον παρ' Ἴωcι κηγχόc, ὃ ἐν δυcὶ μέρεcι λόγου, ⟨ἐξ⟩ Ἰωνικοῦ τε τοῦ κῇ ἀντὶ τοῦ πῇ, καὶ τοῦ μεταπεπλαcμένου, λέγω τοῦ ἀγχόc, ἴcωc cυναληλιμμένου τοῦ ᾱ εἰc τὸ η̄.

Αἱ διὰ τοῦ θεν παραχθεῖcαι λέξειc τοπικαὶ ἐπιρρηματικῶc τὴν ἐκ 597 τόπου cχέcιν cημαίνουcιν. (εἶπον δὲ παραχθεῖcαι τοπικῶc, ἐπεὶ καὶ ἔνια τὴν αὐτὴν ἔχει cημαcίαν τοῖc πρωτοτύποιc, ὡc δεδείξεται.) καὶ διὰ τοῦτο διαφέρει τὸ δίχα τοῦ διχόθεν, ᾗ τὸ μὲν δίχα εἰc δύο ἐcτί, τὸ δὲ διχόθεν ἐκ δύο, καθάπερ καὶ ἐπ' ἄλλων παραγωγῶν μετὰ τοῦ παράγεcθαι τὰc φωνὰc καὶ τὰ δηλούμενα cυμμεταπίπτει. — καὶ παράγεται μὲν ἡ φωνή, οὐ μὴν τὸ cημαινόμενον, ὡc ἐπ' ὀνομάτων ἔχει τὸ

ἀναγκαίῃ γὰρ ἐπείγει (τ 73)

καὶ

παρθενικῇ εἰκυῖα (η 20)·

καὶ τὸ Αἰτωλόc Αἰτώλιοc, κάπροc κάπριοc, ἄπειροc ἀπείρων, καὶ τὸ

πομπῆεc ἀγαυοί (ν 71),

καὶ τὸ

Ἀϊδωνῆι προΐαψεν (Ε 190),

καὶ ἐπὶ ῥημάτων ἀρδεύειν, ἀρχεύειν, καὶ ἐπ' ἄλλων πλειόνων, καὶ ἐπὶ ἐπιρρημάτων τηνίκα τηνικαῦτα, τῆμοc τημοῦτοc, τόcοc τοcόcδε. τὸν αὐτὸν δὴ τρόπον καὶ ἐπὶ τῆc προκειμένηc παραγωγῆc ἔcθ' ὅτε τοπικὴ μὲν ἐκφορὰ δηλοῦται, λέγω ἐκ τύπου, ἔcθ' ὅτε τὸ αὐτὸ τῷ πρωτοτύπῳ cημαινόμενον μένει.

Ὅθεν πρὶν ἢ τῶν κατὰ μέροc ἄρξαcθαι, διαληπτέον πρότερον περὶ τῶν ἀπ' ἀντωνυμιῶν παραγομένων, λέγω τοῦ ἐμέθεν, cέθεν, ἕθεν.

Argum. 9 Idem de κηγχόc dici potest. — 12 Quae in θέν desinunt localia, quo ex loco quid moveatur indicant. — 17 Sed ut in ceteris, — 30 ita etiam in his sunt quaedam voces, quae eandem atque stirpes notionem servant. — 32 In quibus sunt primum pronomina in θεν̄, eodem modo factae, ut ῡ in fine tollatur;

Discr. script. 5. το supra lin. A¹ | 10. ἐξ add. b | 11. cυναλειλημμενον A | 16. παραγωγῶν] fol. 141 v. | 22. τὸ Αἰτωλόc A² in marg. b, om. A¹ | 26. προϊάψειν Homerus | 30. τύπου Ab, τόπου GDronke | 31. cημαινόμενον μένει GDronke, in A id, quod antea ab A¹ scriptum erat, ita erasum est, ut supersit ////με////νει, in marg. cημαινομενω A², cημαινομένῳ μένει b

— Ὅτι μὲν γὰρ αἱ φωναὶ ὅμοιαι κατὰ τὴν παραγωγὴν τοῖϲ ἄλλοιϲ ἐπιρρηματικοῖϲ, ϲαφὲϲ ἐκ τούτου. παρὰ τὴν Λέϲβου γενικὴν τὸ ῡ ἀποτέθλιπται ἐν τῷ Λεϲβόθεν, ὡϲ καὶ παρὰ τὴν οὐρανοῦ οὐρανόθεν, καὶ παρ' ἐπίρρημα τὸ τηλοῦ τηλόθεν· καὶ δὴ παρ' ἀντωνυμίαν τὴν ἐμεῦ ἣν τὸ ἐμέθεν, ϲεῦ ϲέθεν. ἐντεῦθεν γὰρ καὶ ὁμόλογον, ὅτι οὐχ ἡ ἐμοῦ ἐϲτι παραχθεῖϲα Ἀττική, ἀλλ' Ἰωνικὴ ἢ Δωρικὴ ⟨ἡ⟩ ἐμεῦ.

Τὰ μὲν οὖν τῆϲ φωνῆϲ τῇδε ἔχει, ὡϲ ὁμοίωϲ παρήχθη· τὰ δὲ τοῦ
598 ϲημαινομένου πρὸϲ ἐνίων οὕτω καθίϲτατο, ὡϲ οὐκ εἴη ἐπιρρήματα τὰ προκείμενα, «καθότι», φαϲί, «τὰ ἐπιρρήματα οὐκ ἔϲτι προϲώπων διαϲταλτικά, ἔϲτι δὲ τό τε ἐμέθεν καὶ ϲέθεν προϲώπων παραϲτατικόν». — Καὶ ὡϲ ἕνεκα τοῦ τοιούτου οὐκ ἀπελύθη τὸ Ζητούμενον. δύναται γὰρ κατὰ πρόϲωπον ἡ παραγωγὴ τοῦ ἐπιρρήματοϲ ἐγγεγενῆϲθαι, καθὸ καὶ ἐπὶ τρίτου προϲώπου παρὰ τὴν αὐτοῦ τὸ αὐτόθεν ἐγένετο, καὶ παρὰ τὴν τούτου ⟨τὸ⟩ τουτόθεν (ἀφ' οὗ καὶ τὸ Δωρικὸν τουτῶ, καθότι καὶ τῷ πόθεν παράκειται τὸ πῶ), παρὰ τὴν αὐτόθεν αὐτῶ. οὐδὲν οὖν ἐμποδὼν ἐϲτι παρὰ τὴν ἐμεῦ γεγενῆϲθαι τὸ ἐμέθεν, παρά τε τὴν ϲεῦ τὸ ϲέθεν, καὶ ἔτι παρὰ τὴν εὗ τὸ ἕθεν. — Χρὴ οὖν ἀποδεῖξει τῇδε χρῆϲθαι. καθάπερ καὶ ἐπ' ὀνομάτων ἔϲθ' ὅτε παραγωγαὶ γίνονται κατὰ τῶν αὐτῶν ϲημαινομένων, ὡϲ τὸ ἀναγκαίη καὶ τὸ

εὐναίαϲ ἐβάλοντο

καὶ τὸ ἀπείρων καὶ τὸ πομπῆεϲ καὶ τὸ Ἀϊδωνεύϲ καὶ ἄλλα πλεῖϲτα, τὸν αὐτὸν δὴ τρόπον ἔϲτι καὶ ἐπὶ τῆϲ παραγωγῆϲ τῆϲ διὰ τοῦ θεν εὑρέϲθαι. οὕτω γὰρ καὶ τὰ Ὁμηρικὰ ἐπιλυθήϲεται, τὸ

ϲχεδόθεν δέ οἱ ἦλθεν Ἀθήνη (β 267)

οὐ ϲημαῖνον τὸ ἐκ τόπου, τὸ δὲ αὐτὸ τῷ πρωτοτύπῳ, τῷ ϲχεδὸν ἦλθεν· οὐ γὰρ ἐκ τοῦ ϲύνεγγυϲ τόπου, ἐπεὶ ἀνέφικτον τὸ τοιοῦτον. οὕτωϲ γὰρ ἔχει καὶ τὸ

Αἴαϲ δ' ἐγγύθεν ἦλθεν (Η 219)·

ἐν ἴϲῳ γάρ ἐϲτι τῷ ἐγγὺϲ ἦλθεν. οὕτωϲ [γὰρ] ἔχει καὶ τὸ

Ἴδηθεν μεδέων (Γ 276).

οὐ γὰρ ἄλλο ἐϲτὶν ἢ Ἴδηϲ μεδέων· πιθανὸν γὰρ τοὺϲ Τρῶαϲ καὶ τοὺϲ πληϲιοχώρουϲ τὸν Ἰδαῖον Δία ἐπικαλεῖϲθαι. τοῦ τοιούτου ϲχηματιϲμοῦ τινεϲ ἄπειροι ὄντεϲ ὑπέλαβον αὐτοὺϲ ἐπικαλεῖϲθαι τὸν ἐξ Ἴδηϲ

Argum. 22 deinde etiam alia verba per θεν suffixum facta eandem atque primitiva habent notionem.

Discr. script. 3. τὴν οὐρανοῦ b, του ουρανου A | 4—5. τὴν ἐμεῦ b, το εμευ A | 6. 'Deesse videtur articulus ἡ aut post ἀλλ' aut post Δωρικὴ' b in var. lect. | 9. pro puncto post προκείμενα comma posuit et pro φαμέν scripsit φαϲί RSkrzeczka | 10. τό τε b in var. lect., τοῦτο A et b in textu | 14. τὸ add. b | 16. ἐμποδὼν RSkrzeczka, ἐμποδοῦν A b | 19. ἀναγκαίη b, αναγκαιαι A, extremae αι litterae in rasura | 21. καὶ ἄλλα] fol. 142 r. | 25. τῷ ϲχεδόν b, το ϲχεδον A | 27. γάρ 'non habet quo referatur' b in var. lect. | 29. γὰρ delevit b | 32. in marg. A¹ hoc interpretamentum addit: ἴδαιον τουτεϲτι τον τηϲ ἴδηϲ δια

παραγενόμενον καὶ βαcιλεύcαντα, λέγω τῆc κατὰ Κρήτην. — οἶμαι δὴ ὅτι, εἰ κατάπυκνος εἰc τὸν τοιοῦτον cχηματιcμόν ἐcτι, καὶ τὸ ἐξ 599 οὐρανόθεν ἀπολογίαν ἕξει (ἀφορμὴν δεδωκόc τιcι τοῦ κακοῦν τὰc φράcειc· ἐπεὶ γὰρ οὐχ ὑγιὲc τὸ λέγειν ἐξ οἴκοθεν, φαcὶν ὡc καὶ Ὅμηροc ⟨οὐκ⟩ εἴη κεχρημένοc τῷ ἐξ οὐρανόθεν), εἴ⟨γε⟩ οὐκ ἄπειρόc ἐcτι τοιαύτηc παραγωγῆc ⟨κατὰ⟩ τοῦ αὐτοῦ cημαινομένου, τοῦ οὐρανόθεν παρ' αὐτῷ cημαίνοντοc τὸ οὐρανοῦ, ὡc καὶ τὸ Ἴδηθεν τὸ Ἴδηc· καὶ οὕτωc ἡ ἐξ πρόθεcιc ἕξει χώραν. — ἡ αὐτὴ ἐπιχείρηcιc ἐπὶ τῶν οὕτωc εἰρημένων παρ' αὐτῷ.

Αἱ δὴ παρηγμέναι ἀντωνυμίαι cύνταξιν μὲν ἐπιρρηματικὴν οὐδέποτε ἀναδέχονται, ὅcαc δὲ cυντάξειc ἀναδέχονται αἱ γενικαί, ταύταc ἀναδέχονται. ἀδύνατον τοῖc τοιούτοιc ἐπιρρήμαcι προcελθεῖν τινα ἄλλην πρόθεcιν. οὐ γάρ τιc ἐρεῖ ἀπὸ Λεcβόθεν ἢ πρὸc Λεcβόθεν, ἐν γενικῇ δὲ ἀπὸ Λέcβου πρὸc Λέcβου, καὶ ὅcαc ἄλλαc ἐπιδέχονται προθέcειc αἱ γενικαί. ἀπεδέδεικτο οὖν, ὅτι πολλάκιc κατὰ τοῦ αὐτοῦ cημαινομένου αἱ παραγωγαὶ λαμβάνονται. καὶ ἦcαν τῇδε ἀντωνυμίαι παρηγμέναι. καὶ caφὲc ἐκ τῶν cυνταccομένων προθέcεων,

ἀπὸ ἕθεν ἧκε χαμᾶζε (Μ 205),
ἐξ ἐμέθεν γεγαῶτα (Ι 456),
πρὸ ἕθεν κλονέοντα φάλαγγαc (Ε 96).

ταύτῃ δὲ τῇ cυντάξει εἰc τὸν λόγον τῶν ἀντωνυμιῶν καταριθμηθῆναι χρή.

Τὰ προκείμενα ἐπιρρήματα παράγεται ἢ παρ' ὄνομα, ὡc τὸ Διόθεν, Ἀβυδόθεν, ἢ παρ' ἐπίρρημα, ὡc τὸ κάτωθεν, ἄνωθεν, ἢ παρὰ πρόθεcιν, πρόcθεν, ἔνθεν, ὕπερθεν. πρόκειται γὰρ ὡc καὶ ἀπ' ἀντωνυμιῶν. — καὶ ἀπ' ὀνομάτων ἢ ἐπιρρημάτων ἢ τῶν ἔτι παρακειμένων cτοιχείου ἀποβολῇ τοῦ κατὰ τὸ τέλοc παράγεται, ἀπὸ μὲν ἀντω-

---

Argum. 3 Itaque ne ἐξ οὐρανόθεν quidem quidquam offensionis habet: idem enim est, quod ἐξ οὐρανοῦ. — 10 Hac autem re inter se differunt pronomina et ceterae voces in θεν, quod illa cum omnibus praepositionibus, quotquot cum genetivo coniunguntur, construi possunt, hae nequeunt. — 22 Adverbia in θεν aut a nomine, aut ab adverbio, aut a praepositione, aut a pronomine derivantur. Voces primitivae in diphthongum desinentes alteram litteram in fine abiciunt; si in unam vocalem exeunt, servant.

Discr. script. 2. καταπυκνωc A | 5. οὐκ inseruit RSchneider, ⟨ἧccον⟩ GDronke | τῷ b, το A | εἴγε οὐκ ἄπειρόc ἐcτι RSchneider, εἰ οὐκ ἄπειρόc ἐcτι Ab, ἀλλ' ἄπειροί εἰcι GDronke | 6. κατὰ τοῦ αὐτοῦ cημαινομένου b, του αυτου cημαινομαινεμενου A, ⟨τῇ γενικῇ⟩ τὸ αὐτὸ cημαινομένηc GDronke | 9. ⟨πάντων⟩ τῶν GDronke | αὐτῷ GDronke, αὐτοῦ Ab | 12. GUhlig ante ἀδύνατον lacunam statuit explendam hunc fere in modum ⟨ὅπερ οὐ παρείπετο τῷ Λεcβόθεν, οἴκοθεν . . . εἴπερ⟩ | 13. η προc λεcβοθεν A² in marg., et b, om. A¹ | 14. προc λεcβου A² in marg., om. A¹ et b | 16. cημαινομαινου A | ἀντωνυμίαι b et A, quem b in var. lect. non recte dicit habere αντωνυμια, ⟨αἱ⟩ ἀντωνυμίαι b in var. lect. | 17. προθέcεων b, πτώcεων A | 24. γὰρ Ab in textu, 'F. δέ' b in var. lect. | 26. κατὰ τὸ b, κατο A | ἀπὸ μὲν] fol. 142 v.

νυμιῶν [ἐμεῦ ἐμέθεν] αὐτοῦ αὐτόθεν, καὶ ἀπὸ ὀνομάτων Λέσβου Λεσβόθεν, παντός πάντοθεν, καὶ ἐπιρρημάτων τηλοῦ τηλόθεν.
600 — εἰ μέντοι ἓν εἴη τὸ φωνῆεν τὸ κατὰ τὸ τέλος, οὐ τῇδε ἔχει ὁ λόγος· φυλάσσεται γάρ, ὡς ἐπὶ τοῦ κάτω κάτωθεν, ἔσω ἔσωθεν. — ἀναγκαίως τὰ παρὰ τὰς προθέσεις φυλάσσει τὰ τέλη, ὡς ἔχει τὸ πρόσθεν, ὕπερθεν.

Ἐπιστατέον οὖν τῷ χαμαῖθεν καὶ ἔτι τῷ παρὰ Ἀττικοῖς χαμᾶθεν. καὶ ἔχοι ἂν συνηγορίαν ἐν τῇ α̅ι̅ διφθόγγῳ τήνδε. τὰ μακρᾷ παρεδρευόμενα ἀποβολῇ τοῦ θ̅ε̅ν̅ ποιεῖ τὸ ἐπίρρημα τὸ πρωτότυπον, κάτωθεν κάτω, πρόσωθεν πρόσω· προσκείσθω τῷ λόγῳ, ὅτε ἀπὸ ἐπιρρήματος ἐσχημάτισται. εἴπερ οὖν μακρᾷ παρεδρεύεται τὸ χαμαῖθεν, ὀρθῶς ἀποβολῇ τοῦ θεν ἐποίησε τὴν χαμαί φωνήν. ἀλλὰ πρόσκειται, ὅτι οὐδέποτε δίφθογγος φυλάσσεται· διὸ σημειούμεθα τὸ ἐκεῖθεν, περὶ οὗ κατὰ τὸ ἑξῆς εἰρήσεται. τὸ οὖν πρὸς Ἀττικῶν πάλιν λεγόμενον ἀναλογώτερον καθέστηκεν. ὥστε ἕνεκα μὲν τῆς μακρότητος ἡ δίφθογγος μένουσα ἀναλογωτέρα καθέστηκεν, ἕνεκα δὲ τοῦ τὸ δεύτερον φωνῆεν ἀποβάλλεσθαι, τὸ Ἀττικόν. — καὶ μή ποτε ὄντως ἀναλογώτερον καθέστηκε. τὰ ἐκ διφθόγγου γινόμενα τὸ ληκτικὸν φωνῆεν ⟨βραχὺ⟩ καταλιμπάνει, τηλοῦ τηλόθεν, αὐτοῦ αὐτόθεν, οἴκου οἴκοθεν. σαφὲς οὖν, ὅτι δεῖ καὶ παρὰ τὸ χαμαί[θεν] χαμάθεν ἐν βραχεῖ τῷ ᾰ. ἀλλ' ἐκεῖνο ἀληθές ἐστιν, ὡς Ἀθηναῖοι ἐκτατικοί εἰσι τῶν φωνηέντων. καὶ ἔτι ἐκεῖνο ἀληθές ἐστιν, ὡς ἀεὶ ἡ ὑποστολὴ τοῦ ῐ, δευτερεύοντος τοῦ φωνήεντος, ἔκτασιν ποιεῖται τοῦ ᾱ. οὕτως ἔχει καὶ τὸ

ἰθᾱγενέεσσιν ἐτίμα (ξ 203)

παρὰ τὸ ἰθαίνω. οὕτως ἔχει καὶ τὸ ᾱεί (τὸ γὰρ ἀναλογώτερον ἐν μακρῷ τῷ ᾱ). οὕτως ἔχει καὶ τὸ κλάω παρὰ Ἀττικοῖς καὶ τὸ φᾱνῶ καὶ τὸ ῥᾱνῶ, κατά τι παράλογα ὄντα, ὅτι μακρᾷ παρεδρεύεται· ἔχει ⟨δὲ⟩ ἀπολογίαν, καθὸ ἡ τοῦ ῑ· ὑποστολὴ ἔκτασιν τῷ ᾱ παρέχει. κατὰ τοῦτον ἄρα τὸν τρόπον παρὰ τὸ χαμαί τὸ χαμᾶθεν ἀναγκαίως ἐξέτεινε τὸ ᾱ. καὶ περὶ τοῦ τετριμμένου δὲ κατὰ τὸ ἑξῆς εἰρήσεται, λέγω τοῦ χαμόθεν.

601 Καὶ τὸ ἐκεῖθεν δέ, οὐ φύσει ἔχον τὴν ε̅ι̅ δίφθογγον παραλήγουσαν, ἀναγκαίως ἐφύλαξε τὴν ποσότητα τῶν φωνηέντων. παρὰ γὰρ τὴν ἐντελῆ φωνὴν τὴν ἐκεῖνος καὶ τὴν ἐκείνου τὸ ἀκόλουθον ἦν ἐκεινόθεν, τὸ δὲ κατὰ συγκοπὴν ἐκεῖθεν. ταῖς δὲ ληγούσαις τῶν διφθόγγων κατὰ

Argum. 7. Quacum lege atticum χαμᾶθεν, a χαμαί derivatum, convenit; quamquam etiam χαμαῖθεν forma habet, quo commendetur. — 32 Ἐκεῖθεν non a natura ε̅ι̅ diphthongum in paenultima habet, sed ex ἐκεινόθεν factum est.

Discr. script. 1. ἐμεῦ ἐμέθεν delevit RSkrzeczka | 7. οὖν τῷ b, ουν το A | 18. βραχύ add. b | 20. χαμαί χαμάθεν GHSchaefer, χαμαῖθεν χαμάθεν b, χάμαιθεν χάμαθεν FJBast, χαμαιθεν χαμαθεν A | 21. επεκτετατικοι A | 28. δέ add. b | καθο supra lin. A², om. A¹ | 29. ἀναγκαίως] fol. 143 r.

τὰ πρωτότυπα τὸ τοιοῦτον παρακολουθεῖ, ὡς πρόκειται ἐπὶ τοῦ χαμᾶθεν, τηλόθεν, ἀγχόθεν· τὸ γὰρ ἐκεῖθεν οὐ τῇδε ἔχει.

Τὰ εἰς θεν λήγοντα ἐπιρρήματα παραλήγεται φωνήεντι, ᾧ καὶ τὸ τέλος τῆς γενικῆς τοῦ ὀνόματος· εἰ δὲ καὶ ἀπὸ ἐπιρρήματος εἴη, πάλιν τῷ αὐτῷ παραλήγεται, δι' οὗ τὸ λῆγον τοῦ πρωτοτύπου· εἰ δὲ δίφθογγος εἴη, καθὼς πρόκειται, ἀποπίπτει τὸ ἐν τῷ τέλει φωνῆεν, ἀρχῆς ἀρχῆθεν, θύρας θύραθεν, τηλοῦ τηλόθεν, οὐρανοῦ οὐρανόθεν, Θήβης Θήβηθεν, Λυκίας Λυκίαθεν, ἀγορῆς ἀγορῆθεν, ἀγχοῦ ἀγχόθεν, ποῦ πόθεν. πῶς οὖν παρὰ τὸ ἀμφοτέρου καὶ ἑκατέρου ⟨καὶ ἑτέρου⟩ οὐ μένει τὸ ō ἐν τῷ ἀμφοτέρωθεν, ἑκατέρωθεν, ἑτέρωθεν; — Φησὶν οὖν ὁ Τρύφων (p. 53 Velsen) ἰδιαίτερον ὡς τὰ διὰ τοῦ τερος πρωτότυπα διὰ τοῦ ω̄ παράγεται κατὰ τὰ ἐπιρρήματα. — Μή ποτε δὲ βίαιόν ἐστιν, ὅτι δι' αὐτοῦ τοῦ ζητουμένου ἡ ἀπόλυσίς ἐστι. μή ποτ' οὖν, εἰ δέδοται καὶ ἀπὸ ἐπιρρημάτων παράγεσθαι τὴν προκειμένην παραγωγήν, ἐγγύς ἐγγύθεν, ἑκάς ἑκάθεν, ἀποπίπτοντος τοῦ c̄ (ἀλλὰ καὶ λήγοντος τοῦ φωνήεντος, ἄνω ἄνωθεν, κάτω κάτωθεν), δοθήσεται καὶ ἀπὸ ἐπιρρήματος τοῦ ἑκατέρως, ἀμφοτέρως, ἑτέρως τὴν παραγωγὴν γεγενῆσθαι.

Ἔτι ἐπηπόρει, πῶς γεγόνοι τὸ γειόθεν, παραδεχόμενος ὡς ἀνάλογον τὸ γῆθεν· παρὰ γὰρ τὴν γῆς γενικήν, ὡς ἀρχῆς ἀρχῆθεν. καὶ ἔτι περὶ τοῦ Δεκελειόθεν (Callim fr. 234 Schneider)· ἐν οἷς ἔλεγε μὴ παρὰ τὸ Δεκέλεια παρῆχθαι, παρὰ δὲ τὸν μετειληφότα τοῦ δήμου Δεκελέα, ὥστε παρὰ γενικὴν τὴν Δεκελέος Δεκελεόθεν εἶναι, καὶ μετὰ περισσοῦ τοῦ ī Δεκελειόθεν. — Ἄμεινον δὲ καὶ οὕτως ὑπὲρ 602 τούτων φάναι, ὡς οὐκ ἀσυνήθως τὸ ᾱ ἔσθ' ὅτε μεταπίπτει εἰς τὸ ō κατὰ σύνθεσιν καὶ παραγωγήν, θάλασσα θαλασσομάχος, σφαῖρα σφαιρομάχος, τραγῳδία τραγῳδιογράφος, χίμαιρα χιμαιροφύλαξ, καὶ ἐπὶ τέλους, ἀθάλασσος, εὔμουσος. καὶ εἰ τοῦτο, οὐ βίαιον ἐν τῇ τοιαύτῃ παραγωγῇ τὸ α εἰς τὸ ō μετατίθεσθαι, ὥστε γεγενῆσθαι παρ' ἐντελέστερον τὸ γαῖα τὸ γαιόθεν καὶ γειόθεν, καὶ παρὰ τὸ Δεκέλεια, τὸν δῆμον τοῦ σημαινομένου δηλοῦντος, τὸ Δεκελειόθεν. ἰδοὺ γὰρ καὶ παρὰ τὸ ῥίζα ῥιζόθεν, ἐσχάρα ἐσχαρόθεν, Μήθυμνα Μηθυμνόθεν, Μέγαρα Μεγαρόθεν. Οὐ βίαιον δὲ καὶ τὸ χαμόθεν κατὰ τὸ σύνηθες, τοῦ σχήματος ἀπαιτοῦντος τὸ χαμᾶθεν.

ARGVM. 3 Adverbia in θεν e genetivis facta cum ita derivari soleant, ut, ubi genetivus in diphthongum cadit, prior vocalis servetur: ἀμφοτέρωθεν sim. non ab ἀμφοτέρου, sed ab adverbiis in ως orta esse videntur. — 19 Γειόθεν Δεκελειόθεν formae nihil offensionis habent: saepius enim in commissuris ᾱ in ō transit.

DISCR. SCRIPT. 10. καὶ ἑτέρου add. b | εν τω A' in marg. | 12. πρωτότυπα b, προσωπα A | 19. γειόθεν b, γηοθεν A, sed videtur esse in γειοθεν mutatum ab A² | 24. Ἄμεινον] fol. 143 v. | 30. τὸ Δεκέλεια b, τον δεκελεα A | 31. δηλοῦν pro δηλοῦντος GDronke

«Καὶ ἐπεί, ὡϲ πρόκειται, ⟨τὸ ο̄ τὸ⟩ ἐν τῷ πρωτοτύπῳ, ἐάν τε μόνον ᾖ, ἐάν τε ϲὺν ἑτέρῳ φωνήεντι, φυλάϲϲεται, Διόϲ Διόθεν, παντόϲ πάντοθεν, τηλοῦ τηλόθεν, καὶ παρὰ τὴν ἠπείρου γενικὴν τὸ ἠπειρόθεν, οὐ μὴν ὑγιῶϲ ἔχον τὸ ἀπείρηθεν.» — Ἔϲτι πρὸϲ τοῦτο φάναι, ὡϲ πλείϲτη μετάθεϲίϲ ἐϲτι τοῦ ο̄ εἰϲ τὸ η̄ κατὰ τὴν Ἰάδα διάλεκτον, οὐ μὴν ἀλλὰ καὶ κατὰ τὸ κοινὸν ἔθοϲ. — παρὰ τὴν βάλανον βαλανηφόροϲ· παρὰ τὸ κάλαθοϲ καλαθοποιόϲ, ἀλλὰ καὶ καλαθηφόροϲ· παρὰ τὸ ἔλαφοϲ ἐλαφοκτόνοϲ Ἄρτεμιϲ, ἀλλὰ καὶ ἐλαφηβόλοϲ· ϲτεφανοποιόϲ, ἀλλὰ καὶ ϲτεφανηφόροϲ. — Ἴωνεϲ δὲ καὶ τοὺϲ ὁρκιοτόμουϲ ὁρκιητόμουϲ φαϲί, καὶ τοὺϲ αἱμοπόταϲ αἱμηπόταϲ. — τοῦ τοιούτου λόγου εἴχετο καὶ τὸ κοτήειϲ· ὡϲ γὰρ παρὰ τὸ ἄνεμοϲ ἀνεμόειϲ, ψόλοϲ ψολόειϲ, οὕτωϲ καὶ ὁ κότοϲ κοτόειϲ καὶ κοτήειϲ. — παρὰ γοῦν τὸ θύοϲ πάλιν ἐϲτὶν ὁτὲ μὲν διὰ τοῦ ο̄ λεγόμενον,

θυόεν νέφοϲ (Ο 153),

ὁτὲ δὲ διὰ τοῦ η̄,

βωμόϲ τε θυήειϲ (Θ 48). —

603 εἰϲ τὸν τοιοῦτον λόγον πάμπολλα ἔϲτιν ἐκθέϲθαι. — οὐδὲν οὖν κωλύει ποτὲ μὲν ⟨τὸν⟩ αὐτὸν φάναι ἠπειρόθεν, ποτὲ δὲ ἀπείρηθεν, ποτὲ δὲ ἀπειρόθεν.

Ἔνια καὶ ὑπὸ πάθοϲ πίπτει, καθὼϲ ἐκτεθείμεθα καὶ περὶ τοῦ κεῖθεν. — Τῆϲ γὰρ τοιαύτηϲ ϲυγκοπῆϲ ἔχεται καὶ τὸ ὄπιϲθεν· ὡϲ γὰρ ἄνω ἄνωθεν, ἔϲω ἔϲωθεν, οὕτωϲ ὀπίϲω ὀπίϲωθεν. ὃ δὴ ἔϲθ' ὅτε καὶ μετὰ τοῦ ϲ̄ ϲυγκόπτεται, ὅτε γίνεται ὄπιθεν. Καὶ τὸ ἔνερθεν δὲ δύο πάθη ἀνεδέξατο, ϲυγκοπὴν καὶ ἀφαίρεϲιν. ἦν γάρ τι ὄνομα τὸ ἔνερον, ἀφ' οὗ τὸ ἐντελὲϲ ἐπίρρημα ἐνερόθεν, ἀφ' οὗ κατὰ ϲυγκοπὴν ἔνερθεν, τάχα τῆϲ ὀξείαϲ εὐλόγωϲ ὑπερτεθείϲηϲ κατὰ τὸ ἄρχον μέροϲ, ἐπεὶ τὰ παραληγόμενα τῶν ἐπιρρημάτων τῷ ο̄, ὡϲ δεδείξεται, καταφορά ἐϲτιν ἐπὶ τὸ παροξύνεϲθαι, τῶν ἄλλῳ φωνήεντι παρεδρευομένων οὐ τῇδε ἐχόντων. ϲαφὲϲ οὖν, ὅτι καὶ ἐν ἀφαιρέϲει ἐϲτὶ τὸ

νέρθεν ὑπ' ἐγκεφάλοιο (Π 347).

Argum. 1 Eodem modo ο̄ saepe in η̄ mutatur; quare ἀπείρηθεν non est cur vituperetur. — 20 Ἔνερθεν, unde per aphaeresin factum est νέρθεν, ab ἔνερον oriundum est.

Testim. 21 Et. M. 627, 11 *ὄπιθεν· ἀπὸ τοῦ ὀπίσω, ὀπίσωθεν, καὶ συγκοπῇ τῆς σῶ συλλαβῆς. Εἰ δὲ ὄπισθεν, ἀποκοπῇ τοῦ ῶ· καὶ μετόπισθεν, Ἰλιάδος α'.* — 24 Epim. Cr. 290, 20 *νέρθεν· ἔρα ἐστὶν ἡ γῆ ἐνέρων* (*Τ* 61) *ἐνέροθεν καὶ συγκοπῇ ἔνερθεν καὶ ὑπένερθε* (*Γ* 278), *ὡς ἑκατέρωθεν ἑκάτερθεν· εἶτα γίνεται ἔνερθεν γῆς· ἀφαίρεσις ἄρα γέγονε, τὸ γὰρ ἔνερθε πρῶτόν ἐστιν.* Cf. Et. Or. 117, 20. Et. M. 114, 13.

Discr. script. 1. τὸ ο̄ τὸ add. b in var. lect., ⟨τὸ⟩ ἐν τῷ πρωτοτύπῳ ⟨ο̄⟩ GFSchoemann | 6. κύνον A, οι ab A[1] supra scriptum | 9—10. ὁρκιητόμουϲ ChALobeck, ὁρκιηφόρουϲ Ab | 18. τὸν add. RSchneider | 24. ἀνεδέξατο] fol. 144 r. | 28. τῶν ἄλλῳ φωνήεντι b, των αλλων φωνηεντων A

τροπικώτερον μέντοι ἡ λέξις τίθεται ἐπὶ παντὸς τοῦ κάτωθεν, ᾧ λόγῳ καὶ ἄριστος μέν ἐστιν ὁ ἐν πολέμῳ ἰσχυρός, τροπικώτερον δὲ καὶ ἐπὶ παντὸς τοῦ προσήκοντος· τῇ γοῦν κυριολογίᾳ μαρτυρεῖ τὸ παρώνυμον ἀριστεύς.

Ἔφαμεν ὡς τὰ δύο φωνήεντα ἀποβάλλει τὸ δεύτερον φωνῆεν. οὐχὶ οὖν δόξει τὸ ἄνευθεν σεσημειῶσθαι; — Πρὸς ὃ φήσομεν, ὅτι οὐ τῆσδε τῆς παραγωγῆς ἔχεται, τῆς δὲ διὰ τοῦ θ̅ε̅, ἥ τις καὶ τὴν δίφθογγον φυλάσσει, εἶθε, αἶθε. ἦν οὖν καὶ παρὰ τὸ ⟨ἄνευ⟩ ἄνευθε. καὶ σαφές ἐστιν ἐκ τοῦ ἀπάντοτε τὸ σημαινόμενον φυλάσσειν τὴν θ̅ε̅ συλλαβήν. ἡ γοῦν κατάληξις ἡ διὰ τοῦ θ̅ε̅ν̅ οὐδέποτε τὸ ν̅ ἀποβάλλει· τὸ γὰρ Λεσβόθεν οὐκέτι Λεσβόθε, οὐδὲ ἄλλο τι τῶν τοιούτων· ἐν δὲ τῷ

ἄνευθε δέ σε μέγα νῶιν (Χ 88)

ἡ θ̅ε̅ συλλαβή ἐστιν. — Ἀλλὰ πῶς ποτὲ ἔχει τὸ ν̅; Ὧι λόγῳ καὶ τὸ ἔλεγεν καὶ τὸ ἔφερεν, οὐ λήγοντα εἰς ν̅, προσλαμβάνοντα δὲ τὸ ν̅ διὰ τὴν τοῦ ε̅ κατάληξιν. ᾧ λόγῳ καὶ ὁ κέ σύνδεσμος κέν ἔσθ' ὅτε λέγεται 604 παρὰ Δωριεῦσι.

Τὰ τῷ ο̅ παρεδρευόμενα παρὰ Δωριεῦσι τῶν ἐπιρρημάτων ἀπειράκις ἐν ἀποκοπῇ γίνεται τοῦ θ̅ε̅ν̅ καὶ ἐν μεταθέσει τοῦ ο̅ εἰς ω̅, καθὼς προείπομεν, αὐτόθεν αὐτῶ, αὐτῶ δρῆς, Φύσκα; (Sophr. fr. 45 Ahrens), τουτόθεν τουτῶ, τουτῶ θάμεθα (Sophr. fr. 42 Ahrens). — Τῆδε εἶχε καὶ τὸ πόθεν λεγόμενον οὕτως, πῶ· πῶ τις ὄνον ὠνασεῖται; (Sophr. fr. 89 Ahrens.) — Καὶ τὸ πώμαλα δὲ παρὰ Ἀττικοῖς ἐν παρολκῇ τοῦ μάλα οὕτως ἐγένετο, καθάπερ καὶ τὸ

ἦ μάλα δὴ τέθνηκεν (Σ 12)·
ἦ μάλ' ἐλαφρὸς ἀνήρ· ὡς ῥεῖα κυβιστᾷ (Π 745).

Argum. 5 Ἄνευθε(ν) non per θ̅ε̅ν̅, sed per θ̅ε̅ suffixum derivatum; quare ῡ vocis ἄνευ non intercidit. — 17 Ea in θ̅ε̅ν̅ adverbia, quae ο̅ in paenultima habent, a Doriensibus saepe suffixo ita privantur, ut ο̅ in ω̅ transeat.

Testim. 15 Epim. Cr. 160, 1 *κέ σύνδεσμος· οἱ* (scr. ὃν) *Δωριεῖς ἢ μετὰ τοῦ ν̅ λέγουσιν, ἢ τροπῇ τοῦ ε̅ εἰς* ⟨ᾱ⟩ *κά.* — 17 Etym. Flor. apud Miller. Mélanges p. 289 *πολλὰ γάρ εἰσιν ἐπιρρήματα εἰς θ̅ε̅ν̅ λήγοντα, ἅτινα ἀποβάλλουσι τὴν θ̅ε̅ν̅ συλλαβὴν καὶ ἐκτείνουσι τὸ ο̅ εἰς ω̅, οἷον πόθεν πῶ, καὶ παρὰ Σώφρονι 'πῶ τις ὦνον ὠνάσηται'. Σημαίνει καὶ τὸ πόθεν . καὶ πάλιν ἔστιν αὐτόθεν αὐτῶ, ἀντὶ τοῦ ἐξ αὐτοῦ τοῦ τόπου, καὶ γίνεται τῶ, καὶ οὐκ ἔχει τὸ ι̅· καὶ τὸ τῶδε* (scr. *τώδε*) *τὸ σημαῖνον τὸ διό οὐκ ἔχει τὸ ι̅. Τοῦτο δὲ ὁ μὲν Ἀπολλώνιος ὀξύνει* (Et. M. 773, 20) e. q. s. Eadem fere in Et. Or. 137, 13, quae in Et. M. 698, 45 migrasse videntur. — 22 Et. M. 698, 45 *Τὸ δὲ πώμαλα παρὰ Ἀττικοῖς ἐν παρολκῇ τοῦ μάλα γίνεται· καθάπερ* (*Σ* 12) *καὶ* (*Π* 745). *τὸ δὲ πόθεν ἐπὶ τῆς οὐ ἀρνήσεως συνεχῶς λέγεται, οἷον· ἔγραψας; πόθεν; ἀντὶ τοῦ οὔ. Καὶ κατὰ τοιαύτην σημασίαν τὸ πώμαλα παρὰ Ἀττικοῖς σημαίνει τὸ οὐδαμῶς.* Etymologum exscripsit Phavorinus.

Discr. script. 3. τῇ γοῦν b, η γουν A | 8. ἄνευ add. b | 21—22. πῶ· πῶ τις ὄνον ὀνασεῖται HLAhrens, πῶ· πῶ τις ὄνον ὀνασεῖται b, πωποτισονονονασειται A | 24. τέθνηκε Homerus

τοῦ δὲ πόθεν συνεχέστερον καὶ οὕτως λεγομένου· ἔγραψας; πόθεν; ὅπερ κατὰ τὴν τοιαύτην σημασίαν τὸ πώμαλά ἐστι παρὰ τοῖς Ἀττικοῖς κατὰ τὸ πλεῖστον.

Τὰ συμφώνῳ παρεδρευόμενα τῶν εἰς θεν̄ ληγόντων ἐπιρρημάτων παρὰ Δωριεῦσι καὶ Αἰολεῦσιν ἀμείβει τὸ ε̄ εἰς τὸ ᾱ, καὶ κατ' ἐπακολούθησιν τὸ ν̄ ἀποβάλλει, καθάπερ καὶ ἐπ' ἄλλων παθῶν τὸ τοιοῦτον εὑρέσθαι ἔστι. τὸ ᾔδειν παρ' Ἴωσι λεγόμενον ᾔδεα, πεποιήκειν ἐπεποιήκεα, καὶ πάντα τὰ τούτοις ὅμοια· καὶ ἐπ' αἰτιατικῆς Ξέρξεα, Πολυδέκτεα, Γύγεα· καὶ ἐπὶ συνδέσμου τοῦ ἕνεκεν ἕνεκα, καὶ ἔτι τοῦ κέν καὶ κά. ὥσπερ πάλιν εἰ τὸ ᾱ εἰς τὸ ε̄ μεταπέσοι, τὸ τηνικαῦτα πρόσεισι τὸ ν̄ παρ' Αἰολεῦσι· τὸ λεγόμεθα λεγόμεθεν καὶ πάντα τὰ τοιαῦτα τῶν ῥημάτων. ⟨Ταῦτα οὖν τῶν ἐπιρρημάτων⟩ ἐστὶ διὰ τοῦ ᾱ μεθιστανόμενα, ὡς ἔφαμεν, κατὰ τὸ πλεῖστον, πρόσθεν πρόσθα, ἔνερθεν ἔνερθα, ὄπισθεν ὄπισθα,

ὁ δ' ἐξύπισθα κασταθείς (lyr. gr. III[3] fr. adesp. 67 Bergk),

ἔνθεν ἔνθα. καὶ ἐν ἄλλοις δὲ ἐπιρρήμασιν, ὡς ἐν τοῖς ἑξῆς δεδείξεται, τὸ ε̄ εἰς τὸ ᾱ μεταπίπτει παρὰ ταῖς προκειμέναις διαλέκτοις.

605 Παρείπετο τοῖς προκειμένοις ἐπιρρήμασιν, εἰ μὲν ἀπὸ ὀνομάτων εἶεν καὶ μὴ τῷ ο̄ παρεδρεύοιτο, τάσις ἡ αὐτή, ⟨ἣ⟩ ἣν κατὰ τὸ τέλος τῆς γενικῆς. τὸ ἀρχῆς περισπᾶται· τῇδε ἔχει καὶ τὸ ἀρχῆθεν. ὁμοίως καὶ Ἰωνικὸν τὸ ἀγορῆς· τῇδε ἔχει καὶ τὸ ἀγορῆθεν. βαρύνεται τὸ Θήβης· τῇδε ἔχει καὶ τὸ Θήβηθεν. ἀλλὰ καὶ τὸ Ἀθήνης Ἀθήνηθεν, σιπύης σιπύηθεν,

ἐκ δ' ἄρτους σιπύηθεν (Callim. fr. 454 Schneider).

πάλιν τοῦ γῆς περισπωμένου τὸ γῆθεν συμπερισπᾶται. κἂν διὰ τοῦ ᾱ, Λυκίας Λυκίαθεν. — Ἐπὶ μέντοι τῶν τῷ ο̄ παρεδρευομένων οὐ ταὐτὸν παρέπεται· σχεδὸν γὰρ ἅπαντα ὀφείλει παροξύνεσθαι. παρὰ βαρυνομένην γὰρ γενικὴν τὴν Λέσβου τὸ Λεσβόθεν παροξύνεται· τῇδε ἔχει καὶ παρὰ τὴν Κύπρον τὸ Κυπρόθεν, Ἀβυδόθεν, οὐρανόθεν, Διόθεν,

---

ARGUM. 4 Ea in θεν̄ adverbia, quorum paenultima syllaba in consonantem terminatur, in dorica et aeolica dialecto θεν̄ in θᾱ mutant. — 18 Horum quae a nominibus derivantur neque ο̄ in paenultima habent, accentum genetivorum, e quibus facta sunt, servant; — 26 quorum autem in paenultima ο̄ est, ea tantum non omnia paroxytona sunt;

DISCR. SCRIPT. 1. ἔγραψας; πόθεν;] Sic distinxit FJBast, assentitur b in var. lect., qui in textu scripsit ἔγραψας ποθεν | 2. ὅπερ ⟨ἐστὶν οὐδαμῶς.⟩ aut ὅπερ ⟨ἐστὶν ἀντὶ τοῦ οὔ.⟩ GFSchoemann | τοιαύτην Ab in textu, 'F. αὐτήν' b in var. lect. | 5. παρὰ Δωριεῦσι] fol. 144 v. | 12. ῥημάτων. ⟨Ταῦταο ὖν τῶν ἐπιρρημάτων⟩ ἐστὶ διὰ τοῦ ᾱ μεθιστανόμενα GDronke, ῥημάτων ἐστὶ διὰ τὰ μεθιστανόμενα Ab, ῥημάτων. ἔστι δὲ τὰ μεθιστανόμενα GUhlig | 14. ὄπισθα pro ὄπισθα GUhlig | 15. κασταθείς b ThBergk, καστάθεις HLAhrens; vid. p. 153, 19 | 19. τῷ ο̄ b, το ο̄ A | ἣ b, om. A | 20. το ante αρχης A[2] in marg., om. A[1] | 25. κἂν b, καν A, καὶ RSkrzeczka | 26. Ἐπὶ b, ἐπει A | τῷ ο̄ b, το ο̄ A

αὐτόθεν, cχεδόθεν. ἁπάντων τῷ λόγῳ τούτῳ ὑποπιπτόντων ἰδιαίτερον ἐβαρύνθη τὸ οἴκοθεν καὶ ἄλλοθεν (ἔνιοι μὲν γὰρ τὸ παντόc πάντοθεν καὶ παρώξυναν)· καὶ παρ' ἐπίρρημα δὲ τὸ ἐκτόc τὸ ἔκτοθεν καὶ ἔνδον ἔνδοθεν. καὶ εἰ ἔcτιν εἰπεῖν ὡc οὐκ ἄλλο τι ἐθέλει παροξύνεcθαι, ὃ μὴ τῷ ο̄ παρεδρεύεται (καὶ γὰρ ὀξυνομένου τοῦ ἑκάc τὸ ἕκαθεν προπαροξύνεται, καὶ ἅπαντα τὰ τῷ ω̄ παρεδρευόμενα, ἄνω ἄνωθεν, κάτω κάτωθεν. τῇδε ἔχει καὶ τὸ ἑκατέρωθεν, ἀμφοτέρωθεν, ἑτέρωθεν. πάλιν δὲ παρὰ τὸ ἐγγύc παροξυνόμενον τὸ ἐγγύθεν), οὐκ ἔcτιν ἀφορμὴ οὐδεμία τῶν προπαροξυνθέντων. ἴcωc γὰρ τὸ ἄλλοθεν ἠδύνατο ἔχειν ἀπολογίαν διὰ τὴν βαρύτητα τῆc γενικῆc, καὶ τάχα τὸ οἴκοθεν· οὐ μὴν ἐπὶ τῆc παντόc γενικῆc ὀξυνομένηc τὸ πάντοθεν. ἢ ἐπιρρήματοc τοῦ ἐκτόc ὀξυνομένου τὸ ἔκτοθεν, ὅπου γε καὶ αἱ βαρυνόμεναι γενικαὶ παρωξυτονήθηcαν κατὰ παραγωγήν, Κύπρου Κυπρόθεν, Ἀβύδου Ἀβυδόθεν.

Παράκειται τοῖc εἰc θεν λήγουcι τὰ ἐν τόπῳ, τοῦ τέλουc εἰc τὸ ῑ μεταλαμβανομένου, παρεπομένηc τῆc τάcεωc τῆc αὐτῆc καὶ μετὰ μὲν μονῆc τοῦ θ̄, εἰ τὸ ο̄ προκείμενον εἴη· τὰ γὰρ μὴ οὕτωc ἔχοντα καὶ τὸ θ̄ εἰc τὸ c̄ μεταλαμβάνει. τοῦ μὲν οὖν προτέρου οἴκοθεν οἴκοθι, ἔνδοθεν ἔνδοθι, Ἀβυδόθεν Ἀβυδόθι, οὐρανόθεν οὐρανόθι, τηλόθεν τηλόθι, αὐτόθεν αὐτόθι καὶ ἐν cυγκοπῇ αὖθι, ὑψόθεν ὑψόθι, ἀφ' οὗ πάλιν τὸ κατὰ cυγκοπὴν ὕψι. καὶ ἴcωc καὶ παρὰ τὸ ἀγχοῦ ἦν τὸ ἀγχόθεν καὶ ἀγχόθι, καὶ πάλιν κατὰ cυγκοπὴν ἄγχι. caφὲc δὲ ὅτι καὶ τὸ κεῖθι πάλιν τὸ αὐτὸ πάθοc ἀνεδέδεκτο τῷ κεῖθεν, τῆc cυγκοπῆc cυνούcηc τῆc παρὰ τὸ ἐκεινόθι. — Τὰ μὲν οὖν γεγονότα

ARGUM. 6 (quae in paenultima ω̄ habent, proparoxytona sunt). — 15 Adverbiis in θεν praesto sunt adverbia in θῑ eiusdem stirpis, quae, ubi quid sit, indicant. — 17 Quorum si in paenultima ο̄ est, cum accentu servant θ̄ litteram; sin minus, θ̄ in c̄ mutant. — 24 Sed non necesse est omni adverbio in θεν praesto esse adverbium in θῑ eiusdem stirpis.

TESTIM. 11 Epim. Cr. 318, 17 *τὰ εἰς θεν ἐπιρρήματα τῷ ο̄ παραληγόμενα πρὸ μιᾶς ἔχουσι τὸν τόνον, οἷον κυκλόθεν, Ἀβυδόθεν, Ἰλιόθεν· χωρὶς τῶν ἐπιμεριζομένων, οἷον ἑκάστοθεν, ἔκτοσθεν, ἔνδοθεν.* — 15 An. Bekk. B A p. 945, 10 *καὶ εἰ μὲν τὸ ο̄* (*τῷ ω̄* scr. RSchneider) *παραλήγοι, ποιεῖ τὴν ἐν τόπῳ τροπῇ τῆς θεν εἰς θῑ, οἷον οἴκοθι· εἰ δὲ ἑτέρῳ φωνήεντι παραλήγοιτο, εἰς σι, οἷον Ἀθήνηθεν Ἀθήνησιν. ἡμάρτηται τὸ ἐγγύθεν ἐγγύθι κτλ.* — 18 Epim. Cr. 318, 5 *τὰ εἰς θι ἐπιρρήματα τὴν παραλήγουσαν θέλει φυλάττειν τῶν εἰς θεν ἐπιρρημάτων· οἷον Ἰλιόθεν Ἰλιόθι, Ἀβυδόθεν Ἀβυδόθι, αὐτόθεν αὐτόθι, καὶ κατὰ συγκοπὴν αὖθι· οὕτως καὶ οὐρανόθεν οὐρανόθι.*

DISCR. SCRIPT. 3. τὸ ἐκτόc b, τω εκτοc A | 4—5. ὃ μὴ τῷ b, ω μη το A | 8. τὸ ἐγγύc] fol. 145 r. | 12. τὸ ἔκτοθεν b, του εκτοθεν A | 16. 'Articulum τῆc delendum censeo' b in var. lect. | μετὰ μὲν μονῆc RSkrzeczka, μονῆc μὲν μετὰ Ab, 'Praepositionem abesse velim' b in var. lect. | 18. μεταλαμβάνει b, παραλαμβανει A | 23. ανεδεκτο A

τῇδε ἐγεγόνει· οὐ γὰρ ἐξ ἀνάγκης παρεπόμενόν ἐστι τοῖς εἰς θεν τὸ τοιοῦτον· οὔτε γὰρ τῷ ἔνθεν παράκειται οὔτε ἄλλοις πλείοσι τοιούτοις. τοῦ γε μὴν ἑτέρου ὑποδείγματά ἐστι τοιαῦτα, Θήβηθεν Θήβῃσιν, Ἀθήνηθεν Ἀθήνῃσιν, θύρηθεν θύρῃσι.

Τὰ διὰ τοῦ ε ἐκφερόμενα ἐπιρρήματα (λέγω δὲ τὰ προκείμενα κατὰ παραγωγὴν τοῦ θε· καὶ τὰ τοιαῦτα δὲ λέγω, τὰ διὰ τοῦ τε, ἄλλοτε, τότε, ὑπὲρ ὧν καὶ κατὰ τὸ ἑξῆς εἰρήσεται, καὶ ἔτι τὰ διὰ τοῦ σε, κυκλόσε, πάντοσε, πόσε, καὶ ἔτι τὰ διὰ τοῦ δε, οἴκαδε, καὶ ἔτι τὰ τούτοις ὅμοια) οὐ τρέπει πάντοτε τὸ ε εἰς τὸ α παρ' Αἰολεῦσι καὶ Δωριεῦσιν, ἀλλὰ τρέψαντά ἐστιν ἢ διὰ τοῦ θε ἐκφερόμενα ἢ διὰ τοῦ τε. καὶ σχεδὸν μία ἦν ἀπολογία· πνεύματι γὰρ διαφέρει τὸ τ τοῦ θ. τὰ γὰρ μὴ τῇδε ἔχοντα τὸ ε φυλάσσει. — εἴρηται μὲν οὖν περὶ τῶν εἰς θεν, λέγω περὶ τοῦ ὄπισθα καὶ ὕπερθα καὶ τῶν τοιούτων· ἔστι δὲ καὶ ὑποδείγματα τῶν ⟨διὰ⟩ τοῦ τε τὸ πότε πότα, ὅτε ὅτα, ἑτέρωτε ἑτέρωτα, ἄλλοτε ἄλλοτα. — διαφέρει δὲ πάλιν τὰ Αἰολικὰ τοῦ Δωρικοῦ, ᾗ τὸ μὲν Δωρικὸν τὸ τ εἰς κ μεταλαμβάνει, ὅτε τὸ πότε πόκα ἐστί, τὸ ἄλλοτε ἄλλοκα, ὅτε ὅκα, καὶ μετὰ περισσοῦ τοῦ κ, ὅκκα δὴ γυνά (Alcm. fr. 94 Bergk[3]). οὐ μὴν ἐπὶ τοῦ κυκλόσε ἢ ἔραζε ἢ τῶν προκατειλεγμένων.

607 [Τὰ εἰς ου λήγοντα ἐπιρρήματα περισπᾶται, ἐστὶ δὲ παραγωγά. παρὰ τὸ ὕψος ἦν τὸ ὑψοῦ, παρὰ τὸ τῆλε τὸ τηλοῦ (δύναται καὶ τῷ τέλος παρακεῖσθαι, γενομένης ἐκτάσεως τοῦ ε εἰς τὸ η, τελοῦ τηλοῦ· τὰ γὰρ ἐπὶ τέλους διικνούμενα μεγεθύνεται) καὶ παρὰ γενικὴν τὴν αὐτοῦ ὁμόφωνόν τι ἐκπίπτει ἐπίρρημα τὸ αὐτοῦ. — δύναται καὶ τῷ ἄγχι παρακεῖσθαι τὸ ἀγχοῦ. — ἦν δὲ καὶ τὸ οὗ παρὰ πτωτικὸν τὸ ὅς, ἀφ' οὗ ἀνταποδοτικὸν τὸ τοῦ, πευστικὸν δὲ τὸ ποῦ. — καὶ ἐπεὶ τὰ μονοσύλλαβα τῶν πευστικῶν, προσθέσει τοῦ ο ἀοριστούμενα, βαρύνεται, οὐκ ἂν εἴη παράλογον τὸ ὅπου κατὰ τάσιν. — τῇδε ἔχει καὶ τὸ οὐδαμοῦ, παρακείμενον τῷ οὐδαμός.]

Argum. 5. Quae in ε exeunt, — 9 non omnia ε in α mutant in dorica dialecto: mutant quaecunque in θε et τε cadunt. — 15 Aeolica a doricis eo differunt, quod dorica τ in κ vertunt. — [20 Adverbia in ου derivata perispomena sunt — 26 Sed indefinita, quae ex interrogativis praefixa ο littera nascuntur, barytona sunt.]

Discr. script. 2. παράκειταί ⟨τι⟩ conicit RSchneider | 6. 'F. παραγωγὴν ⟨τὴν⟩ τοῦ θε' b in var. lect. | 10. ⟨τὰ⟩ τρέψαντα GFSchoemann | 11. γὰρ ⟨μόνον⟩ διαφέρει GDronke | 13. υπησθα A | ὕπερθα FJBast et, ut videtur, A, ὅπερθα b | καὶ τῶν τοιούτων] fol. 145 v. | 14. 'fortasse scripserat Apollonius ὑποδείγματα τοιαῦτα τῶν διὰ τοῦ' FJBast, 'sola opus praepositione' b in var. lect., δια in A fuisse videtur, sed evan. | 14—15. ἑτέρωτε ἑτέρωτα FJBast b, ετερωθεν ετερωθα A (alterum fere evan.) | 18. γυνά b in var. lect. ThBergk, γυνή Ab in textu | 20—29. Uncis haec inclusit RSchneider, haeserat in eis etiam GDronke | 21. δυναται A, ὃ δύναται b | 25. τὸ οὗ b, τω ου A | 26. ανταποδωτικον A | 29. τῷ οὐδαμός b, το ουδαμος A

Ἔcτι καὶ cυνύπαρξιc τῶν εἰc τε̄ ληγόντων ἐπιρρημάτων. — παρὰ τὴν ἄλλοc φωνὴν πάλιν τὸ ἄλλοτε, παρά τε τὴν παντόc τὸ πάντοτε, καὶ παρὰ τὸ οὗ τὸ ὅτε, ποῦ πότε, ὅπου ὁπότε. — τῇδε ἔχει καὶ παρὰ τὸ ἕτεροc τὸ ἑτέρωτε (ἢ παρ' ἐπίρρημα τὸ ἑτέρωθε), ἀφ' οὗ καὶ τὸ παρ' Αἰολεῦcιν ἑτέρωτα· πρόκειται γάρ, ὅτι τὸ τοιοῦτον ε̄ εἰc ᾱ τρέπουcιν Αἰολεῖc καὶ Δωριεῖc, ὥcπερ ἔχει καὶ τὸ πότα. — caφὲc ὅτι καὶ παρὰ τὸ νέοc τὸ μὲν κοινὸν ἦν νέοτε, κατ' Ἀττικὴν δὲ ἐπέκταcιν νέωτα, Αἰολικώτερον τοῦ ε̄ εἰc ᾱ τραπέντοc. καὶ τὸ ἐνίοτε δὲ παρὰ τὸ ἔνιοc ἢ ἔνιοί ἐcτιν.

Καὶ τὰ διὰ τοῦ cε̄ παραγόμενα εἰc τόπον. παρὰ τὸ οἶκοc οἴκοcε, ἄλλοc ἄλλοcε, παντόc πάντοcε, παρά τε πάλιν τὸ ποῦ τὸ

πόcε φεύγετε; (Π 422)

κύκλοc κυκλόcε. Χρὴ δὲ νοεῖν, ὅτι πάλιν οἱ αὐτοὶ τόνοι παρέπονται τοῖc προκατειλεγμένοιc τῶν εἰc θεν̄ καὶ τῶν εἰc θῑ. ἄλλοθεν ἄλλοθι, εὐθέωc καὶ ἄλλοcε· καὶ ἐπεὶ πάντοθεν καὶ πάντοθι,

πάντοcε δαιδάλλων (Σ 479)·

καὶ ἐπεὶ κυκλόθεν κυκλόθι, εὐθέωc καὶ τὸ κυκλόcε, ἀγχόcε, τηλόcε.

Τὰ διὰ τοῦ ζε̄ παραγόμενα ἔχει τὸ ᾱ παρεδρευόμενον ἐν βραχεῖ 608 χρόνῳ, Ἄφιδνα Ἀφίδναζε, ἔρα ἔραζε, θύρα θύραζε. cημειωτέον οὖν τὸ χαμᾶζε· καὶ δῆλον ὅτι τῆc Ἀττικῆc ⟨ἐκ⟩τάcεώc ἐcτι, καθὸ καὶ τὸ χαμᾶθεν.

Εἴπομεν ὡc τὰ διὰ τοῦ φῑ παραγόμενα αὐτὸ μόνον τῆc παραγωγῆc ἔχεται τῆc διὰ τοῦ φῑ, καθὸ καὶ ἄλλα πολλά ἐcτι τὰ διὰ τοῦ δε̄ παραγόμενα, τοcόcδε, τοιόcδε, ἅπερ τοῦ αὐτοῦ μέρουc λόγου ἔχεται, καθὸ καὶ πλεῖcτα τῶν εἰc θεν̄ ληγόντων, ὡc ἡ ἐμέθεν ἀντωνυμία καὶ αἱ cύζυγοι. — ἔχεται μέντοι καὶ ἕτερα ἐπιρρηματικῆc ἐννοίαc, ὥcπερ παρὰ τὴν ἰνόφιν φωνὴν τὸ ἶφι cυνεκόπη, cημαῖνον τὸ ἰcχυρῶc. τὸ μέντοι νόcφι πρὸc ἐνίων οὕτωc ἀπεδίδοτο, ὡc τὸ νο̄ ⟨ἔcθ'⟩ ὅτε cτερητικόν ἐcτι, καθὸ καὶ τὸ νόcοc ἐν cτερήcει τοῦ cοεῖν· ἦν δὲ καὶ παρὰ τὸ

Argum. 3 Adverbia in τε̄ diversis modis derivantur. — 10 Quae per cε̄ suffixum facta sunt, quem in locum quid vergat indicant. Accentus habent eosdem atque ea, quae in θεν̄ et θῑ finiuntur. — 18 Adverbia in ζε̄ paenultimam corripiunt; notabile igitur χαμᾶζε. — 22 Quae per φῑ suffixum orta sunt, ei parti orationis tribuuntur, cui primitiva. Sunt autem quaedam adverbiali potestate praedita, ut ἶφι.

Discr. script. 4. τὸ ἑτέρωτε b, τω ετερωτε A | 10. cε̄ b, c̄ A | 17. αγχοcε extrema vox est in fol. 145 v., quae sequuntur folia 31, inde a fol. 146 r. usque ad 176 v., libri de pronomine sunt, ut τηλοcε sit primum vocabulum fol. 177 r. | 20. ἐκ add. b | 22. φῑ b, φ̄ A | 26. ὥcπερ vel καὶ γὰρ GFSchoemann, ὥcπερ etiam GDronke, ὡc καὶ vel, puncto antea posito, οὕτωc RSkrzeczka, 'Vitii subest nescio quid' b in var. lect.; ὡc γὰρ, puncto ante ὡc posito, A et b in textu | 28. ἔcθ' add. b | 29. cοειν in rasura A[1]

ἕπεσθαι, κατὰ στέρησιν ⟨τὴν διὰ⟩ τοῦ ν̅ο̅, ἐσχηματισμένον τὸ νόσφιν, ὅπερ ἐναντίον σημαίνει τῷ συνέπεσθαι.

Σαφὲς δὲ ὅτι καὶ Σέλευκος καὶ οἱ πλεῖστοι ὑγιῶς ἐφίστων τῷ

οὐρανόθι πρό (Γ 3).

ἡ γὰρ εἰς θ̅ι̅ παραγωγὴ τὸ ἐν τόπῳ σημαίνει. ὅπερ τινὲς μετέγραψαν τὸ οὐρανόθεν, ἵνα τὸ ἐκ τόπου δηλωθῇ. ἀλλὰ πάλιν ἐδόκει καὶ τὸ πρό ἀντικεῖσθαι· ἐπεὶ γὰρ τὸ οὐρανόθεν τὸ ἐξ οὐρανοῦ σημαίνει, οὐ συνίσταται δὲ τὸ πρὸ ἐξ οὐρανοῦ, σαφὲς ὅτι παραπεμπτέον καὶ τὴν διὰ τοῦ θ̅ε̅ν̅ γραφήν. χωρὶς εἰ μὴ ἐκεῖνό τις εἴποι, ὡς ἔσθ' ὅτε ταῖς γενικαῖς μόνον ἡ παραγωγὴ ἰσοδυναμεῖ, οὐ δηλουμένης τῆς ἐκ προθέσεως, ὡς τὸ

Ἴδηθεν μεδέων (Γ 276),

ὡς ἡ ἐμέθεν ἀντωνυμία, ὡς τὸ

Αἴας δ' ἐγγύθεν ἦλθε (Η 219).

καὶ τὸ οὐρανόθεν προσλαμβάνει τὴν ἐξ πρόθεσιν, ἐξ οὐρανόθεν, ὡς αὖ τοῦ θ̅ε̅ν̅ νῦν οὐ λεκτικῶς προσεληλυθότος, ἐν δὲ μόνον παραγωγῇ, καθὼς προαπεδόθη. τῇδε οὖν ἕξει καὶ τὸ οὐρανόθεν πρό. — εὐμαρέσ-
609 τερον μέντοι τὴν διὰ τοῦ φ̅ι̅ παραγωγὴν παραδέχεσθαι, ἥ τις συνήθως καὶ ἐπὶ γενικῆς παραλαμβάνεται. ἡ παραλαμβανομένη ποικίλας ἔχει τὰς προθέσεις προσιούσας, ἐκ πασσαλόφιν, ἀπὸ χαλκόφι. — διὸ καὶ ἐν παραγωγῇ μόνον κατὰ τὰς ἀρχὰς τὰ τοιαῦτα τῶν ἐπιρρημάτων παρελαμβάνομεν. — τῇδε οὖν ἔχει καὶ τὸ οὐρανόφι πρό.

Τὰ εἰς ω̅ λήγοντα ἐπιρρήματα σημαίνει καὶ τὸ ἐν τόπῳ καὶ τὸ εἰς τόπον (τὴν γὰρ διὰ τοῦ θ̅ε̅ν̅ παραγωγὴν ἔχει ⟨τὸ⟩ ἐκ τόπου)· λέγω δὲ ὅτι μάλιστα. ⟨ἃ⟩ ἀπὸ προθέσεως ἐσχημάτισται, ἰσοσυλλαβεῖ μὲν [μάλιστα] ταῖς προθέσεσιν, ἐὰν ὦσι δισύλλαβοι, μιᾷ δὲ πλεονάζει, εἰ εἶεν μονοσύλλαβοι, ⟨ἐν⟩ λήξει τῇ εἰς σ̅ ἢ φύσει ἢ δυνάμει. τοῦ μὲν προτέρου ἀνά ἄνω, κατά κάτω· τοῦ δὲ δευτέρου πρός πρόσω καὶ εἴς εἴσω. δυνάμει καὶ ἡ ἔξ εἰς σ̅ λήγει· οὕτως ἔχει τὸ ἔξω. φαμὲν οὖν ἄνω

Argum. 4. In οὐρανόθι πρό quidam adeo offenderunt, ut οὐρανόθεν scribi vellent. Quod ferri possit, si οὐρανόθεν sit = οὐρανοῦ. — 17 Praestat tamen scripturam οὐρανόφι probare, nam φ̅ι̅ suffixum etiam genetivum indicat. — 23 Adverbia in ω̅ localia et ubi quid sit et quo tendat denotant.

Discr. script. 1. τὴν διὰ inseruit RSchneider, ⟨διὰ⟩ GFSchoemann | 5. μετέγραψαν τὸ Ab, μετεγράψαντο OSchneider | 17. ἕξει A et b in var. lect., ἔχει b in textu | οὐρανόθεν OSchneider, οὐρανόθι Ab | 18. συνήθως b, συνηθης A | 19. νεται litterae vocis παραλαμβανεται in ras. A[1] | 22. ἕξει pro ἔχει conicit GUhlig | 24. τὸ inseruit RSchneider | ἐκ τόπου Ab, ἀπὸ τόπου GFSchoemann | 25. ὅτι GFSchoemann, ὅτε Ab | ἃ inseruit RSchneider, ⟨Ὅσα δὲ⟩ GFSchoemann, post μάλιστα non interpunxit b | προθέσεως ἐσχημάτισται Ab, προθέσεων ἐσχηματίσθη GFSchoemann | post ἐσχημάτισται punctum posuit b, comma GFSchoemann | μάλιστα delevit GFSchoemann | 26. ταῖς προθέσεσιν] fol. 177 v. | 27. ἐν add. b in var. lect.

μένει Δίων, ἄνω ἀπέρχεται Ἀπολλώνιος· ἔξω μένει, ἔξω ἀπέρχεται (τὰ εἰς θεν τούτων ἐκ τόπου ἐστίν, ἔξωθεν παραγίνεται). — Ποία οὖν ἀλογία ἐν τῷ

καὶ εἴςω δόρπον ἐκόςμει (η 13);

(«χρῆν γάρ», φαςίν, «ἔνδον»·) προαποδεδειγμένου τοῦ ὅτι δύο τοπικὰς cχέcειc cημαίνει τὰ τοιαῦτα τῶν ἐπιρρημάτων. — ἐγώ γε μὴν ὑπολαμβάνω, ὡς μᾶλλον τὸ ἔνδον ἀλογώτερον καθέςτηκεν. οὐδὲ[ν] γὰρ ἄλλο τι τῶν εἰς δον ληγόντων ἐπιρρημάτων τοπικόν ἐςτι, ποιότητος δὲ παραςτατικόν. ἀπειρότερον οὖν ἀναςτρέφοντες ⟨περὶ⟩ τῶν τοιούτων cημαςιῶν καὶ ἐπιμέμφονται τὸ

εἴςω δόρπον ἐκόςμει (η 13).

Ὡς προείπομεν, τὰ εἰς δον λήγοντα ἐπιρρήματα ἀεὶ ποιότητός ἐςτι παραςτατικά, ἀγεληδόν, ταυρηδόν, ςκηνηδόν, βοτρυδόν, ἰλαδόν, ςυνωχαδόν· ἦν οὖν τὸ ἔνδον κατὰ τοῦτο ςημειούμενον. — ἀλλὰ καὶ ὀξύνεται ἅπαντα, καθὼς κατείλεκται· καὶ ἕνεκα τούτου ςημειωτέον πάλιν τὸ ἔνδον. — τὸ γὰρ ἔμπεδον οὐκ ἔχεται τῆς παραγωγῆς τῆς διὰ τοῦ δον, ἀλλ' ἔςτιν ἐν ςυ⟨νε⟩μπτώςει ὀνοματικὴ ςύνταξις ἐπιρρή- 610 ματος παραλαμβανομένη, καθὼς ἔχει τὸ καλόν,

οὐ μὲν καλὸν ἀτέμβειν (υ 294),

καὶ τὸ

νέον ἐρχομενάων (Β 88),

καὶ ἄλλα πάμπολλα, ςυνυπάρχοντα οὐδετέρᾳ θέςει ὀνομάτων. ἦν γὰρ παρὰ τὸ ὄνομα τὸ πέδον ἀρςενικὸν ὄνομα ἀποτελούμενον ἔμπεδος, καὶ ἔχον τρίτην ἀπὸ τέλους τὴν ὀξεῖαν, καθὸ καὶ τοῖς πλείςτοις τῶν τοιούτων ὀνομάτων παρεπόμενόν ἐςτι, τέκνον εὔτεκνος, βλέφαρον καλλιβλέφαρος, ξύλον ἄξυλος· ἦν οὖν καὶ παρὰ τὸ πέδον τὸ ἔμπεδος, ἀφ' οὗ οὐδέτερον τὸ ἔμπεδον, κατὰ ἐπιρρηματικὴν ςύνταξιν εἰλημμένον. — Ἔςτιν οὖν ὑπὲρ τῆς τάςεως τοῦ ἔνδον ἐκεῖνο φάναι, ὡς ἐςτί τινα ὑπεξαιρούμενον τῆς τάςεως, ὅτι ἃ μὲν ποιότητος, ὃ δὲ τόπου

Argvm. 4 Mirum igitur non est ἔςω esse etiam 'in interiore parte'; illud potius mirum, eam vim habere ἔνδον, quia cetera in δον qualitatem indicant. — 12 Adverbia in δον qualitatem significant et oxytona sunt. Non est notabile ἔμπεδον; est enim neutrum adiectivi, particeps constructionis adverbii. — 28 Notandum potius ἔνδον; sed accentus eius pluribus de causis defendi potest.

Discr. script. 2 θεν GDronke, θε Ab, θα GFSchoemann | 3. ἀλογία b in var. lect. OSchneider GFSchoemann, ἀπολογία A et b in textu | 7. οὐδὲ b in var. lect., οὐδὲν id. in textu cum A | 9. περὶ add. b in var. lect. | 11—12. ἐκόςμει. ὡς προείπομεν, τὰ b; ἐκόςμει, ὡς προείπομεν. Τὰ GFSchoemann; in A spatium est post εκοςμει | 13. ειλαδον pro ἰλαδόν A | 17 ςυνεμπτώςει RSchneider, ςυμπτώςει Ab | 17—18. ἐπιρρήματος scripsit RSchneider secutus A, in quo est επιρρηματ̄, ἐπιρρημάτων L, ἐπιρρηματικὴ b | 18. παραλαμβανομένη RSkrzeczka, παραλαμβανομεν A[1], extremam ον syllabam addidit A[2] in rasura, παραλαμβανόμενον b | καθὼς b in var. lect., καὶ ὡς id. in textu cum A | 19. μὲν Ab, γὰρ Homerus vulg. | 21. νεων A | 28—29. ὡς ἐςτί τινα ἐξαιρούμενον RSchneider, ὡς ἔςτι τινὰ ἐξαιρούμενα Ab | 29. ὅτι ἃ μὲν] fol. 178 r.

δηλωτικόν ἐστι· καὶ ἃ μὲν ὑπὲρ δύο συλλαβάς, ὃ δὲ δισύλλαβον· καὶ ὅτι μόνον ἀπὸ προθέσεως ἐσχημάτισται. ἦν δὲ καὶ τὸ πέριξ ἀλόγως μὲν βαρυνόμενον, ἔχον δὲ πάλιν ἀπολογίαν τὴν ἐγκειμένην πρόθεσιν. — Τινὲς μέντοι τὸ ἐντελέστερον ἐξεδέξαντο τὸ ἔνδοι εἶναι, ὅπερ ἐν χρήσει Συρακουσίοις καὶ Αἰολεῦσίν ἐστι, γενόμενον ἐκ συγκοπῆς τοῦ ἐνδόθι, καθότι καὶ παρέκειτο τῷ ἀγχόθι τὸ ἄγχι, τῷ ὑψόθι τὸ ὕψι· ἀφ' οὗ ἐκ μεταλήψεως τοῦ ῑ εἰς τὸ ν̄ ἔνδον ἐγεγόνει, καθότι καὶ τῷ ἀεί παράκειται τὸ αἰέν· ἔνθεν ἐβαρύνετο εὐλόγως, καὶ τοπικὸν ἦν. Οὐκ ἀγνοῶ μέντοι γε, ὅτι τινὲς τὸ

ἔνδοι πειράζουσα

περιέσπασαν τῷ λόγῳ τῶν εἰς οι̅ ληγόντων ἐπιρρημάτων, ὅπερ, ὡς προείρηται, ἐχόμενον τοῦ πάθους ἀναγκαίως βαρύνεται. τῇδε γὰρ ἔχει καὶ τὸ ἐπίρρημα παρ' Αἰολεῦσι τὸ μέσοι,

γαίας καὶ νιφόεντος ὠράνω μέσοι (Alcaei fr. 17 Bergk[3])·

τῇδε ἔχει καὶ ἀπὸ τοῦ τηλόθι τὸ τῆλοι.

611 Ἔτι τὰ προκείμενα τῶν εἰς δον̅ ληγόντων, ἀπὸ ὀνόματος εἰς ἐπιρρήματα παρηγμένα, ἢ τῷ η̄ παρεδρεύεται ἢ τῷ ᾱ, σκηνηδόν, ἀγεληδόν, ταυρηδόν, πανθυμαδόν, κατωμαδόν, ⟨σπανιάκις ἀπὸ τῶν εἰς ξ̄ ληγόντων, ὡς τὸ κλιμακηδόν, δονακηδόν⟩. — ἐσημειοῦτο πρὸς Τρύφωνος (p. 53 Velsen) τὸ βοτρυδόν, ὅπερ διὰ τὴν φυλάσσουσαν γενικὴν τὸ ῡ ἐδύνατο [ἂν] ἔχειν ἀπολογίαν. — σχηματίζεται καὶ ἀπὸ μετοχῶν, ὡς τὸ ἐθελοντηδόν καὶ ἑκοντηδόν. [σπανιάκις ἀπὸ τῶν εἰς ξ̄ ληγόντων, ὡς τὸ κλιμακηδόν, δονακηδόν.] — καὶ ἔτι ἀπὸ ἐπιρρημάτων· τοῦ λάθρᾳ τὸ λαθρηδόν, χωρὶς εἰ μὴ ὀνόματι τῷ λαθραῖος παράκειται, ὥστε τὸ ἐντελὲς εἶναι λαθραιηδόν, καὶ ἐν συγκοπῇ λαθρηδόν. — καὶ παρὰ ῥῆμα σχηματίζεται, ἐκ μὲν βαρυτόνου τοῦ βρύχω τὸ βρυχηδόν· καὶ ἴσως τῷ κρυφῶ περισπωμένῳ παράκειται τὸ κρυφηδόν. τῷ πελάζω καὶ ἐμπελάζω παράκειται τὸ ἐμπελαδόν, τῷ σχέθω σχεδόν, τῷ κρίνω κριδόν καὶ διακριδόν, φαίνω φανδόν καὶ ἀναφανδόν, χαίνω χανδόν. μένει δὲ τὸ ν̄ ἐπὶ τοῦ χανδόν καὶ ἀναφανδόν, καθὸ καὶ ἐν παρακειμένῳ τῷ πέφαγκα καὶ κέχαγκα, οὐ μὴν ἐν τῷ κέκρικα ἢ κέκλικα, ἀφ' οὗ τὸ κριδόν καὶ διακριδόν, κλίνω κλιδόν καὶ παρακλιδόν. καὶ φαίνεται ὅτι τῷ μὲν

Argum. 4 Sunt, qui ἔνδοι primitivum putent, ex quo ἔνδον ortum sit, ut iure et locale et paroxytonon possit esse. — 16 In paenultima adverbiorum in δον̅ a nominibus derivatorum est aut η̄ aut ᾱ; notabile igitur βοτρυδόν. — 22. Haec adverbia etiam a participiis, ab adverbiis, — 25 a verbis derivantur.

Discr. script. 3. ἐγκειμένην b in var. lect., ἐκκειμένην A et b in textu | 6. τῷ ἀγχόθι b, το αγχοθι A | 8. ὃν pro ἦν conicit HLAhrens | 10. Πραξινόα pro πειράζουσα, ut sit Theocr. XV, 1, conicit HLAhrens | 15. τῆλοι GFSchoemann, τηλοῖ b, πηλοι A | 18—19. Haec ex l. 22—23 huc transposuit RSchneider | 20—21. ἐδύνατο ἔχειν ἀπολογίαν RSchneider, δύναιτο ἂν ἔχειν ἀπολογίαν RSkrzeczka, ἀδύνατον ἦν ἔχειν ἀναλογίαν KLehrs, ἐδύνατο ἂν ἔχειν ἀναλογίαν Ab | 27. περισπωμενως A | 28. σχέθω b, σχεθον A | 32. καὶ φαίνεται] fol. 178 v. | τῷ b, το A

βαίνω οὐ παράκειται τὸ ἐμβαδόν, μᾶλλον δὲ τῷ βῶ ἢ βίβημι, ὡς τῷ ἱςτῶ ἵςτημι τὸ ςταδόν.

Τὰ εἰς δην ἐν βαρείᾳ τάσει ἐςτί, καὶ παράγεται καὶ ἀπὸ ὀνομάτων, ὡς τῷ λόγος τὸ λογάδην παράκειται, μόνος μονάδην, τρόχος τροχάδην, σπόρος ςποράδην. ἢ παρὰ ῥῆμα, διὰ τοῦ δ καὶ τοῦ ςυγγενοῦς β παραλαμβανομένου ἐν πρώτῃ ςυζυγίᾳ, κλέπτω κλέβδην, κρύπτω κρύβδην, γράφω γράβδην, ὄπτω ὄβδην καὶ ἐςόβδην. καὶ παρὰ τοὺς εἰς ξω λήγοντας μέλλοντας διὰ τοῦ γδ, πλέξω πλέγδην, μίξω μίγδην, νύξω νύγδην. καὶ παρὰ τὴν πέμπτην δὲ ςυζυγίαν, αἴρω ἄρδην, φύρω φύρδην. καὶ παρὰ τὸ ςύω δὲ τὸ ςύδην· ὅπερ ἐςχημάτιςτο, ἐκ μεταθέςεως τοῦ ε εἰς τὸ ῡ, παρὰ τὸ ςέω, ἀφ' οὗ καὶ τὸ ςόος, καθότι καὶ τῷ ῥέω τὸ 612 ῥύω παράκειται, ἀφ' οὗ καὶ τὸ ῥύβδην καὶ ὁλόκληρον εἰς ον λῆγον ῥυδόν· καὶ παρὰ τὸ χύω τὸ χύδην. ςεςημείωται τὸ βύζην, καὶ διὰ τὴν ἔκταςιν τοῦ ῡ, καὶ διὰ τὴν μονὴν τοῦ ζ. καὶ παρὰ ῥῆμα δὲ τὸ ῥῶ, ἀφ' οὗ τὸ ῥητόν καὶ ἄρρητον, παράκειται τὸ ῥήδην, καθὸ καὶ τῷ τμήγω τὸ τμήδην. φαίνεται ὅτι καὶ τῷ ἥδω τὸ ἥδην παράκειται καὶ ἅδην. καὶ παρὰ τὰ εἰς μι λήγοντα ἔςτιν εὑρέςθαι, βίβημι βάδην, ἵημι ἀέδην καὶ ἀνέδην. ἔδει οὖν καὶ παρὰ τὸ πρίημι τὸ πριάδην ἐπιρρηματικῆς ἐχόμενον ςυντάξεως.

Ὅτι πρωτότυπόν ἐςτι τῶν εἰς ως ληγόντων τὸ ἕως, δῆλον, οὐ μὴν τὸ ἰςοδυναμοῦν εἰςὅ, καθὸ καὶ ἐν τόνῳ καὶ ἐν πνεύματι ἐπιςτάςεως ἐδέετο. ἐν πνεύματι μὲν οὖν, ὡς ἀδύνατόν ἐςτι τὴν ἐν φωνήεντι δαςεῖαν ἐπὶ τέλους εὑρέςθαι· ἐν τόνῳ δέ, καθὸ οὐδεμία λέξις εἰς ο λήγουςα τόνου ἔχεται τοῦ ὀξέος, καὶ ἕνεκά γε τούτου τὸ αὐτὸ ἐςημειοῦτο, περὶ οὗ εἴρηται περὶ τῶν ἀντωνυμιῶν. ὅτι μὲν οὖν καὶ ἄλλα ἐςημειοῦτο ἕνεκα τοῦ ἐπὶ τέλους πνεύματος, εἴρηται καὶ ἐν τῷ περὶ δαςείας καὶ ψιλῆς . . . . .

Argum. 3. Adverbia in δην barytona sunt; derivantur et a nominibus, et a verbis. — 20 Εἰςὅ notabile et propter aspirationem, et propter accentum.

Testim. 18 Et. M. 133, 17 *ἀπριάτην· πρίημι, τὸ καθητικὸν πρίαμαι, τὸ ἐπίρρημα ἀπριάδην καὶ τροπῇ τοῦ δ εἰς τ ἀπριάτην*; cf. ib. 132, 46. — Schol. BL ad A 99 *ἀπριάτην· ἐπιρρηματικῶς αὐτὸ ἀκούει Ἀπολλώνιος, ἵν' ᾖ τὸ χωρὶς πριασμοῦ ἀντὶ τοῦ ἀπριάδην.* Cf. Apoll. Soph. 39, 25. Ep. Cr. 23, 16. Et. M. 132, 46. 137, 17. Schol. ξ 317. — 27 Schol. BL ad Γ 409 *εἰσόκε· ἐκ τῆς εἰς προθέσεως. καὶ τοῦ ὅ ἄρθρου ἀναφορικοῦ καὶ τοῦ κέν συνδέσμου. ἔστι δὲ ἐπίρρημα χρόνου δηλωτικόν. ἀποροῦσι δέ τινες εἰ τὸ εἰσόκεν ἐν συνθέσει ἐστὶν ἢ ἐν παραθέσει· καὶ λέγομεν ὅτι ἐν παραθέσει. κανὼν γάρ ἐστιν ὁ λέγων ὅτι τὸ εἰς ε λήγοντα χρονικὰ ἐπιρρήματα θέλουσιν ἔχειν πρὸ τοῦ ε τὸ τ, ἐνίοτε ἑκάστοτε ἄλλοτε, καὶ ὅτι οὐδέποτε κατ' ἀρχὰς ὁ σύνδεσμος συντίθεται κτλ.*

Discr. script. 4. τῷ λόγος b, το λογος A | 11. ςόος ChALobeck, ςοον Ab | 12. ῥύβδην GUhlig, ῥυτόν Ab | 16. ηδειν pro ἥδην A | 18. πρίημι ChALobeck, πρίαμι Ab | πριάδην Ab in textu, ἀπριάδην b in var. lect. | 21. εἰςὅ KLehrs, εἰςό b | 24. οξεως A | 25. περι A, ⟨ἐν τῷ⟩ περὶ b | 26. ἐςημεινοῦτο Ab, ςημειωτέον GUhlig | 27. in A post ψιλης hoc signum est ※

. . . . . οὐ μὴν τὸ προκείμενον μόριον . . . . . «ὀφείλει καὶ περιcπᾶcθαι καὶ γράφεcθαι cὺν τῷ ῑ». — Ἀλλ' οὔτε περιcπᾶται, οὔτε cὺν τῷ ῑ γράφεται, μετάληψιν δὲ ἔχει εἰc δύο μέρη λόγου κατ' αἰτιολογικὴν ἔννοιαν. καὶ ἄπορόν γε, πότερον ἐπίρρημά ἐcτιν αἰτίαc παραcτατικόν, ἢ cύνδεcμοc αἰτιώδηc. ἡ cύνταξιc αἰτιολογική, ὡc εἰ καὶ ἐπ' ὀνόματοc καὶ τῆc διά προθέcεωc, λέγω δὲ ἐπ' ὀνόματοc τοῦ κατ' αἰτιατικὴν νοουμένου, ἐφ' ἧc καὶ μάλιcτα ἡ αἰτιολογικὴ φράcιc γίνεται. τὸ γὰρ φάναι δι' Ἀριcτάρχου ἢ δι' Ἀλεξανδρείαc δῆλον ὡc cημαίνει ἐπὶ μὲν τῶν ἐμψύχων τὸ γινώcκοντοc Ἀριcτάρχου, τὸ δὲ ἐπὶ τῶν τοπικῶν τὴν δι' αὐτῶν γινομένην πορείαν, δι' Ἀλεξανδρείαc,
613 διὰ τοῦ Ἑλληcπόντου· τὸ γὰρ ἐπ' αἰτιατικῆc παραλαμβανόμενον αἰτιολογικὴν ὑπαγορεύει φράcιν, δι' Ἀλέξανδρον, δι' Ἀρίcταρχον, διὰ τὴν πόλιν, διὰ τὴν Λέcβον, διὰ τὴν Ἴλιον. ὅθεν δοκεῖ μοι καὶ τόδε τὸ μόριον ταύτηc ἔχεcθαι τῆc cυντάξεωc. ὡc μὲν οὖν οὐ δύναται δοτικῆc εἶναι πτώcεωc, προφανὲc ἐκ τοῦ cημαινομένου (δοτικὴ γὰρ οὐδέποτε αἰτιολογικὴν φράcιν παρίcτηcι), καθὼc ἔφαμεν, μαρτυρούcηc καὶ τῆc παραδόcεωc καὶ κατὰ τάcιν καὶ κατὰ γραφήν. ὅτι δὲ οὐδὲ αἰτιολογικὸc cύνδεcμοc, προὖπτον. οὐ γὰρ δή γε ἀντιμεταλήψειc εἰcὶν ἐν αὐτοῖc τοῖc αἰτιολογικοῖc cυνδέcμοιc, λέγω τῷ ὅτι ἢ γάρ ἢ ἕνεκα ἤ τινι τῶν τοιούτων. — Ῥητέον οὖν ὡc ἐθιμώτερον οἱ ποιηταὶ ἐλλείπουcι προθέcεcιν, ὡc ἐπὶ τοῦ

ἴθυcε μάχη πεδίοιο (Ζ 2),
ἀλλ' ὑμεῖc ἔρχεcθε (Ι 649),
πικρὰc ὠδῖναc ἔχουcαι (Λ 271),

καὶ

τίcιc ἔρχεται Ἀτρείδαο (α 40)

καὶ ἐπί γε μάλιcτα τοῦ προκειμένου μορίου. οὐ γὰρ ἂν ἄλλωc αἰτιο-

---

Argum. 1 Τώ voculae neque circumflexus imponitur neque ῑ subscribitur. — 15 Dativus esse non potest; — 17 neque coniunctio causalis. — 27 Est igitur accusativus τό productus in τώ, διά praepositione subaudita.

Testim. 1. Et. M. 773, 19 *Τοῦτο* (scil. *τὸ τώ*) *δὲ ὁ μὲν Ἀπολλώνιος ὀξύνει, ὁ δὲ Ἡρωδιανὸς περισπᾷ, λέγων ὅτι οὕτως ἔχει ἡ παράδοσις.* Cf. Et. Flor. apud Miller. Mélanges p. 289. — 20 Et. M. 21 *Γέγονε δὲ οὕτως. Πολλαὶ λέξεις ἐλλείπονται προθέσεων· οἷον 'τρέμω σε' ἀντὶ τοῦ 'διὰ σέ'· 'πικρὰς ὠδῖνας ἔχουσαι' ἀντὶ τοῦ 'ἐπέχουσαι'. Καὶ πάλιν, πολλαί εἰσι προθέσεις ἐλλείπουσαι ῥήματος, ὡς τὸ 'ἀλλ' ἄνα', καὶ 'ἔνι τοι φρένες'. ἔστιν οὖν διὰ τό. καὶ κατ' ἔλλειψιν τῆς προθέσεως τό, καὶ κατ' ἔκτασιν τῷ* (*τώ* scr. RSchneider).

Discr. script. 1. KLehrs et GFSchoemann a verbis οὐ μὴν incipere disputationem de τώ perspexerunt, GUhlig haec οὐ μὴν τὸ προκείμενον μόριον ⟨ἐν τούτοιc ἐcτίν⟩ eis, quae antea de εἰcὦ proferuntur, tribuit; inter μόριον et ὀφείλει lacunam statuerunt GUhlig et RSchneider | 4. καὶ ἄπορόν γε] fol. 179r. | 4—5. αιτιαc παραcτατικον A[1] supra lin. | 12. ἀπαγορευει A, υ supra scripsit A[1] | 19. ἢ γάρ b, ἡ γαρ A | 26. ἔρχεται Ab, ἔccεται Homerus

λογικὴν φράσιν ὑπέφαινεν, εἰ μὴ ἔλιπε τῇ διά, ἀεὶ cημαινούcῃ καὶ αἰτιολογικὴν cύνταξιν, ὡc ἔφαμεν, ἐπ' αἰτιατικῆc πτώcεωc. — Ἀλλ' ἐκεῖνό τίc φηcι· «ποῦ οὖν ἡ αἰτιολογικὴ πτῶcιc»; Πρὸc ὃν φαίημεν, ὡc ἀνεπέκτατόc ἐcτιν ἐν τῷ

τὸ καὶ οὔ τι πολὺν χρόνον (Μ 9),

ὅθεν δοκεῖ καὶ τὰ τῆc τάcεωc cυμμεμενηκέναι κατ' ὀξεῖαν τάcιν, καὶ τὰ τῆc γραφῆc. τὸ λεῖπον οὖν ἡ μετάληψιc ἀπέλαβε, λέγω τὴν διά πρόθεcιν. ἀεὶ γὰρ τὰ μεταλαμβανόμενα πρὸc ποιητῶν ἀνάγεται εἰc cαφήνειαν καὶ cυνήθη προφοράν. καὶ γὰρ μεταλαμβανόμενον τὸ

ἴθυcε μάχη πεδίοιο (Ζ 2)

ἀπολαμβάνει τὴν διά, καὶ τὸ λεῖπον τῆc προθέcεωc, ῥῆμα λέγω

ἀλλ' ἄνα εἰ μέμονάc γε (Ι 247) 614

εἰc ἐντελῆ προφορὰν τοῦ ἀνάcτηθι. Οὐκ ἀήθωc δὲ καὶ τὸ ὑποτακτικὸν πάντωc ἐπιζητήcει τὴν διά, οὐ δυνάμενον ἐν ἀρχῇ παραλαμβάνεcθαι, τό γε μὴν προτακτικόν, ἠθιcμένον κατ' ἀρχὰc λόγων παραλαμβάνεcθαι, οὐκ ἀήθη ἔcχε τὴν κατ' ἀρχὰc θέcιν.

Εἴπερ τὸ ἄντικρυc βαρύνεται, τί δή ποτε οὐχὶ καὶ τὸ κατ' ἀποβολὴν τοῦ c̄, καθὸ καὶ ἐπ' ἄλλων ἔcτιν ἐπινοῆcαι, πολλάκι, ἑπτάκι, τουτάκι; Ἢ καθὸ τὰ εἰc ῡ λήγοντα ἐπιρρήματα ἐθέλει ὀξύνεcθαι, ὡc ἔχει τὸ μεταξύ καὶ τὸ εὐθύ; (τὸ γὰρ ἔϋ ἴcωc ἀπὸ διαιρέcεώc ἐcτι τοῦ εὖ, ἢ καὶ τάχα παράλογον ἔχει τὴν τάcιν, ὡc δεδείξεται). — Ἔcτι καὶ τῇδε ἀποφήναcθαι, ὡc μᾶλλον κατώρθωτο τὸ ἀντικρύ, τῆc ὑγιοῦc τάcεωc ὑπόμνηcιc καθεcτηκόc, τὸ δὲ ἄντικρυc ἠλόγηται βαρυνόμενον, εἴγε τὰ τοιαῦτα τῶν ἐπιρρημάτων ὀξύνεται, ἰθύc, ἐγγύc· καὶ ἕνεκα τούτου παράλογον τὸ ἄντικρυc.

Τοῖc εἰc υc̄ λήγουcιν ὀξυτόνοιc παράκειται εἰc ῡ λήγοντα, ὁμόφωνα οὐδετέροιc, ἐπιρρήματα, ὡc τὸ

εὐρὺ ῥέει

παρὰ τὸ εὐρύc, ὡc τὸ ταχὺ ἦλθεν παρὰ τὸ ταχύc. καὶ τῷ οὖν ἐΰc ὤφειλε παρακεῖcθαι ὀξύτονον τὸ ἐΰ, ὅπερ cυναιρεθὲν ἀναγκαίωc περιεcπάcθη διὰ τὴν ἐν αὐτῷ δίφθογγον· προλήψει μέντοι τοῦ διῃρῆcθαι τὴν εῡ ἐβάρυναν τὸ ἐπίρρημα.

Argum. 17 Ἄντικρυc proparoxytonon esse, cum ἀντικρύ oxytonum sit, notabile est. — 26 Una cum (adiectivis) oxytonis in υc̄ exstant adverbia eiusdem stirpis in ῡ, quae cum neutris conveniunt. Quare ἐΰ oxytonum esse debebat; sed ex εὖ distractum esse sibi persuaserunt.

Testim. 21 Schol. V ad O 138 *Ἀπολλώνιός φησιν ἐν τῷ περὶ ἐπιρρημάτων* (?) *ἠΰς καὶ γενικὴ ἠέος καὶ ὑπερθέσει τοῦ ε̄ ἐῆος.*

Discr. script. 2. αἰτιολογικὴν cύνταξιν GDronke, αἰτιολογικὸν cύνδεcμον A b | 9. cαφηνιαν A | 11. post διά comma posuit RSchneider, om. b | 16. post θέcιν lacunam statuit GDronke | 17. Εἴπερ τὸ] fol. 179 v. | 20. εὐθύ ChALobeck | post εὐθύ interrogandi signum pro puncto posuit RSchneider | 25. post ἄντικρυc intercidisse haec παράλογον δὲ ἴcωc καὶ τὸ ἔϋ censet KLehrs | 26. ὀξυτόνοιc ⟨ὀνόμαcι⟩? RSchneider | 29. ωc το A, ὡc τὰ b | 30. ἐΰ b, ῡ A | 32. εῡ b, ῡ A

* * *

[Τὰ τοπικὰ τῶν ἐπιρρημάτων τρεῖς ἔχει διαστάσεις, τὴν ἐν τόπῳ, τὴν εἰς τόπον, τὴν ἐκ τόπου. καὶ δῆλον ὅτι ἀρκτικώτερά ἐστι τὰ ἐν τόπῳ· τὰ γὰρ ἐκ τόπου πολὺ πρότερον ὁμολογεῖ τὸ ἐν τόπῳ εἶναι, καὶ ἔτι τὸ εἰς τόπον τὸ ἐκ τόπου τὴν μετάβασιν ποιεῖσθαι. ἤδη δὲ καὶ διὰ τῶν φωνῶν σαφὲς τοῦτο γενήσεται. τὸ γὰρ ποῦ σημαίνει τὸ ἐν τόπῳ· ἀφ' οὗ γίνεται τοπικὸν εἰς τόπον παραγωγὸν πόσε καὶ ἔτι τὸ
615 πόθι, καὶ ἐκ τόπου τὸ πόθεν. παρά τε τὸ ὕψος ὑψοῦ γίνεται, ἀφ' οὗ τὸ ὑψόθεν καὶ ὑψόθι.

Ὃν τρόπον ἐν τῷ παρεπομένῳ γένει τοῖς ὀνόμασίν ἐστι μοναδικὰ κατὰ ἀρρενικὴν προφοράν, καὶ ἔτι κατὰ θηλυκὴν καὶ οὐδετέραν, μονογενῆ καλούμενα, καὶ ὡς ἔστι τινὰ τριγενῆ, ἐν ἑκάστῃ φωνῇ λεγόμενα, καλός καλή καλόν, ἐπικοινωνοῦντά τε τῷ ἀρρενικῷ γένει καὶ θηλυκῷ, ὁ ψευδής καὶ ἡ ψευδής καὶ τὸ ψευδές, ἔνιά τε ἐν δυσὶ γένεσι νοεῖται [γὰρ] ἀρσενικὰ καὶ θηλυκά, ὡς ἵππος καὶ τὰ παραπλήσια, τοῦτον τὸν τρόπον ἔστιν εὑρέσθαι καὶ τὴν τῶν τοπικῶν ἐπιρρημάτων σχέσιν ἢ μόνον μοναδικὴν οὖσαν, ὥστε μὴ καὶ ἐξ ἀκολουθίας ἐγγίνεσθαι τὰς ὑπολοίπους σχέσεις τῶν τόπων, ὥσπερ ἐπὶ τοῦ πῇ ἐπιρρήματος καὶ ἄλλων ὧν παρεθέμεθα, ἢ ἐξ ἀκολούθου προφορᾶς τὴν τρισσὴν διάστασιν ποιεῖσθαι ὥσπερ τὰ τριγενῆ, ὡς παρὰ τὴν οἴκου ἀποτελεῖται τὸ οἴκοθι οἴκοθεν οἴκαδε, καὶ τοῦ ἐπιρρήματος κατὰ τὸ δέον τὴν ἀκόλουθον φωνὴν ἀπενεγκαμένου. ἔστιν ἃ καὶ ἐπικοινωνεῖ, κατὰ τὸν αὐτὸν χαρακτῆρα σημασίαν ἔχοντα τὴν εἰς τόπον καὶ ἐν τόπῳ, οὐ μὴν τὴν ἐκ τόπου, ὡς τὸ ἄνω καὶ τὰ τοιαῦτα, ὑπὲρ ὧν εἰρήσεται. σπάνια μήν ἐστι τὰ διὰ μιᾶς φωνῆς τὴν τρισσὴν τῶν τοπικῶν ἐπιδεχόμενα διάστασιν, ὡς ἔχει τὸ πρόσθεν καὶ εἴ τι τοιοῦτον. καὶ ἔστι τὸ προειρημένον τοπι-

---

Argvm. 1. De constructione adverbiorum. — Adverbia localia aut ubi quid sit aut quo vergat aut unde veniat indicant. Principalia sunt, quae, ubi quid sit, significant. — 14 Quaedam adverbia singularia sunt; aut trina ex eadem stirpe procreata illas notiones habent; — 21 quaedam una voce et ubi quid sit et quo tendat indicant; pauca sunt, quae una voce tres potestates comprehendant.

Discr. script. 1. Quae sequuntur, ad libros de constructione pertinere ostendit OSchneider | T vocis Τα ante lineam positum in A, ut incisum indicetur | 5. δια των A, ⟨ἐκ⟩ τῶν b | τὸ γὰρ ποῦ b, το γαρ το που A | 13. ἔνιά τε b, ενιοτε A | 14. γὰρ delevit RSkrzeczka | 15. ἢ GUhlig, οὐ A b RSkrzeczka GFSchoemann | 17. ἐπιρρήματος καὶ ἄλλων A b GUhlig RSkrzeczka, ἐπιρρήματος ⟨, ἀλλὰ τοῦ ποῦ ἐπιρρήματος⟩ καὶ ⟨τῶν⟩ ἄλλων GFSchoemann | 18. παρεθέμεθα, ἢ ἐξ ἀκολούθου προφορᾶς GUhlig, παρεθέμεθα ἡ ἐξ ἀκολούθου προφορᾶς A b, παρεθέμεθα ἡ ἐξ ἀκολούθου προφορὰ GFSchoemann, παρεθέμεθα, ⟨ἀλλὰ καὶ⟩ ἢ ἐξ ἀκολούθου προφορᾶς RSkrzeczka et, ut videtur, EEgger | τριςην A | 19. ποιεῖσθαι A b GUhlig, ποιεῖται GFSchoemann RSkrzeczka | ἀποτελεῖται] fol. 180 r. | inter το et οικοθι supra lin. οικοι A[2] | 21. ἀπενεγκαμένου b, επενεγκαμενου A | 23. μήν b, μεν A | 25. καὶ ἔστι RSchneider GUhlig, καὶ ἔτι A b

κὸν ἐπίρρημα cυνεκδρομῇ τῶν φωνῶν κατά τινα προςπάθειαν τῶν ἐν τόπῳ ἐπιρρημάτων καὶ εἰc τόπον (καθὸ τὸ τοιοῦτον καὶ ἐπ' ἄλλων μερῶν λόγου δείκνυται, ἐν πτώcεcι μὲν εὐθείαc πρὸc αἰτιατικὴν καὶ κλητικήν, γενικῆc τε πρὸc δοτικήν, καὶ διὰ τοῦτο πάμπολλοc ἡ cυμμονὴ τῶν πτώcεων καὶ cυνέμπτωcιc, δυϊκῶν ἁπάντοτε cυμπιπτόντων, οὐδετέρων τε κατ' εὐθεῖαν καὶ αἰτιατικὴν καὶ κλητικήν, καὶ ἐπὶ τῶν πλείcτων ἀρρενικῶν κατ' εὐθεῖαν καὶ κλητικήν, ὥcτε καὶ μέχρι cχημάτων ἀνάγεcθαι τὴν cυμπάθειαν, ὡc

ἠέλιοc ὃc πάντ' ἐφορᾷc (Γ 277) 616

καὶ τὰ τούτοιc ὅμοια, καὶ ἐπὶ πληθυντικῶν ἁπάντων· ἔν τε ῥήμαcιν ἐνεcτώτων πρὸc παρατατικοὺc καὶ παρακειμένων πρὸc ὑπερcυντελικούc. καὶ περιccὸν τὸ νῦν τούτων ἁπάντων παράθεcιν ποιεῖcθαι)· ἐντεῦθεν οὖν καὶ τὰ προκείμενα ἐπιρρήματα διὰ τὴν προκειμένην cυμπάθειαν cυντρέχει, καθ' ἕνα cχηματιcμὸν παραλαμβανόμενα, τῆc χρήcεωc ἔcθ' ὅτε καὶ τὴν ἐν αὐτοῖc διαcτολὴν διαcυγχυνούcηc. τὸ γὰρ ποῦ ἀπῆλθεν ἢ ποῦ μένει ἓν ἔμεινε κατὰ τὰc δύο διαcτάcειc τῶν τόπων, τοῦ ποιητικοῦ ἔθουc τὸ πλέον διαcτείλαντοc,

ποῦ νῦν δεῦρο κιὼν λίπεc Ἕκτορα; (Κ 406)

κατὰ τὴν ἐν τόπῳ cχέcιν, κατὰ δὲ τὴν εἰc τόπον

πῇ ἔβη Ἀνδρομάχη; (Ζ 377)

ἐπ' ἐκείνου τοῦ cημαινομένου . . . . .

πῇ δὴ χρήματα πολλὰ φέρω τάδε; πῇ δὲ καὶ αὐτόc; (ν 203)

ἀντὶ τοῦ εἰc τίνα τόπον.

Τὰ εἰc δε λήγοντα ἐπιρρήματα τὴν εἰc τόπον cχέcιν cημαίνει, οἴκαδε, ἄγραδε, ἅλαδε (καὶ ἐκ cυντάξεωc αἰτιατικῆc πτώcεωc καὶ τοῦ δέ cυνδέcμου ἀποτελεῖται, cχεδὸν μίμημα καθεcτὸc τῆc προκειμένηc παραγωγῆc, οἶκον δέ, Οὔλυμπον δέ). — διὰ ταύτην τὴν ἀφορμὴν καὶ τὸ ὧδε ἀπηνέγκατο τὴν εἰc τόπον cχέcιν, ὧδε ἦλθεν ὁ δεῖνα, καὶ τὴν ἐν τόπῳ κατὰ τὴν προκειμένην cυμπάθειαν τῶν εἰc τόπον καὶ ἐν τόπῳ, ὧδέ cε μένω. — Ἴcωc δόξει τὸ Ὁμηρικὸν ἔθοc ἀντικεῖcθαι τῇ προειρημένῃ cυντάξει τοῦ τοπικοῦ ἐπιρρήματοc, ὡc παρ' αὐτῷ οὐ τοπικόν ἐcτι, ποιότητοc δὲ παραcτατικόν, καὶ ἰcοδυναμοῦν τῷ οὕτωc· περὶ οὗ ἐξ ἐπικρίcεωc ἐντελῶc εἴπομεν ἐν τῷ περὶ ἐπιρρημάτων, ὡc εἴη μὲν ἡ δέουcα αὐτοῦ προφορὰ cημαίνουcα τὸ οὕτωc, ἡ δὲ προκειμένη πολλὴ παράθεcιc ἐπὶ τῶν τοπικῶν ἐπιρρημάτων ἀπηνέγκατο καὶ τὸ προκείμενον μόριον εἰc τὴν τοπικὴν cχέcιν. 617

Argvm. 13 Non nunquam in communi sermone confunduntur. — 24 Adverbia in δε quo aliquid tendat indicant. Voce ὧδε in sermone vulgari et 'quo' et 'ubi' interroganti respondemus. Apud Homerum nihil valet nisi οὕτωc.

Discr script. 1. cυνεκδρομῇ Ab, ⟨ἐν⟩ cυνδρομῇ GUhlig | 5. cυνεμπιπτόντων? RSchneider | ἠέλιόc θ' Homerus vulg. | 16. τῶν b, εκ των A | 21. exemplum intercidisse vidit RSkrzeczka | 27. διὰ ταύτην] fol. 180 v. | 29. τῶν (vel τῆc) εἰc RSkrzeczka, τὴν εἰc Ab | 31. καθὼc pro ὡc OSchneider | 32 τῷ b, το A | 35. τοπικῶν b, τωνπικων in marg. A², om. A¹

Ἤδη μέντοι ἔνια, ἅπερ καὶ σπανιώτατά ἐστιν, ἀνεδέξατο τὴν εἰς δε παραγωγὴν οὐκ οὖσαν τοπικήν, κοινὴν δὲ καὶ ἄλλων μερῶν λόγου, οὐδὲν πλέον σημαίνουσαν τοῦ ἀφ' οὗ παρήχθη, εἴγε τοῖς οὕτως ἐπεκτεταμένοις παρεπόμενόν ἐστιν ἐν ἀνταποδοτικῷ μορίῳ καταγίνεσθαι διὰ τοῦ τ, τοσόσδε, τοιόσδε, τηλικόσδε. οἷς ὅμοιον παρὰ τὸ ἡνίκα καὶ τηνίκα τὸ τηνικάδε, ἦμος τῆμος τημόσδε. — [πρόσκειται δὲ τὸ τοιοῦτον] χρὴ μέντοι νοεῖν, ὡς τὰ ἐπεκτεταμένα ἕξει τὴν ἀνταπόδοσιν τοῦ τ, οὐ μὴν τὰ ἀνταποδοθέντα τὴν ἐπέκτασιν ἔχει. ἰδοὺ γὰρ παρὰ τὸ ὄφρα καὶ τόφρα τὰ τῆς ἐπεκτάσεως οὐκ ἐγένετο· καὶ τὸ ἕως καὶ ἔτι τέως· ἴσως ὅτι καὶ ἐν ἄλλοις ἐλλιπῆ ἐστι τὰ τοιαῦτα σχήματα. παρείπετο γὰρ τὸ τοιοῦτον τοῖς ἐπεκτεταμένοις, καὶ ἐν πύσμασι καταγίνεσθαι· ἃ δὲ ἐλλιπῆ πυσματικῆς ἦν προφορᾶς. — καὶ ἐκ τῆς ἀναστροφῆς δὲ τοῦ λόγου πάλιν ἐστί τινα ἀντικείμενα, ὡς παρὰ τὸ ὥς τὸ ὧδε οὐκ ἀρξάμενον ἀπὸ τοῦ τ, καὶ παρὰ τὸ ἔνθα τὸ ἐνθάδε. ὅτι γὰρ οὐκ ἔστι τῆς τοπικῆς παραγωγῆς, σαφὲς ἐντεῦθεν. τὰ τοπικὰ παραχθέντα μετὰ τοῦ σημαινομένου καὶ τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, ἄγραδε, οἴκαδε· τοῦτο δὲ οὐχ οὕτως ἔχει. — τὰ τοπικὰ παραχθέντα ἀποβολῇ τοῦ δε οὐκ ἀπολιμπάνει λέξιν σημαίνουσάν τι, χωρὶς εἰ μὴ ἐκ παραγωγῆς μὲν μὴ εἴη, ἐκ δὲ συντάξεως τοῦ δέ συνδέσμου καὶ πτώσεως αἰτιατικῆς, ὡς τὸ Οὔλυμπον δέ καὶ τὰ ὅμοια. (καὶ διὰ τοῦτο ἀμφίβολον τὸ ἄλαδε. ὅπερ πάλιν τῷ ἐνθάδε οὐ παρακολουθεῖ). εἴπερ οὖν τὸ ἔνθα καταλιμπάνεται ὑποστελλομένου τοῦ δε, ἴδιον δ' ἐστὶ τοῦτο τῶν διὰ τοῦ δε ἐπεκτεταμένων, τὸ πάλιν ἀποβολῇ τοῦ δε τὸ αὐτὸ σημαίνειν, ὥς γε ἔχει τὸ τηνικάδε καὶ τηνίκα, τημόσδε καὶ τῆμος, ὧδε ὧ, ὃ δὴ Δωρικόν ἐστιν, ὧτε χερνῆτις γυνή (lyr. gr. III³ p. 1359 Bergk) καὶ ἐπὶ ὀνομάτων τοιόσδε τοῖος, τοσόσδε τόσος· τῆς προκειμένης παραγωγῆς
618 καὶ τὸ ἐνθάδε. εἴπερ οὖν ἴδιον τὸ τὴν πρὸ τέλους ὀξύνειν, βραχεῖαν οὖσαν, τῶν διὰ τοῦ δε παρηγμένων, τημόσδε, τηνικάδε, τοιοῦτον ἄρα καὶ τὸ ἐνθάδε. — πρόδηλον ὅτι καὶ τὸ ἐνθένδε τῆς αὐτῆς παρολκῆς ἐστιν· ὅπερ ὅλως οὐδὲ τὴν εἰς τόπον σχέσιν σημαίνει. ἔτι ὃν τρόπον διαφέρει τὰ τοιαῦτα, καθὸ ὃ μέν ἐστι παρηγμένον διὰ τοῦ δε, ὃ δὲ ἐν δυσὶ μέρεσι λόγου, τὸν ἴδιον ἔχον τόνον καὶ τὸν τοῦ δέ,

ὃ δὲ προσέειπεν ἄνακτα (ξ 36),

Argvm. 1 Quaedam ita in δε derivantur, ut nihil valeant aliud quam primitiva. — 13 In quibus est ὧδε et ἐνθάδε. — 29 Eiusdem generis est ἐνθένδε.

Discr. script. 4. ανταποδωτικω A | 6. Haec delevit RSkrzeczka προσκ vel προση A¹, cui adscripsit A² ειται supra lin. et δὲ το τοιουτον in marg. | 7. επεκτεταμμενα A | ανταποδωσιν A | 8. ανταποδωθεντα A | 11. επεκτεταμμενοις A | 13. ὧς RSchneider, ὡς b | 21. το ενθα b, τα ενταθε A | 22. δ'εστι A, δέ ἐστι b | 23. τεταμμενων] fol. 181 r. | 24. καὶ τηνίκα b, το τηνικα, το supra lin., A | 25. χερνιτης A, cf. p. 171, 21 | 27. το ante την supra lin. A¹ | 31. τὸ μὲν ὅδε conicit RSchneider pro vulgata ὃ μὲν | τὸ δὲ ὃ δέ conicit RSchneider pro ὃ δὲ

p. 618, 10 — 620, 25 b

τοῦτον τὸν τρόπον καὶ τὸ ἐνθάδε διοίcει τοῦ

ἔνθα δ' ἐνὶ Cκύλλη ναίει (μ 85)·

τὸ μὲν γὰρ παροξυνόμενόν ἐcτι, τὸ δὲ προπαροξυνόμενον ἐν παραθέcει τοῦ cυμπλεκτικοῦ cυνδέcμου,

ἔνθα δ' ἔναιεν
Αἴολοc Ἱπποτάδηc (κ 2).

Μόνωc τὰ διὰ τοῦ ζε τὴν εἰc τόπον cχέcιν cημαίνει, ἔραζε, θύραζε, Ἀφίδναζε, Θήβαζε, οὐκ ἀπιθάνωc, τοῦ ζ καὶ τοῦ δ ἰcοδυναμοῦντοc cχεδόν, κλύζω κλύδων, κνίζω κνίδη, ἕζω ἕδοc.

Τὰ εἰc ω λήγοντα ἐπιρρήματα, ἡνίκα μὲν ἀπὸ προθέcεωc παρῆκται, πάντωc ἐcτὶ τοπικά, ὡc τὸ ἄνω καὶ τὰ ὅμοια· ἡνίκα δὲ ἀπ' ὀνομάτων, τὴν τοῦ ὀνόματοc cχέcιν παραλαμβάνει ἐπιρρηματικῶc νοουμένην. παρὰ τὸ τείνειν ὁ τόνοc εἴρηται, ἧc ἔχεται πάλιν ἐννοίαc τὸ τόνῳ· ἐπίταcιν γὰρ ἐνεργήματοc cημαίνει. ὁμοίωc τὸ ἄνεωc cημαίνει τὸν ἄφωνον, λέγω ὀνοματικῶc, ἀφ' οὗ πάλιν ἐπίρρημα πίπτει, τῆc αὐτῆc ἐννοίαc ἐχόμενον τὸ ἄνεῳ καὶ τὸ ἀναύδ⟨ωc⟩. καὶ δῆλον ὅτι τὸ κύκλῳ οὐ διὰ τῆc παραγωγῆc τὴν εἰc τόπον cχέcιν cημαίνει, ἀλλὰ καθὸ καὶ τὸ κύκλοc κατηγορεῖ cχέcεωc τοπικῆc. ὁμοίωc καὶ τὸ πόρρω, Ἀττικώτερον ἐκταθέν, παρακείμενον τῷ πόροc, πάλιν τοπικῆc ἐννοίαc οὔcηc. — τά γε μὴν ἀπὸ προθέcεωc παραχθέντα πάντοτε τοπικὴν cχέcιν ἐπαγγέλλεται, ἴcωc 619 ὅτι καὶ αὐταὶ αἱ προθέcειc, μετὰ καὶ ἄλλων cημαινομένων, τοπικὰc cχέcειc παρεμφαίνουcιν, ἀναβαίνει, καταβαίνει, καὶ μάλιcτά γε ἐπὶ τῆc τῶν ῥημάτων cυνθέcεωc, ὅτε καὶ αὐτὰ τὴν ἐν τόπῳ κίνηcιν cημαίνει· ἐπὶ γὰρ τῶν πτωτικῶν καὶ ἄλλα πάμπολλα cημαίνει, κατὰ Κτηcιφῶντοc, διὰ Τρύφωνα, περὶ ἐμοῦ. ἔcτι δὴ τὰ ὑπόλοιπα ταῦτα, ἀνά ἄνω, κατά κάτω, πρόc πρόcω, ἔc ἔcω, ἔξ ἔξω. καὶ ἕκαcτον τῶν προκειμένων cημαίνει καὶ τὴν εἰc τόπον cχέcιν καὶ τὴν ἐν τόπῳ, ἄνω ἔρχομαι, ἄνω μένε·

ἄττα, πρόcω φέρε τόξα (φ 369)·

καὶ ἐπὶ τῶν ἄλλων τὸ αὐτό. πῶc οὖν ἄλογον καὶ τὸ

εἴcω δόρπον ἐκόcμει (η 13),

κειμένου τοῦ εἴcω ὁμοίωc τοῖc ἄλλοιc κατὰ τήνδε τὴν cχέcιν; καὶ τὴν ἐν τόπῳ καὶ τὴν εἰc τόπον,

---

Argum. 7 Adverbia in ζε hoc unum, quo aliquid tendat, indicant. — 10 Adverbia in ω, quae a nominibus cadunt, eandem habent vim atque primitiva. — 30 Non igitur notabile, etiam εἴcω, et ubi aliquid sit et quo tendat, declarare;

Discr. script. 8. απειθανωc A | 9. cχεδο A | κνιζων κνιδηc A | 14. ἐνεργήματοc b, idem scriptum erat in A, sed γ erasum est et ενερ deletum, ut supersit ρηματοc | ανεωιc A | 15. post πίπτει distinxit RSchneider | ενονοιαc pro ἐννοίαc A | 16. ἀναύδωc RSchneider, αναυδ A¹, cui οι additum in rasura ab A*, αναυδοι L, αναυδ . . b | 17. κυκλωc pro κύκλοc A | 18. εκταϋθεν A | 23. ρηματων A, idem coniecerat RSkrzeczka, ἐπιρρημάτων b | 24. καὶ ἄλλα] fol. 181 v. | 32. τήνδε τὴν Ab, τὴν διccὴν OSchneider

δι᾽ εὐπετείας τειχέων εἴςω μολεῖν (Eur. Phoen. 262 Kirchhoff). Ἀλλά φαςιν, ὡς ἐχρῆν φάναι ἔνδον. ὅπερ ἐκ τῶν ἐναντίων ἴςως ἄλογον, καθὸ πᾶν εἰς δον λῆγον ἐπίρρημα ποιότητός ἐςτι παρεμφατικόν, οὐ τόπου, βοτρυδόν, οἰακηδόν, ἀγεληδόν, δονακηδόν. πῶς οὖν οὐ γέλοιον τὸ μὲν ἔχον λόγον παραιτεῖςθαι, τὸ δὲ ἄλογον καὶ κατὰ φωνήν, ὅτι μὴ ὀξύνεται, καὶ κατὰ τὸ δηλούμενον, ὅτι μὴ τὸ αὐτὸ τοῖς ἅπαςι σημαίνει, ἀναλογώτερον εἰπεῖν; Ἔςτιν ὑπὲρ τῆς χρήςεως ἐκεῖνα παραθέςθαι, ὡς τὰ μὲν ἄλλα τῶν ἐπιρρημάτων, λέγω τὰ παρὰ τὰς προθέςεις ἐςχηματιςμένα, οὐκ ἔχοντα ἕτερον τὸ παρακείμενον, δηλοῦν τὴν ἐν τόπῳ σχέςιν, ἀνέμενε τὴν διςςὴν χρῆςιν τῶν τοπικῶν· τὸ δὲ εἴςω, ἔχον τὸ ἔνδον ἀντιπαρακείμενον, ἐδόκει ἀλόγως τίθεςθαι σημαῖνον τὴν τοῦ ἔνδον σχέςιν. ὅπερ παντὶ μέρει λόγου παρακολουθεῖ τὸ διελέγχεςθαι εἰς ἀκαταλληλότητα, ὅταν ἑτέρα τις χρῆςις ᾖ κατ᾽ ἰδίαν μόνον σημαςίαν. τὸ γράφει οὐκ ἄν ποτε ἐπὶ πρώτου προςώπου ἢ δευτέρου
620 τεθείη, ἐπεὶ ἀπομεμέριςται τὸ γράφω καὶ γράφεις εἰς τὰ πρόςωπα· τὸ γράφεις δὲ οὔτε ἐπὶ πρώτου οὔτε ἐπὶ τρίτου, καθὸ ἀνεμερίςθη τὰ τοιαῦτα. ⟨τά⟩ γε μὴν ἀπαρέμφατα, εἰς πρόςωπα οὐ μεριςθέντα ⟨οὐδ᾽⟩ εἰς ἀριθμούς, οὐκέτι ἀκατάλληλα παρὰ τὴν τούτων ἀνωμαλίαν ἐςτίν. ἔςτιν εἰς τὸ τοιοῦτον πάμπολλα παραθέςθαι. ἐξαιρέτως οὖν ἀναμεριςθὲν τὸ ἔνδον ἀναγκαίως διελέγχει τὴν διςςὴν χρῆςιν τοῦ εἴςω. — Ἀλλά φαμεν αὐτὸ ἠλογῆςθαι, ὅπερ εἶχεν ὑπεξαίρεςιν τοῦ μὴ ὅμοιον εἶναι τοῖς εἰς δον περατουμένοις, πρῶτον ὅτι διςύλλαβον, ἔπειτα μόνον ἀπὸ προθέςεως ἐςχημάτιςται, τῶν ἄλλων οὐ τῇδε ἐχόντων, ἀλλ᾽ ἐξ ὀνόματος ἢ ῥήματος παρηγμένων. πρόκειται δὲ ὅτι αἱ προθέςεις, παραγόμεναι εἰς ἐπιρρηματικὴν προφοράν, τόπου σχέςιν ἐπαγγέλλονται. εἰ οὖν μόνον ἀπὸ προθέςεως, μόνον καὶ τοπικὴν σχέςιν σημαίνει, οὐκ ὀξυνόμενον, καθὸ τὸ πλέον πάλιν αἱ προθέςεις ἐν βαρείᾳ τάςει ἔχουςι τὰ ἐπιρρήματα παραγόμενα.

Ὁμοίως δὲ καὶ τὰ διὰ τοῦ ςε ἐκφερόμενα τὴν αὐτὴν σχέςιν τοῖς εἰς δε λήγουςι σημαίνει, τὸν αὐτὸν τόνον ἀναδεχόμενα καὶ παράθεςιν τὴν τῶν εἰς θεν, ἄλλοθεν ἄλλοςε, πόθεν πόςε, πάντοθεν πάντοςε· οὐ τοῦτό μου ἀποφαινομένου, ὡς πάντως τὰ εἰς θεν λήγοντα ἀντιπαράκειται τοῖς εἰς ςε, ἀλλ᾽ ὡς τὰ εἰς ςε τοῖς εἰς θεν παράκειται, ὧν καὶ τὴν ταυτότητα ⟨τῆς τάςεως⟩ ἀναδέχονται. — οἷς πάλιν σύνεςτιν ἡ διὰ τοῦ θι παραγωγή, τὴν ἐν τόπῳ σχέςιν ἁπάντοτε δηλοῦςα, πάλιν τῆς

Argvm. 2 ἔνδον locale potius notandum, quia adverbia in δον qualitatem significare solent. — 20 Quamquam ἔνδον et notione et accentu a ceteris differre non est mirum, cum etiam aliis rebus diversum sit. — 29 Adverbiis in ςε, quae quo quis tendat denotant, praesto sunt cognata in θεν et in θι.

Discr. script. 13. ᾖ κατ᾽ ἰδίαν Ab, ᾖ ⟨μὴ⟩ κατ᾽ ἰδίαν vel παρ᾽ ἰδίαν GFSchoemann | 17. τά γε b, γε A | οὐδ᾽ add. b in var. lect. | 23. οὐ τῇδε] fol. 182 r. | 29. ςε OSchneider, ς Ab | 30. δε b, δεν A | 34. τῆς τάςεως vel τοῦ τόνου inseruit GFSchoemann

αὐτῆϲ τάϲεωϲ ϲυνούϲηϲ, γραφῆϲ τε τῆϲ διὰ τοῦ $\bar{θ}$, εἰ ϲυνείη κατὰ τὸ πλέον καὶ ἡ διὰ τοῦ $\bar{ο}$ γραφὴ παρεδρεύουϲα· εἰ δὲ μή γε ἡ διὰ τοῦ $\overline{οϲ}$ γραφὴ ἐγγίνεται, ὡϲ ἔχει τὰ τοιαῦτα, οὐκ ἐν μονῇ μὲν τοῦ ⟨$\bar{θ}$⟩ Ἀθήνη Ἀθήνηθεν Ἀθήνηϲιν, Θήβη Θήβηθεν Θήβηϲι, ϲυνόντοϲ δὲ τοῦ $\bar{ο}$ οὐρανόθεν οὐρανόθι, Ἀβυδόθεν Ἀβυδόθι, οἴκοθεν οἴκοθι. — πρόϲκειται δὲ κατὰ τὸ πλέον διὰ τὸ κεῖθεν καὶ κεῖθι, ὅπερ ἴϲωϲ τοῦ ἐκεινόθι δύναται ϲυγκοπὴ εἶναι· ἀλλὰ καὶ πάλιν διὰ τὸ ἐγγύθεν καὶ ἐγγύθι. — 621 καὶ ϲαφὲϲ ὅτι δεόντωϲ ἐν τοῖϲ πλείϲτοιϲ ἡ τοιαύτη γίνεται ἀπαράδεκτοϲ γραφή, λέγω τὴν

οὐρανόθι πρό (Γ 3)·

οὐ γὰρ νῦν τὴν ἐν τόπῳ ϲχέϲιν ὁ λόγοϲ ἀπαιτεῖ, ἀλλὰ τὴν ἐν γενικῇ ϲύνταξιν, πρὸ οὐρανοῦ, εἴγε οὐκ ἐν οὐρανῷ ἡ πτῆϲιϲ ἦν. ⟨χρ⟩ῆν οὖν οὐρανόφιν ἢ οὐρανόθεν, οὐ τοῦτό μου ἀποφαινομένου, ὡϲ τὰ διὰ τοῦ $\overline{θεν}$ ἐκφερόμενα τὴν ἐκ τόπου ϲχέϲιν ϲημαίνει, ἢ ἐν γενικῇ θέλει παραλαμβάνεϲθαι, ἢ καθόλου ὅτι ἐϲτὶν ἐν τῇ ϲυντάξει ἐπίρρημα· δεδείξεται γὰρ ⟨μὴ⟩ τὴν ἐκ τόπου ϲχέϲιν δηλοῦν, τὸ ⟨δὲ⟩ αὐτὸ τοῖϲ ἀφ' ὧν ἐϲχηματίϲθη. — Τά γε μὴν εἰϲ $\overline{φι}$ λήγοντα αὐτὸ μόνον παραγωγῆϲ δόξαν ἔϲχεν ἐπιρρηματικῆϲ, οὐ μὴν ἐϲτὶν ἐπιρρήματα τῇ φύϲει, καθάπερ τοὐναντίον ὀνόματα πολλάκιϲ τῇ φύϲει ὄντα, ϲύνταξιν ἐπιρρηματικὴν ἀναδεξάμενα, λέγεται ἐπιρρήματα. ἔχει δὲ τὰ τοῦ λόγου οὕτωϲ. πᾶϲα παραγωγὴ ἐπιρρηματική, τοπικὴν ϲχέϲιν ἀναδεξαμένη, μιᾷ ὑπακούει πτώϲει κατὰ τὴν διάλυϲιν, οἴκοθι ἐν οἴκῳ, οἴκοθεν ἐξ οἴκου, οἴκαδε εἰϲ οἶκον. χρὴ οὖν καὶ τὰ παρόντα τοῦ λόγου ἔχεϲθαι. — γενικὴ δέ ἐϲτι τὸ παϲϲαλόφι, καὶ δοτικὴ

ὡϲ φρήτρη φρήτρηφιν (Β 363),

ἢ αἰτιατική, ὡϲ

ἐπὶ δεξιόφιν (Ν 308).

καὶ εἰ τοῦτο, δοθήϲεται ὡϲ τὸ ἀναπεμπόμενον ἐν πτώϲεϲιν ὀνόματοϲ μᾶλλον ϲύνταξιν ἀναδέξεται ἤπερ ἐπιρρήματοϲ, ὥϲτε καὶ κλινομένων τῶν πτώϲεων τὴν παραγωγὴν γίνεϲθαι. ὅπερ οὐκ ἴδιον ἐπιρρημάτων· οὐδὲ γὰρ τὸ τοιόϲδε καὶ τοϲόϲδε, τὸ τοῦ ἐπιρρήματοϲ ἀναδεξάμενα κατὰ τὸ τέλοϲ, ἐπιρρήματα ἐκαλέϲαμεν διὰ τὸ ϲυνημμένον τῆϲ πτώϲεωϲ καὶ διὰ τὸ αὐτὸ δηλούμενον. — ἔϲτι δὲ καὶ ἐκ παραθέϲεωϲ προθετικῆϲ

Argvm. 10 Iure οὐρανόθι πρό reiciunt. — 17 Quae per $\overline{φι}$ suffixum facta sunt, videntur illa quidem adverbia esse, sed non sunt; — 23 nam aut genetivi, aut dativi, — 26 aut accusativi vim habent.

Discr. script. 1. ϲυνειην A | 3. $\bar{θ}$ add. b | 4. Ἀθήνη b, αθηνα A | 12. χρῆν b, ην A | 16. μὴ inseruit GFSchoemann | δηλοῦν, τὸ δὲ GFSchoemann, δηλοῦν τὸ Ab, δηλοῦν τό ⟨τε⟩ OSchneider | 18. ἐπιρρηματικῆϲ b, επιρρηματικην A | 21. ὑπακούει] fol. 182 v. | 23. παρόντα b, idem scriptum erat ab A¹, sed A² mutavit ο in α, erasit ν et supra lin. scripsit δειγμα, ut nunc sit παραδειγματα | 29—30. GUhlig pro his καὶ κλινομένων τῶν πτώϲεων proponit aut haec καὶ τιθεμένων τῶν προθέϲεων, aut illa καὶ προτιθέμενον τῶν πτώϲεων

ἔcθ᾽ ὅτε τοπικὴν cχέcιν cημαίνοντα,· ἐπιρρήματα δὲ διὰ τῆc παραγωγῆc 622 μόνον τὴν τοπικὴν cχέcιν δηλοῖ. διὸ καὶ εἰc ταῦτα ἀντιμεταλαμβάνεται, οἴκοθι ἐν οἴκῳ· οὐ γὰρ δή γε ἐν οἴκοθί τιc φαίη. οἴκαδε εἰc οἶκον, οὐκ εἰc οἴκαδε. διὸ καὶ τὰ τοιαῦτα κακία, ἐξ οἴκοθεν, παρολκαὶ δὲ ποιητικαὶ ἐξ οὐρανόθεν· ὑπὲρ ὧν κατὰ τὸ ἑξῆc εἰρήcεται. εἰ δὴ τοῦτο, οὐκ ἐπιρρηματικὴ cύνταξιc τοῦ ἐκ παccαλόφιν, κατ᾽ ὄρεcφιν, τῶν παραπληcίων. ὅθεν προκρίνειεν ἄν τιc καὶ τὴν τοῦ $\overline{\text{φι}}$ γραφὴν ἐν τῷ οὐρανόθι πρό, ἐπεὶ ἰδίαc παραγωγῆc ἔχεται ἡ διὰ τοῦ $\overline{\text{θεν}}$.

Τὰ εἰc $\overline{\text{ου}}$ λήγοντα τὴν ἐν τόπῳ cχέcιν cημαίνει καὶ μόνωc περιcπᾶται, ὡc ἔχει τὸ αὐτοῦ. καὶ ἐκεῖνο ἐπιρρηματικόν ἐcτιν,

αὐτοῦ καὶ κριοῖο (Arat. Phaen. 225),
ὑψοῦ δ᾽ ἐν νοτίῳ (δ 785),

ἀγχοῦ, τηλοῦ. — καὶ ἐντεῦθεν δείκνυται, ὅτι τὸ ποῦ τὴν ἐν τόπῳ cχέcιν cημαίνει, καθότι καὶ ἡ Ὁμηρικὴ cυνήθεια ὁμολογεῖ, καὶ κατὰ τὴν προειρημένην cυμπάθειαν τίθεται καὶ ἐπὶ cχέcεωc τῆc εἰc τόπον, ποῦ ἀπέρχῃ; — πρόcκειται Δώρια μὲν τὰ τοιαῦτα μεταποιούμενα, εἶ τὰ τῶν χοιραγχᾶν (Sophr. fr. 86 Ahrens)· πεῖ γὰρ ἁ ἄcφαλτοc (Sophr. fr. 35 Ahrens)· αὐτοῦ αὐτεῖ. — τὸ ὅπου κατὰ τάcιν οὐχ ἡμάρτηται. ἅπαντα γὰρ τὰ ἀοριcτώδη ὑπὸ τοῦτον τὸν τόνον πίπτει. — παράκειται [γὰρ] τὰ διὰ τοῦ $\overline{\text{θεν}}$ παραγόμενα, cημαίνοντα τὴν ἐκ τόπου cχέcιν, ἀγχοῦ ἀγχόθεν, ὑψοῦ ὑψόθεν, τηλόθεν, αὐτόθεν, ὅθεν. τὸ πόθεν παρὰ τὸ ποῦ. — αὕτη δέ ἐcτιν ἡ παραγωγὴ καὶ ἐπ᾽ ὀνομάτων παραγομένη, Ἀθήνηθεν, Θήβηθεν, ἀρχῆθεν, ἀγορῆθεν, οἴκοθεν. περὶ τῆc τούτων τάcεωc καὶ γραφῆc εἴρηται ἰδίᾳ ἐν τῷ περὶ ἐπιρρημάτων. — καὶ φαίνεται ὅτι οὐ παρὰ τὸ ἑκάτεροc τὸ ἑκατέρωθεν, παρὰ δὲ τὸ ἐπίρρημα τὸ ἑκατέρωcε, ἑκατέρωθεν, ἑτέρωθεν. καὶ πάλιν παρὰ τὸ ἄνω ἄνωθεν, ἔcω ἔcωθεν, κάτω κάτωθεν. — ἔcτι καὶ παρὰ ἀντωνυμίαν παρηγμένα παρὰ Δωριεῦcι, τουτόθεν, ὃ δὴ cυνήθωc ἀποκόπτοντεc 623 τὴν λοιπὴν cυλλαβὴν ἐκτείνουcιν εἰc τὸ $\overline{\text{ω}}$, τουτῶ θάμεθα (Sophr.

Argvm. 9 Adverbia in $\overline{\text{ου}}$ ubi aliquid sit declarant, et sunt perispomena. — 13 Recte igitur ποῦ, ut ubique apud Homerum, est 'ubi'; sed etiam ita ponitur ut sit 'quo'. — 20 His praesto sunt adverbia in $\overline{\text{θεν}}$ eiusdem stirpis, quae unde aliquid proficiscatur indicant. — 25 Adverbia in $\overline{\text{ωθεν}}$ ab adverbiis in $\overline{\text{ωcε}}$ oriuntur. — 28 Huc pertinent dorica adverbia in $\overline{\text{ω}}$, cuius generis formae doricae etiam in pronominibus sunt.

Discr. script. 1. cημαίνοντα b, cημαιν A¹, deinde in ras. οντα A², ita tamen ut τα iam antea fuisse videatur, cημαίνειν RSkrzeczka | ἐπιρρήματα δὲ Ab, τὰ δὲ ἐπιρρήματα RSkrzeczka | 2. δηλοῖ (vel δηλοῦcιν) RSkrzeczka, δηλοῦν Ab | 6. τοῦ vel ἐπὶ τοῦ RSkrzeczka, τὸ Ab | 14. ἡ Ὁμηρικὴ b, ἡμερικη A | 16. πρόcκειται — 18 αὐτεῖ hinc tollenda et 208, 9 collocanda esse censet GFSchoemann; idem 18 τὸ ὅπου — 19 πίπτει aliena esse dicit | 17. χοραγχαν A | 20. γὰρ deleverunt RSchneider GUhlig | 22. ante η aliquid erasum | και in ras. A¹ | 26. ἐπίρρημα] fol. 183 r. | ⟨καὶ παρὰ τὸ ἑτέρωc⟩ ἑτέρωθεν GUhlig

fr. 42 Ahrens), καθὸ καὶ παρὰ τὸ αὐτόθεν αὐτῶ ὁρῆς, Φύσκα (Sophr. fr. 45 Ahrens). οὕτως ἔχει καὶ τὸ πῶ τις ὄνον ὠνασεῖται (Sophr. fr. 89 Ahrens); ὅτι γὰρ τὰ τοιαῦτα Δώρια ἐπιρρήματα, σαφὲς ἐκ τοῦ πάμπολλα μὲν εἶναι ἐπιρρήματα ἐκ τόπου εἰς θεν, μὴ μέντοι γε τὰ εἰς ω̄ λήγοντα τὴν ἐκ τόπου σχέσιν δηλοῦν· ἐκείνου γε προδήλου καθεστῶτος, ὡς τὰ ἐγγινόμενα πάθη κατὰ τὰς ἑτεροιώσεις τῶν διαλέκτων τῶν φωνῶν ἐστιν, οὐχὶ τῶν δηλουμένων. ὅθεν πρὸς τὸ σημαινόμενον τοῦ πόθεν ἔμεινε τὸ δηλούμενον ἐν τῷ πῶ καὶ τοῦ αὐτόθεν ἐν τῷ αὐτῶ.

Ἡ προκειμένη παραγωγὴ κατὰ τοῦ αὐτοῦ δηλουμένου παραλαμβάνεται, ἡνίκα ἀπ' ἀντωνυμιῶν μέν φαμεν ἐμεῦ ἐμέθεν, σεῦ σέθεν. τὸ πλέον γὰρ αἱ ἀντωνυμίαι κατὰ πρόσωπα ἐθέλουσι παράγεσθαι. ἀλλὰ φήσει τις· «τί δέ, εἰ ἐπιρρηματικά ἐστι σχήματα, ἀπ' ἀντωνυμιῶν γεγονότα;» Πρὸς ὃν ἔστι φάναι, ὡς σχέσιν τὴν τῶν ἐπιρρημάτων ἀποτελοῦσιν, οὐχὶ σύνταξιν τῆς γενικῆς ἐπιρρηματικήν, [ὡς] εἴγε τὰ ὁπωσδήποτε γενόμενα ἐπιρρήματα μιᾶς ἐννοίας ἐστὶ παρεμφατικά, οὐ δεόμενα παραθέσεως προθετικῆς, αἱ μέντοι γενικαί, ἐχόμεναι συντάξεως τῆς πρὸς τὰς προθέσεις, ταύτας καὶ ἀπολαμβάνουσιν, ἀπὸ Ἀριστάρχου, ἐξ Ἀριστάρχου, ἐξ οἴκου, ἀπ' οἴκου· ὁ αὐτὸς λόγος ἐπὶ πάντων. οὐ μὴν ἔστι φάναι ἀπὸ Δηλόθεν, οὐδ' ἀπ' οἴκοθεν. ἔτι γε μὴν ἐπὶ τῶν προκειμένων ἀνθυπάγονται αἱ γενικαὶ τῶν ὀνομάτων, ὅπερ ἴδιον ἀντωνυμιῶν. — ἀλλὰ καὶ ἐπ' ὀνομάτων· ἀντὶ γὰρ γενικῆς τῆς Ἴδης φασὶν

Ἴδηθεν μεδέων (Γ 276).

οὕτως ἔχει καὶ τὸ

εἴσομαι δ' ἐξ ἀλόθεν (Φ 335).

σαφὲς ἐκ συντάξεως τῆς ἐξ· αὕτη γὰρ ἡ παραγωγὴ ἔχει ἐγκείμενον τὸ ἐξ. οὕτως ἔχει καὶ τὸ

ἐξ οὐρανόθεν (Θ 19).

Καὶ ἐξ ἐκείνων δὲ συμφανές, 624

Αἴας δ' ἐγγύθεν (Η 219)·

οὐ γὰρ νῦν τὴν ἐκ τόπου σχέσιν βούλεται δηλοῦν, τὴν δὲ εἰς τόπον. οὕτως ἔχει καὶ τὸ

ARGUM. 10 Formae in θεν si a pronominibus derivantur, notionem eorum servant et pro genetivis usurpantur. — 22 Idem est usus formarum in θεν a nominibus derivatarum. — 30 Sunt etiam adverbia in θεν ab adverbiis ducta, notione non mutata.

DISCR. SCRIPT. 2. ὠνασείται HLAhrens, ὠνασεῖται b | 4. μέντοι RSchneider, μέν τοί b | 5. τὰ εἰς ω̄ λήγοντα RSkrzeczka, τοῖς εἰς ω̄ λήγουσι Ab | γε b, τε A | 8. τοῦ b, τω A | 10. προκειμένη b, in A προ, quod in παο mutatum, in fine versus, in initio sequentis versus duae litterae erasae, post eas κειμενη | 12. ἀλλὰ b, αλλει A | 15. ὡς delevit RSchneider, quo servato GUhlig v. 17 pro οὐ δεόμενα scripsit οὐ δέονται vel οὐδ' ἔχεται | 16. γενόμενα b, γινομενα A | 20. οὐδ' b, οὐκ A | 26. δ' ἐξ Ab, ἐξ Homerus vulg. | ἀλόθεν Homerus vulg., ἄλλοθεν Ab

σχεδόθεν δέ οἱ ἦλθεν Ἀθήνη (β 267).

οὐ γὰρ ἐκ τοῦ ϲύνεγγυϲ τόπου, ὅπερ γέλοιον· τὸ γὰρ μέγιϲτον ἔξαλμα οὐρανὸϲ καὶ γῆ. ἐν ἴϲῳ οὖν ἐϲτι τῷ ϲχεδόν. ἐν τῷ περὶ Ἰάδοϲ τὸ τοιοῦτον ἀπεδείξαμεν.

Οὐ χρὴ νοεῖν, ὅτι παρ' ἐπίρρημα τὸ ἐκεῖ τὸ ἐκεῖθεν ἐγένετο ἢ τὸ κεῖθι [ἐγένετο ἀπὸ κεῖθι], πρῶτον ὅτι ἐνέμεινεν ἡ δίφθογγοϲ (πρόκειται γὰρ ὡϲ ἡ τοιαύτη παραγωγὴ ὑποϲτολὴν ποιεῖται το⟨ῦ ἐν τῷ τέλει φωνήεντοϲ⟩, τηλόθεν, ἀγχόθεν), δεύτερον ὅτι μᾶλλον ἀποκοπή ἐϲτι ⟨τὸ ἐκεῖ⟩ τοῦ ἐκεινόθι· οὐ γὰρ τοῦ ἐκεῖθεν, ἐπεὶ κἂν τὴν ἐκ τόπου ϲχέϲιν ἐϲήμαινεν. — ἔϲτιν οὖν κατ' ἐντέλειαν τὸ ἐκεινόθεν παρὰ τὸ ἐκεῖνοϲ, ἀφ' οὗ κατὰ ϲυγκοπὴν τὸ ἐκεῖθεν, ἐκεινόθι καὶ ἐκεῖθι, ἐκεινόϲε ὡϲ κυκλόϲε, καὶ ἔτι ἐκεῖϲε,

κεῖϲε δ' ἂν οὐκ ἂν ἐῷμι (π 85).

ἀπὸ δὴ τοῦ ἐκεῖθι καὶ ἐκεῖϲε χρὴ νοεῖν ἀποκοπὴν γεγενῆϲθαι τὴν ἐκεῖ, ἐπεὶ καὶ τὸ ἐν τόπῳ ϲημαίνει, ἐκεῖ μένε, καὶ τὸ εἰϲ τόπον, ἐκεῖ ἀπέρχομαι· οὐ μὴν τὸ ἐκ τόπου, διὸ οὐδὲ τοῦ ἐκεῖθεν ἀποκοπὴν ἔφαμεν γεγενῆϲθαι. πρόκειται γὰρ ὅτι τῶν φωνῶν τὰ πάθη καὶ οὐ τῶν δηλουμένων.

Τὸ ἧχι τοπικὸν οὐ διὰ τὴν ἐπὶ τέλουϲ παραγωγὴν τὴν εἰϲ τόπον ϲχέϲιν ϲημαίνει· ἔϲτι γὰρ παρολκὴ ὁμοία τῷ ναίχι, οὔ καὶ οὐχί. ϲαφὲϲ δὲ καὶ ἐξ αὐτῆϲ τῆϲ φωνῆϲ· ἡ γὰρ φυϲικὴ πρόταξιϲ τοῦ η̄ οὐκ ἂν ἐδαϲύνετο, καθὸ οὐδέποτε τὰ φωνήεντα πρὸ τοῦ χ̄ δαϲύνεται. ὃν οὖν τρόπον ἰδίᾳ ῥητόν ἐϲτι τὸ ναί, οὐ πάντωϲ ἐπιζητοῦν τὸ χι̅, ὁμοίωϲ τὸ οὔ, τοῦτον τὸν τρόπον καὶ τὸ ᾗ, ϲημαῖνον τὴν εἰϲ τόπον ϲχέϲιν, ἐντελέϲ ἐϲτι. — ϲαφὲϲ ἐκ τῶν ἀνταποδιδομένων, οἷϲ οὐκέτι παρακολουθεῖ τὸ ἐπεκτείνεϲθαι, λέγω τὸ τῇ καὶ πευϲτικῶϲ τὸ πῇ καὶ ἔτι τὸ ἀοριϲτωδῶϲ ὅπῃ, προϲτιθεμένου τοῦ ῑ, καθὼϲ καὶ ἡ παράδοϲιϲ ὁμολογεῖ, καὶ ὡϲ μᾶλλον τὰ τοιαῦτα ϲυμφέρεται φωνῇ [τῇ] πρὸϲ τὰϲ δοτικάϲ, ὡϲ ἔχει καὶ τὸ ταύτῃ πορευθῶμεν. τὸ μέντοι πεῖ καὶ εἶ παρὰ Δωριεῦϲι χρὴ νοεῖν, ὅτι οὐ παράκειται τῷ πῇ καὶ ἔτι τῷ τῇ ἀνταποδοτικῷ, καθὸ τὴν ἐν τόπῳ ϲχέϲιν δηλοῦντα τῷ ποῦ μᾶλλον καὶ

Argum. 5 Non ab ἐκεῖ derivatum est ἐκεῖθεν aut κεῖθι: — 11 immo ἐκεῖ decurtatum est ex ἐκεῖθι.

Discr. script. 2. ἔξαλμα] ἐξάλλαγμα vel διάϲτημα CWachsmuth | 4. verbi ἀπεδείξαμεν syllaba ει et littera ν in rasura in A | 5. ὅτι παρ'] fol. 183 v. | 6. pro ἐκεῖθι conicit κεῖθι RSchneider | ἐγένετο ἀπὸ κεῖθι delevit RSkrzeczka | 7—8. τοῦ ἐν τῷ τέλει φωνήεντοϲ RSchneider col. 188, 6, το A, τοῦ b, το⟨ῦ ῡ⟩ GUhlig | 9. τὸ ἐκεῖ inseruerunt KLehrs et GFSchoemann | 13. κεῖϲε δ'ἂν οὔ μιν ἔγωγε μετὰ μνηϲτῆραϲ ἐῷμι Homerus | 22. ϲυν litterae vocis εδαϲυνετο supra lin. scriptae ab A^1 | ον ουν A, ἔτι ὃν b | 24. τὸ οὔ A^1b, τω ου A^2 | 28. τῇ delevit GUhlig | 29. καὶ εἶ b, και ει supra lin. A^1 | 30. τῷ τῇ] τω τη A^1 et in marg. ει και ετι τω A^2, ut haec ponere possis τῷ ᾗ καὶ ἔτι τῷ τῇ | 31. ποῦ μᾶλλον καὶ τῷ ὅπου b, πω μαλλον και τω που A

τῷ ὅπου ἀντιπαράκειται· τὸ γὰρ εἶ τὰ τῶν χοιραγχᾶν (Sophr. fr. 86 Ahrens) ἐν ἴσῳ ἐστὶ τῷ ὅπου, καὶ τὸ πε̣ῖ γὰρ ἁ ἄσφαλτος (Sophr. fr. 35 Ahrens) ἐν ἴσῳ τῷ ποῦ. ἄλλως τε τὰ διὰ τοῦ ῃ̄ ἐκφερόμενα τροπὴν μᾶλλον τὴν διὰ τοῦ ᾱ παραδέχεται ἢ τὴν διὰ τοῦ εῑ, πάντῃ παντᾷ, ἄλλῃ ἀλλᾷ.]

Discr. script. 3. ῃ̄ HLAhrens, ῆ Ab | 5. παντᾷ HLAhrens, πάντᾳ b, παντα A | ἀλλᾷ HLAhrens, ἄλλᾳ b, αλλα A | Subscriptio: ΑΠΟΛΛΩΝΙΟΥ ΠΕΡΙ ΕΠΙΡΡΗΜΑΤΩΝ maiusc. A]

ΑΠΟΛΛΩΝΙΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ
ΠΕΡΙ ΣΥΝΔΕΣΜΩΝ

RECENSVIT

RICHARDVS SCHNEIDER

14*

p. 479 b ʽΗ προκατειλεγμένη cύνταξιc περὶ cυνδέcμων ὑπὸ πλειόνων γραμματικῶν, ἐλλιπεcτέρα καθεcτῶcα, τοὺc cυνεχέcτερον ἡμῖν ἐν ταῖc cχολικαῖc cυγγυμναcίαιc cυνιόνταc οὐκ ἔπειθε, καθότι οἱ μὲν αὐτὸ μόνον τὰ ὀνόματα τῶν cυνδέcμων κατέλεξαν καὶ τὰc γινομέναc μεταλήψειc ἐξ αὐτῶν εἰc αὐτούc, τουτέcτι τοὺc ἰcοδυναμοῦνταc ἀλλήλοιc, οἱ δὲ περὶ προτάξεωc καὶ ὑποτάξεωc αὐτῶν, παρέντεc τὰ ἀναγκαιότατα, λέγω τὰc ἐν αὐτοῖc δυνάμειc καὶ cχήματα καὶ ἄλλα πλεῖcτα, ὑπὲρ ὧν εἰρήcεται· οἱ δὲ καὶ ὀνόμαcιν ἀλλοτρίοιc προcχρηcάμενοι ἤπερ τοῖc εἰc γραμματικὴν cυντείνουcι, Cτωικὰc παρειcφέρουcι δόξαc, ὧν ἡ παράδοcιc οὐκ ἄγαν χρειώδηc πρὸc τὴν εἰc γραμματικὴν cυντείνουcαν τεχνολογίαν. ἔcτι γοῦν πολλή τιc καὶ δυcπερίληπτοc περὶ τὰc φωνὰc τήρηcιc . . κατορθοῦται πᾶcα διάλεκτοc, πᾶc cχηματιcμὸc cυντείνων εἰc ʽΕλληνικὴν παράδοcιν ἀναγνωcμάτων, ἧc οὐδὲ κατ᾽ ὀλίγον ἐπιψαύει ὁ παρὰ τοῖc Cτωικοῖc περὶ φωνῆc λόγοc. καὶ δῆλον ὡc καὶ ἐπὶ τῶνδε τῶν μορίων τὸ αὐτὸ παρακολουθήcει. πάλιν γὰρ ὑποcταλήcεται ὁ περὶ αὐτῶν λόγοc ἐν φωνῇ καὶ δηλουμένῳ, ἐν ᾧ καὶ τὰ cυνεμπεπτωκότα cχήματα διὰ τῆc cυνούcηc φράcεωc ἐπικριθήcεται, τά τε ἁπλᾶ αὐτῆc καὶ τὰ cύνθετα, προcέτι καὶ τὰ δόξαν ἐcχηκότα cυνδέcμων, οὐ μὴν ὄντα, τίνα τε αὐτῶν ἐγκλίcεωc ἔτυχε καὶ τίνα οὔ. καὶ ἕνεκά γε τῶν τοιούτων παραδόcεων ἀναγκαίωc εἰc cχολικὴν ἀντιβολὴν κατέcτημεν, ἐκλεγόμενοι παρ᾽ ἑκά-

---

Argvm. 1 Exordium. Qui antea de hac re disputaverunt, nec omnia, quae de ea dici possunt, protulerunt, — 9 et Stoicorum maxime doctrina nituntur. — 19 Quam etsi ne nos quidem neglegemus, tamen nostro Marte rem denuo ea, qua par est, perspicuitate illustrabimus.

Discr. script. 1. Post ultimam syntaxis vocem, exiguo spatio relicto, haec est in A fol. 93 r. inscriptio: ΤΟΥ ΑΥΤΟΥ ΑΠΟΛΛΩΝΙΟΥ ΠΕΡΙ CΥΝΔΕCΜΩΝ. Et haec et quae sequuntur usque ad p. 214, 4 γραμμα non ea manu qua totus fere codex, sed ea, quae septem prima syntaxis folia (vid. Bekker. ad synt. 348) scripsit, exarata esse videntur | 9. Cτωικὰc] fol 92 v. | 11. ἔcτι γοῦν b, ἐcτιν ουν A | inter τηρηcιc et κατορθουται voces hoc signum in marg. A adscriptum est *V*, b lacunam indicavit, quam EEgger sic explevit ⟨δι᾽ ἧc⟩ | 15. ante παλιν lacunam sex septemve litterarum esse dicit EEgger, quod non satis constat | ὑποδιαcταλήcεται pro ὑποcταλήcεται EEgger | 16. cυνεμπεπτωκότα RSchneider ex A, qui cυνεμπεπτοκωτα habet, ἐμπεπτωκότα b | 19. εγκληcεωc A | 20. κατέcτημεν b, κατεcτηcαμεν A

στου τῶν πρὸ ἡμῶν τὸ χρειῶδες. πρὸς οἷς καὶ αὐτοί τι ἐπινοήσαντες 480 μετὰ τῆς δεούσης σαφηνείας παραδώσομεν, οὐκ ἐκτὸς γινόμενοι κατὰ τὸ παντελὲς τῆς τῶν Στωικῶν δόξης. •

Ποσειδώνιος ἐν τῷ περὶ συνδέσμων ἀντιλέγων πρὸς τοὺς φάσκοντας, ὡς οἱ σύνδεσμοι οὐ δηλοῦσι μέν τι, αὐτὸ δὲ μόνον τὴν φράσιν συνδέουσι, φησὶν ὡς διαφέρει τὸ ἐπιδοῦναι τοῦ ἀποδοῦναι, ὡς τὸ ἀπαιτεῖν τοῦ προσαιτεῖν, καὶ ἄλλας τινὰς τοιαύτας συντάξεις, ἤδη πιστούμενος ὅτι ἓν μέρος λόγου ἥ τε πρόθεσις καὶ ὁ σύνδεσμος. ἐν γοῦν τῇ αὐτῇ πάλιν τῇ ἐναντιωτάτῃ πρὸς ἐκείνους ἀντιρρήσει ἐκτίθεται τοὺς κατὰ φύσιν συνδέσμους, φάσκων ὡς διὰ τὴν δύναμιν . . . . . ⟨τὸ ἵνα ἐπίρρη⟩μά φαμεν τοπικόν· ἡ γὰρ φράσις παρῃτεῖτο [εἰς] τὸ καλεῖν σύνδεσμον. ἀλλ' οὐκέτι ἐν τῷ

ἵνα εἴδομεν ἄμφω (Α 363).

ὄφρα μὲν ἠὼς ἦν (Θ 66),

χρονικὸν ἐπίρρημα·

ὄφρα πεποίθῃς (Α 524),

σύνδεσμος ἀποτελεστικός. — τί οὖν κωλύει [καὶ] κατὰ τοῦτον τὸν λόγον καὶ τὰ ἴσην δύναμιν ἀναδεδεγμένα συνδέσμοις μόρια καλεῖν συνδέσμους ὁμοφωνοῦντας προθέσεσιν, οὐ μήν, ὡς ἐδόκει τῷ Ποσειδωνίῳ, καὶ τὰς ἐν τῷ τοιούτῳ δηλουμένῳ συνδέσμους καλεῖν, ἐπιδοῦναι, ἀποδοῦναι; — Οὐ λέληθε δ' ἡμᾶς κἀκεῖνος ὁ λόγος, ὡς οὐδὲ κατὰ τὸ παντελὲς τοῖς συνδέσμοις ἀνθυπάγονται. εἰ δεινὰ δέδρακας· ἀνθ' ὧν δεινὰ δέδρακας· ἰδοὺ γὰρ καὶ ἄρθρου παρέμπτωσις. καὶ ἔτι εἰ ἡμέρα ἐστί, φῶς ἐστί· διὰ τὸ ἡμέραν εἶναι φῶς ἐστί· καὶ πάλιν 481 παρεισέδυ τὸ ἄρθρον, καὶ ἀντὶ ὁριστικῶν ἀπαρέμφατα παρελήφθη. ὅτι δὲ κατὰ πολὺ τὰ μόρια χωριστέον, καθότι καὶ νῦν οἱ γραμμα . . . . ἡμέρα ἐστίν . . . . ⟨σ⟩κότος ἐστί . . . . ⟨συν⟩δέσμου

Argum. 4 Coniunctiones et praepositiones diversae orationis partes sunt.

Discr. script. 2. γινομενοι A et b in var. lect., γενομενοι b in textu | 3. post δοξης haec sequuntur ab A[1] scripta ει δεοντως αι καλουμεναι παρα τοις γραμματικοις προθεσεις παρα τοις στωικοις προθετικοι συνδεσμοι καλουνται η κατ' ενιους συνδεσμοειδη μορια, quae neque maiusculis exarata nec a ceteris seiuncta sunt; inscriptionis loco posuit b | 6. ὡς διαφέρει] διαφέρειν ὡς GUhlig, ⟨αὐτοὺς διαφέρειν⟩ ὡς διαφέρει CWachsmuth | 9. ἐναντιωτάτῃ GUhlig, ἐναντιότητι τῇ A b | 10. post δυναμιν incipit fol. 193 r.; integrum folium intercidisse censet RSchneider | 11. ⟨τὸ ἵνα ἐπίρρη⟩μα RSchneider, μα A, ⟨ἵ⟩να b, qui non recte dicit A exhibere να, ⟨ἐν τῷ ἵνα γῆς ἵ⟩να ESterk | εἰς delevit RSchneider, αὐτὸ pro εἰς τὸ RSkrzeczka | 17. ἀποτελεστικὸς RSkrzeczka, αἰτιολογικὸς A b | καὶ delevit CWachsmuth | λογον και τα A, λόγον τὰ b | 19. προσθεσεσιν A | 20. ⟨προθέσεις⟩ συνδέσμους CWachsmuth | 24. διὰ b, διο A | 23. παρεληµφθη A | 26. γραμμα ultima vox est in medio fol. 93; eius uti reliqua pars ita totum fol. 94 vacuum relictum est. Quae fol. 95 r. sequuntur, eadem manu scripta sunt, qua totus codex praeter septem illa syntaxis folia et eam partem, de qua modo diximus, exaratus est | 28. σ b in var. lect. add. | συν b in var. lect.

διὰ τί ὁ ἄν ω οὐκ ἐπι . . . . ν τοῖς προκειμένοις . . . . . . των, ἐν ᾧ ἐπεδείξαμεν . . . αι. οὐ γὰρ ἐν τῷ καθόλου τὸ τοιοῦτόν ἐστι . . . . . ον τέ ἐστιν εὑρέσθαι, ἐὰν θέλῃς . . . . κης ἀναγνοίην ἄν. ὥστε οὔτε περὶ . . . . ἐπιφορας διὰ τῶν αὐτῶν τοῦ λόγου . . . ἣ σύνθετον καταστήσεται. τὸ αὐτὸ ἄρα . . . ἐσμου ὁ ἐάν ἐπιζευκτικὸς ἐδείχθη γινόμενος . . . . ι ουν καὶ τῷ ἐπεί παράκειται ἐπεάν . -. ἅπαντός τε γὰρ συνθέτου σχήματος . μία ἐστὶν . . . ἐὰν καὶ τὰ τῆς φωνῆς ὑπαγορεύει καὶ τὰ . . . εἴπερ οὖν ὁ ἐπεί ἔχει καὶ τὴν φωνὴν τοῦ . . . ἔχει δὲ καὶ τὸ δηλούμενον, ἐν οἷς ἀκολου⟨θίας ἐστ⟩ὶ παραστατικός, ἔχει δὲ καὶ δυνάμει τὸν ἐάν, ⟨συνεστῶ⟩τα ἐκ τοῦ εἴ καὶ ἄν, ἐν οἷς πάλιν φαμὲν . . . πῶς οὐχὶ βίαιον μὴ οὐχὶ παραδέξασθαι . προκειμένων ἀνδρῶν τὴν δόκησιν;

Ἠπορήθη πῶς σύνδεσμοι οἱ προκείμενοι, ⟨μαχομέ⟩νην ἔχοντες τὴν ἐξ αὐτῶν δύναμιν τῇ θέσει τοῦ ὀνόματος, ⟨εἴγε⟩ τὸ συνδεῖν τῷ διαζευγνύειν μάχεται. Ἔχεται ἀπολογίας ⟨ἡ π⟩ροκειμένη ἀπορία, ὡς καὶ ἐπ' ἄλλων ἔστιν ἐπινοῆσαι ⟨ὡ⟩ς τὰ αὐτὰ ὄντα μαχομένην πολλάκις ὀνομασίαν ἀνεδέξατο. φαμὲν τὸ μάχομαι παθητικόν, καὶ δῆλον ὅτι τῷ τύπῳ τῆς φωνῆς· εἰ γὰρ ἀπὸ τοῦ δηλουμένου, δῆλον ὅτι ἐνεργητικόν.
482 ἀλλὰ μὴν καὶ τὸ παιδίον οὐδέτερον διὰ τὸν τύπον, ἐπεὶ ἀμφότερόν ἐστι διὰ τὸ δηλούμενον· παρατιθέμενος γοῦν τις ἀρσενικὸν καὶ θηλυκόν, εἴποι ἄν παρατίθεμαί σοι παιδία. ἀλλὰ καὶ τὸ Θῆβαι πληθυντι-

---

ARGVM. 14 De disiunctivis. Dubitatur possintne disiunctivae coniunctionibus tribui.

TESTIM. 5 Schol. Dion. Thr. BA p. 954, 12 *Παρέπεται δὲ τῷ συνδέσμῳ σχῆμα, ἁπλοῦν εἴ, σύνδετον ἐπεί, καὶ ἀπὸ τῆς ἐπί καὶ τοῦ εἴ μονήρης σύνθεσις· οὐδέποτε γὰρ πρόθεσις συνδέσμῳ συντίθεται. καὶ τὸ δηλούμενον δείκνυσιν ὅτι σύνθετον. ὡς γὰρ ὁ εἴ τάξιν ἀπαιτεῖ, οὕτω καὶ ὁ ἐπεί. Ὁ ἐάν σύνθετος ἀπὸ τοῦ εἰ καὶ ἄν, καὶ ἐν ὑπερθέσει χρόνου ἐάν.* — 14 Schol. Dion. Thr. BA p. 962, 27 *Ἠπορήθη πῶς σύνδεσμοι λέγονται οἱ προκείμενοι, μαχομένην ἔχοντες τὴν ἐξ αὐτῶν σημασίαν τῇ θέσει τοῦ ὀνόματος. μάχεται γὰρ* (Barocc., *μὲν* Bekker) *τὸ συνδεῖν τῷ διαζευγνύειν. καὶ ἔχεται ἀπολογίας ἡ προκειμένη ἀπορία, ἐπεὶ καὶ ἐπ' ἄλλων ἔστιν ἐπινοῆσαι τὸ αὐτό. ὀρθὴν μὲν γάρ φαμεν καὶ πτῶσιν, καὶ τὸ μάχομαι φωνῇ παθητικόν, σημαινομένῳ δὲ ἐνεργητικόν· καὶ τὸ Θῆβαι φωνῇ πληθυντικόν, σημαινομένῳ δὲ ἑνικόν. καὶ ὅτι πολλὰ ἔστιν ἄλλα μαχόμενα εὑρεῖν.*

DISCR. SCRIPT. 2. ⟨ἐν τῷ περὶ ἐπιρρημά⟩των GDronke | 7. ⟨δυνάμε⟩ι οὖν RSchneider | 8. υπαγορευει A, ὑπαγορεύῃ b | 9. ⟨τοῦ δηλουμένου.⟩ εἴπερ RSchneider | ⟨ἁπλοῦ εἴ,⟩ ἔχει RSchneider | 10. ⟨θίας ἐστ⟩ b | παραστατικὸς b, παρατατικος A | 11. ⟨συνεστῶ b⟩ | 12. φαμὲν ⟨ἐπεάν,⟩ RSchneider | ⟨τῶν⟩ προκειμένων RSchneider | 14. inscriptionem περι διαζευκτικων ex A addidit b: cuius generis inscriptiones, ut quae non sint Apollonii, etiam in hoc libro omittimus | in A initio lineae est ε (b in var. lect. dicit esse ηε, quo nisus GUhlig conicit ⟨ἤ. ἤτοι.⟩ ἠέ) i. e. ni fallor, 'caput quintum', sequitur spatium et ηπορηθη | ⟨μαχομέ⟩ b | 15. ⟨εἴ γε⟩ b | 16. ⟨ἡ π⟩ b | 17. ⟨ὡ⟩ς τὰ RSchneider, . στα A, ὅτι b | 22. εἴποι ἄν b, ειποιεν αν A

κόν, καὶ μία ἡ ὑποκειμένη πόλις. ἔςτι καὶ ἐπ' ἄλλων πλειόνων τὸ τοιοῦτον παραθέςθαι. — Οἱ δὴ προκείμενοι ςύνδεςμοι εἴρηνται μὲν ςύνδεςμοι ἕνεκα τοῦ ςυνδεῖν τὰς φράςεις, ὥςτε τὸ κοινὸν τῶν ςυνδέςμων αὐτοὺς ἀναδεδέχθαι· ἕνεκα δὲ τοῦ ἀπ' αὐτῶν δηλουμένου διαζευκτικοὶ ὠνομάςθηςαν. ὅλης γὰρ τῆς φράςεως ⟨ὄντες ςυνδετικοί, τὰ ἐν αὐτῇ⟩ πράγματα διαζευγνύουςιν. ⟨ἔτι δὲ οὐκ⟩ αὐτοτελὲς τὸ ἡμέρα ἐςτὶ καί, ⟨ἀλλ'⟩ ἐζήτει ἑτέραν φράςιν, καὶ ἡμέρα ⟨ἐςτὶ καὶ φῶς ἐςτί⟩. — τὸ αὐτὸ δὲ καὶ ἐπὶ τῶν διαζευκτικ⟨ῶν· ἢ ἡμέρα ἐςτὶν⟩ ἢ νύξ ἐςτι.

Καὶ ὡς μὲν ςύνδεςμοι κα⟨τὰ τὸ ςυνδεῖν τὰς φράςεις⟩ εἰςίν, ἀπεδείχθη· ὡς δὲ τὸ ἐπιφερόμεν⟨ον πρᾶγμα⟩ παρελήφθη μὲν ὑπὸ τῆς ςυνδέςεως, ⟨διαζεύγνυται δὲ⟩ ὑπὸ τοῦ δηλουμένου τοῦ ἀπὸ τοῦ ςυνδ⟨έςμου, ςαφὲς⟩ γενήςεται ἐκ τοῦ ἢ νύξ ἐςτι. μόνον γὰρ ἓν ἔςτι ⟨τῶν⟩ νοουμένων πραγμάτων κατὰ τὸ αὐτὸ π⟨αραλαμβά⟩νεςθαι. ἡ ἐπαγγελία τῶν διαζευκτικῶν ⟨ἑνὸς ὕπαρ⟩ξιν ἐπαγγέλλεται, τοῦ δ' ὑπολειπομένου ἢ ⟨τῶν ὑπολειπομένων⟩ ἀναίρεςιν. — καὶ ἔςτι πάλιν αὐτῶν ἃ μὲν ⟨ἀληθῆ⟩

Argum. 2 Sed coniunctiones dicuntur, quod conectunt enuntiata; disiunctivae autem propter notionem. — 10 Disiunctivae igitur indicant, unam rem exstare, alteram vel ceteras non exstare. — 16 Quaedam suapte natura disiuncta sunt;

Testim. 2 Schol. Dion. Thr. BA p. 963, 2 (cf. ibid. 961, 10) *καὶ οἱ προκείμενοι οὖν σύνδεσμοι μὲν εἴρηνται ἕνεκα τοῦ συνδεῖν τὰς λέξεις καὶ τὰς φράσεις, ἕνεκα δὲ τοῦ ἀπ' αὐτῶν δηλουμένου σύνδεσμοι* (cum Barocc. addendum *διαζευκτικοὶ*) *ὠνομάσθησαν· ὅλης γὰρ τῆς φράσεως ὄντες συνδετικοὶ τὰ ἐν αὐτῇ πράγματα διαζευγνύουσι. καὶ ἡ ἐπαγγελία αὐτῶν ἑνὸς ὕπαρξιν ἐπαγγέλλεται, τοῦ δὲ ὑπολειπομένου ἢ τῶν ὑπολειπομένων ἀναίρεσιν, οἷον 'ἡμέρα ἐστὶν ἢ νύξ', 'ζώει ὅ γ' ἢ τέθνηκεν', ἢ 'Ἀπολλώνιος ἄρχεται ἢ οἱ τούτου μαθηταί'. ἐν τούτοις γὰρ καὶ ἐν τοῖς τοιούτοις ἡ φράσις συμπλέκεται, τὰ δὲ πράγματα μαχόμενά ἐστι καὶ μὴ δυνάμενα κατὰ ταὐτοῦ παραληφθῆναι.* Cledonius ap. Putsch. p. 1878 *Hic quaestio est, si coniunctiones a coniungendo dictae sunt, cur disiunctiva coniunctio est? Quia copulativa verba et sensus iungit, disiunctiva verba quidem iungit, sed sensus disiungit.* — 13 Epim. Cr. 189, 8 *ὁ μὲν διαζευκτικὸς τὸ ἕτερον μόνον τῶν ὑποκειμένων αἱρεῖται, τὸ δὲ ἕτερον ἀναιρεῖται· ἢ ἡμέρα ἐστίν, ἢ νύξ.* — 15—16. Sextus Emp. II, 191 *τὸ γὰρ ὑγιὲς διεζευγμένον ἐπαγγέλλεται ἓν τῶν ἐν αὐτῷ ὑγιὲς εἶναι, τὸ δὲ λοιπὸν ἢ τὰ λοιπὰ ψεῦδος ἢ ψευδῆ μετὰ μάχης.*

Discr. script. 5. ὅλης γὰρ] fol. 95 v. | ὄντες ςυνδετικοί, τὰ ἐν αὐτῇ e scholio Dion. Thr. RSchneider, ⟨ςυνδεθείςης, τὰ νοούμενα⟩ b | 6—7. ἔτι δὲ οὐκ et ἀλλ' b, sed utroque loco plura intercidisse videntur in A | 7—8. ⟨ἐςτὶ καὶ φῶς ἐςτί⟩ b | 8—9. ων add. b, ἢ ἡμέρα ἐςτίν RSchneider, ἢ ἡμέρα GUhlig | 10. κα⟨τὰ τὸ ςυνδεῖν τὰς φράςεις⟩ RSchneider, lacunam A codicis ea capere censens, κα⟨ὶ αὐτοὶ⟩ b in var. lect., κα⟨ὶ αὐτοὶ πάντως⟩ GUhlig | 11. ⟨ον πρᾶγμα⟩ b, ⟨ον πρᾶγμα ςυμ⟩ GUhlig | 12. ⟨διαζεύγνυται δὲ⟩ RSchneider, ⟨διεζεύχθη δὲ⟩ GUhlig | lacunam explevit b | 13. ἐςτι. μόνον γὰρ ἓν ἔςτι ⟨τῶν⟩ RSchneider, ἐςτιν ὅλον γὰρ ἔνεςτιν . . A b | 14. lacunam expl. b | 15. lacunam expl. KLehrs | 15—16. ⟨τῶν ὑπολειπομένων⟩ RSchneider, ⟨καὶ ὑπολειπομένων⟩ KLehrs | 16. ἀληθῆ vel ⟨κατὰ φύςιν⟩ b, ⟨κατὰ φύςιν⟩ etiam KLehrs

τὴν διάζευξιν ἀναδεδεγμένα, ἃ δὲ οὐ⟨κ ἀληθῆ⟩ τὴν διάζευξιν παρειληφότα. τὸ γὰρ λεγόμε⟨νον ἢ⟩ ἡμέρα ἐςτὶν ἢ νύξ ἐςτιν ἐν ἀληθεῖ καθέςτηκε ⟨δ⟩ιεζευγμένῳ· ταῦτα γὰρ τὰ καταςτήματα ο⟨ὐδέποτε⟩ κατὰ ταὐτὸ γενήςεται. τὸ δὲ λεγόμενον ἢ Ἀπολλώνιος παρέςται ἢ Τρύφων ὡς πρὸς καιρὸν τὴν διάζευξιν ἐπαγγέλλεται. τὸ γοῦν πρότερον ὑπόδειγμα, κἂν μὴ ⟨λάβῃ⟩ τὸν διαζευκτικὸν ςύνδεςμον, πάλιν ἐν διαζεύξει ⟨ἔςται⟩, ἡμέρα ἐςτί, νύξ ἐςτι. τὸ ἕτερον ἀληθές, εἰ φαί⟨ημεν οὕτως·⟩ ἡμέρας οὔςης ἡμέρα ἐςτί· τὸ δὲ ἕτερον οὐ πάν-
483 τως, Τρύφων παρέςται, Ἀπολλώνιος οὐ παρέςται· οὐ διαζεύγνυται γὰρ τὰ τοιαῦτα, ἐὰν μὴ λάβῃ τὸν διαζευκτικὸν ςύνδεςμον. ἐφ' ὧν ἔςτι καὶ τοὺς μαχομένους τοῖς διαζευκτικοῖς ςυνδέςμους παραθέςθαι, καὶ Ἀπολλώνιος παρέςται καὶ Τρύφων παρέςται· εἰ Τρύφων παρέςται, καὶ Ἀπολλώνιος παρέςται. ἐπὶ μέντοι τῶν κατὰ φύςιν διεζευγμένων οὐκέτι· οὐ γὰρ ςυςτήςεται τὸ καὶ ἡμέρα ἐςτὶ καὶ νύξ ἐςτιν, οὐδὲ τὸ εἰ ἡμέρα ἐςτί, νύξ ἐςτιν. ὡς εἰςί τινες λόγοι ὑπὸ τῶν ςυνδέςμων διαζευγνύμενοι ⟨ἢ⟩ ςυμπλεκόμενοι, τινὲς δὲ ςυναπτόμενοι, τινές τε οὐ πάντως ὑπὸ τῶν ςυνδέςμων τὸ ςυναφὲς ἐπαγγελλόμενοι, ἀλλὰ καὶ δι' αὑτῶν δηλοῦντες· ἢ καὶ διαζευγνύμενοι πάλιν οὐχ ὑπὸ τῶν διαζευκτικῶν, ἀλλ' ἐξ αὑτῶν τὴν διάζευξιν δηλοῦντες. ἐφ' ὧν οὐκ ἐναλλαγαὶ γενήςονται ⟨ςυνδέςμων. ἐκκείςθ⟩ω δὲ ὑποδείγματα. ὁ λέγων τὸ ⟨ἡμέρα ἐςτί δεδήλ⟩ωκεν ὅτι καὶ φῶς ἐςτίν. ἐπὶ τούτου οὐκ⟨έτι⟩ ἐγχωρήςει τὸ ἤτοι ἡμέρα ἐςτὶν ἢ φῶς ἐςτι. ⟨καὶ ζῶ καὶ⟩ ἀναπνέω· οὐ γὰρ ἔτι ἐγχωρήςει τὸ ⟨ἤτοι ζῶ ἢ ἀνα⟩πνέω. ἡ ςυνάφεια γὰρ ἐν τῷ ζῆν τοῦ ἀναπνεῖν ⟨ἀπαράδεκτός ἐςτι τοῦ διαζε⟩υκτικοῦ, καθὼς προείπομεν. διὰ ⟨δὲ τὸ κατὰ φύςιν διεζεῦχθαι ἡμέραν εἶ⟩ναι, νύκτα εἶναι, τὸ ἕτερον ἀληθεύει.

Argvm. 9 quaedam ita comparata sunt, ut non disiungantur nisi disiunctivis coniunctionibus; ea possunt etiam continuativis vel copulativis conecti. — 20 Illa vero, quae suapte natura disiuncta sunt, non nisi disiunctivas admittunt.

Testim. 3 Pseudo-Galenus Εἰςαγωγὴ διαλεκτική p. 1 *ἡ γάρ τοι μάχη κοινὸν μὲν ἔχει τὸ μὴ συνυπάρχειν τὰ συμμαχόμενα· διαφέρει γὰρ τῷ τινὰ μὲν πρὸς τῷ μὴ συνυπάρχειν μὴ οὐδὲ συναπόλλυσθαι δύνασθαι, τισὶ δὲ καὶ τοῦτ' ὑπάρχειν· ὅταν οὖν ἓν μόνον τὸ μὴ συνυπάρχειν, ἐλλειπής ἐστιν ἡ μάχη, ὅταν δὲ καὶ τοῦτο τὸ μὴ συναπόλλυσθαι, τελεία, τῶν γὰρ τοιούτων πραγμάτων ἀνάγκη δυοῖν θάτερον μὴ οὐκ εἶναι.*

Discr. script. 1. ⟨κ ἀληθῆ⟩ b, ⟨κέτι κατὰ φύςιν⟩ KLehrs, ⟨πάντοτε, πρὸς δὲ καιρὸν⟩ RSkrzeczka | 2. lac. expl. b | αληθη A | 3. lacunas 1 3. 6. 7. 8. explevit b | 11. τοὺς μαχομένους b, τοις μαχομενοις A | ςυνδέςμους b, ςυνδεςμοις A | 16. ως in A esse videtur, ω b | ἢ add. b | 20—21. ⟨ςυνδέςμων. ἐκκείςθ⟩ RSchneider, ...ἔςτω b; verum in A nihil cernitur praeter ω, quae est prima littera in fol. 96r. | 21. ἡμέρα ἐςτί δεδήλ b | 22. έτι b | 23. φῶς ἐςτίν b in textu, φῶς ἐςτί b in var. lect. ex A | καὶ ζῶ καὶ b, in A plura intercidisse videntur, ⟨καὶ λεκτέον· εἰ ζῶ, καὶ⟩ GUhlig | 24. ⟨ἤτοι ζῶ ἢ ἀνα⟩b | 25. ⟨ἀπαράδεκτός ἐςτι τοῦ διαζε⟩ RSchneider | punctum post προείπομεν posuit RSchneider | 25—26. lac. explevit RSchneider

ἐπὶ ⟨τοῦ τοιούτου τὸ⟩ cυναπτικὸν οὐ cυcτήcεται. ἐπεὶ ἅμα τῷ λέγειν ⟨ἡμέρα ἐcτ⟩ίν δεδήλωται ὅτι οὐ νύξ. τὸ δ' ἐν cυναφείᾳ ⟨δεῖ καὶ ἐν⟩ ἀκολουθίᾳ καθίcταcθαι. τὰ μέντοι ὑπολειπο . . . τα τῶν λόγων, λέγω τὰ μὴ ὑποπίπτοντα ⟨ὑπὸ τὸ τοιοῦ⟩τον εἶδος, ὑπ' αὐτῶν τῶν cυνδέcμων πείcεται ⟨τὸ διεζεῦχ⟩θαι ἢ cυνῆφθαι. ὡc εἴ τιc λέγοι

ἠὲ διαπρα⟨θέειν ἢ ἄν⟩διχα πάντα δάcαcθαι (C 511)

καὶ διαπραθέειν ⟨καὶ ἄνδι⟩χα πάντα δάcαcθαι. καὶ ὃν τρόπον οὐχ οἷόν ⟨τε⟩ παντὶ πτωτικῷ ἄρθρον προcνέμειν, τῷ δὲ ⟨δυνα⟩μένῳ ἐπιδέξαcθαι, τὸν αὐτὸν τρόπον οὐχ οἷόν τέ ἐcτι ⟨παντ⟩ὶ λόγῳ πάντα cύνδεcμον cυντάττειν. λέγω δὲ ⟨λόγον⟩ τὸν δι' ἑαυτοῦ ἐπαγγελλό- 484 μενον cυνάφειαν. ἐφ' οὗ γὰρ ὁ διαζευκτικόc, ἐκεῖ οὐχ ὁ cυναπτικόc· καὶ ὅπου ὁ cυναπτικόc, ἐκεῖ οὐκέτι ὁ διαζευκτικόc. καὶ cαφὲc ἐκ τοῦ προκειμένου, ὡc μάχεται ἥ τε τῶν cυναπτικῶν ἐπαγγελία, καὶ ἔτι τῶν cυμπλεκτικῶν, πρὸc τὴν τῶν διαζευκτικῶν, καθ' ἕνα τρόπον τῶν cυμπλεκτικῶν ἀδιαφορούντων. ὡc γὰρ οἱ διαζευκτικοὶ οὐκ ἐν ἀκολουθίᾳ, οὐδ' οἱ cυμπλεκτικοί. εἰ γὰρ ὧδ' ἀποφαινοίμεθα, ἤτοι ἡμέρα ἐcτὶν ἢ νύξ ἐcτιν, ἢ καὶ κατὰ ἀναcτροφήν, ἤτοι νύξ ἐcτιν ἢ ἡμέρα ἐcτίν, ἀδιαφορεῖ, ὡc εἰ καὶ Ἀπολλώνιοc παρέcται καὶ Τρύφων παρέcται, καὶ Τρύφων παρέcται καὶ Ἀπολλώνιοc.

Μηδὲ τὸ πρὸc τῶν Cτωικῶν λεγόμενον παραλείπωμεν, παρ' οἷc ἐcτί τιc διαφορὰ ἐν τοῖc κατὰ φύcιν διεζευγμένοιc μαχομένου καὶ ἀντικειμένου. καὶ ἦν μαχόμενον τὸ μὴ δυνάμενον κατὰ τὸ αὐτὸ παραληφθῆναι, ὑπὲρ οὗ καὶ ἐν τοῖc προκειμένοιc εἴρηται, ἡμέρα ἐcτὶν ἢ νύξ ἐcτιν, ἢ φθέγγομαι ἢ cιγῶ, καὶ ἔτι τὰ τούτοιc ὅμοια. ἀντικείμενον δὲ τὸ πλεονάζον ἀποφάcει, ὅπερ δυνάμει πάλιν μαχόμενον, ⟨ἢ φθέγγομαι ἢ οὐ φθέγγομαι⟩, ἢ ἡμέρα ἐcτὶν ἢ οὐκ ἔcτιν ἡμέρα. ⟨ὁ γὰρ ἕτεροc λό⟩γοc ἐπλεόναcε τῇ ἀποφάcει. ἡ γὰρ φ . . . . ἢ κάθημαι ἢ οὐ κάθημαι. καὶ τοῦτό φαcιν ⟨διαφέρειν τὸ ἀντικείμενον⟩ τοῦ μαχομένου, ᾗ τῷ μὲν μαχομένῳ πάντωc ⟨τι⟩ ἀντιcτατοῦν

Argum. 20 Stoici praecipiunt, in rebus disiunctis differre ἀντικείμενον a μαχομένῳ: μαχόμενον enim est, quod una cum altero esse non potest; ἀντικείμενον est idem, quod antea positum erat, sed adiecta negatione.

Testim. 25 Sext. Emp. adv. Math. VIII 89 *φασὶ γὰρ (οἱ Στωικοί)· ἀντικείμενά ἐστιν, ὧν τὸ ἕτερον τοῦ ἑτέρου ἀποφάσει πλεονάζει, οἷον ἡμέρα ἐστίν οὐχ ἡμέρα ἐστίν· τοῦ γὰρ 'ἡμέρα ἐστίν' ἀξιώματος τὸ 'οὐχ ἡμέρα ἐστιν' ἀποφάσει πλεονάζει τῇ οὐχί, καὶ διὰ τοῦτ' ἀντικείμενόν ἐστιν ἐκείνῳ.*

Discr. script. 1. lac. explevit RSchneider, idemque l. 2. 4. | 5. lac. l. 5. 6. 7. 8. 9 explevit b | 10. ⟨λόγον⟩ RSchneider | 16. glossema ab A¹ αντι του ουτωc το ωδε in margine | 25. post μαχόμενον aliquid erasum extr. fol. 96 r, in fol. 96 v. lacuna, quam explevit RSchneider | 27. lac. explevit RSchneider | 28. τουτο φαcιν A, του . . . b | 28—29. lac. expl. RSchneider | 29. τω μεν μαχομενω παντωc est in A, τω . . . . . . b, τι addidit RSchneider

ἐπιφέρεται, ⟨τῷ δὲ ἀντικειμένῳ οὐκέτι⟩ . μὲν γὰρ εἰ οὕτως ἐπηνέχθη . . . . οὐκ ἔστιν ἡμέρα. δύο δὲ εἰ ουτ . . . . ἐστὶν ἡμέρα ἢ ἡμέρα ἐστίν. πλ . . . . γων ἔχει περισσὴν τὴν ἀπόφασιν . . . . . ἡμέρα οὐκ ἔστιν ἢ οὐχ ἡμέρα ἐστίν . . . τῶν λόγων μιᾷ ἀποφάσει πλεον . . . . . τήρησις παρὰ τοῖς Στωικοῖς ἀντι⟨κειμένου καὶ μα⟩χομένου. χρὴ μέντοι γινώσκειν ο . . . . . τὸ δηλούμενον. ἐν ᾧ γὰρ ἀποφάσκομεν τὸ ⟨ἡμέραν εἶναι⟩, ἐν τούτῳ καταλείπεται τὸ νύκτα εἶναι. ο . . . δὲ εἴρηται μαχόμενον ἀπὸ τῶν ἐν μάχῃ . . . οἷς παρέπεται τὸ μὴ συνεῖναι. φαμὲν γ . . . τησιν καὶ ἔτι ξυμβασίας τὰς φιλίας . . . . . καὶ τὰ κατὰ φύσιν ἦν διαζευκτικά.

Ἔστι καὶ τρίτη διαφορὰ τῶν προκειμένων συνδέσμων, ἡ παραδιαζευκτικὴ καλουμένη, ἐπαγγελίαν ⟨ἔχουσα⟩ τοιαύτην, ἢ τὸ ἓν ἢ καὶ τὸ συνὸν ἢ καὶ τὰ συνόντα ⟨τι⟩θέναι. διαφέρει δὲ τοῦ διαζευκτικοῦ τοῦ ἓν μ⟨όνον⟩ ἐπαγγελλομένου. καὶ ἡ γινομένη ἐν αὐτοῖς σύνδεσις ο⟨ὐκ ἂν⟩ δύναιτό ποτε ἀπὸ τῶν μαχομένων παραληφθῆναι, ἀπὸ δὲ τῶν ἑτέρων λόγων. οἷόν τε γάρ ἐστι τὸν παραδιαζευκτικὸν καὶ εἰς τὸν καί μεταλαμβάνεσθαι, παρ⟨εστή⟩σαμεν δὲ ὡς τὰ φύσει διεζευγμένα οὔ ποτε συμπλακήσεται. ἐκκείσθω δὲ ὑποδείγματα. ὁ ἀποφηνάμενος οὕτως,

ἢ νέος ἠὲ παλαιός (Ξ 108),

οὐχὶ τὸ ἕτερον ἀπαγορεύει, ὡς νέος μὲν βουλὴν εἰσηγησάσθω, παλαιὸς δὲ μή, ἢ παλαιὸς μέν, νέος δὲ μή, ἀλλὰ τοιοῦτόν τι ἀπαιτεῖ, κἂν νέος εἰσηγῆται κἂν παλαιός, παραδέξομαι. ὥστε ἢ τὸ ἓν αἰτεῖ ἢ τὰ δύο. καὶ αἱ τοιαῦται δὲ φρ⟨άσεις⟩ οὕτως ἔχουσιν, ἢ Ἀλκαϊκόν μοι χρῆσον ἢ Σαπφικόν. οὐ γὰρ ἐν ἀποφάσει τὸ ἕτερον, ὥσπερ ἐστὶν ἐπὶ τοῦ ἰατροῦ ἀποφαινομένου ἢ ῥοφημάτιον δὸς ἢ σευτλίον. . . . . γένοιτο. λέγω δὲ ἐπὶ τοῦ προ . . . . . τοῦ

ARGVM. 12 De subdisiunctivis. — Subdisiunctivae significant, vel hoc vel illud vel illa esse posse. — 18 Non possunt cum disiunctivis commutari, sed cum copulativis.

TESTIM. 2 Laërt. Diog. VII 73 *ἔτι τῶν ἀξιωμάτων κατά τ' ἀλήθειαν καὶ ψεῦδος ἀντικείμενα ἀλλήλοις ἐστίν, ὧν τὸ ἕτερον τοῦ ἑτέρου ἐστὶν ἀποφατικόν, οἷον τὸ 'ἡμέρα ἐστί καὶ οὐχ ἡμέρα ἐστί'. συνημμένον οὖν ἀληθές ἐστιν, οὗ τὸ ἀντικείμενον τοῦ λήγοντος μάχεται τῷ ἡγουμένῳ, οἷον 'εἰ ἡμέρα ἐστί, φῶς ἐστί'. τοῦτο ἀληθές ἐστιν, τὸ γὰρ 'οὐχὶ φῶς' ἀντικείμενον τῷ λήγοντι μάχεται τῷ ἡμέρα ἐστί. συνημμένον δὲ ψεῦδός ἐστιν, οὗ τὸ ἀντικείμενον τοῦ λήγοντος οὐ μάχεται τῷ ἡγουμένῳ, οἷον 'εἰ ἡμέρα ἐστί, Δίων περιπατεῖ'. τὸ γὰρ 'οὐχὶ Δίων περιπατεῖ' οὐ μάχεται τῷ 'ἡμέρα ἐστίν'.*

DISCR. SCRIPT. 1. lacunam expl. RSchneider | ⟨ἓν⟩ μὲν RRchneider | 2. οὕτ⟨ως ἐπηνέχθη· ἢ νύξ ἐστιν ἢ⟩ ἐστιν ἡμέρα, ἢ ἡμέρα ἐστὶν ⟨ἢ νύξ⟩. RSchneider. | 5. πλεο-ν⟨άζει. Παμπόλλη ἡ⟩ RSchneider | 6. lac. expl. b | ὅ⟨τι τοῦτο ἀδιαφορεῖ πρὸς⟩ GUhlig | 7. lac. expl. b | 8. ὃ ⟨διαζεύγνυται⟩ δὲ GUhlig | 12. inscriptionem περι παραδιαζευκτικων ex A add. b | 13. καλουμενη. quod habet A, om. b in textu, add. in var. lect. | lacunas l. 13. 14. 15—16. 18. 24. expl. b | 23. εισηγειται A | 26. σευτλιον ultima vox est in fol. 96 v., γενοιτο prima in fol. 98 r., ut fol. 97 et 98 sint commutata a bibliopega; verum ordinem restituit b

χρήσαντος. ἐφ' οὗ δὲ ἄγαν . . . . . αυται τῶν ἐλέγχων ἐπιγραφαὶ . . . . . Ἀχαιοὶ ἢ Πελοποννήσιοι· καὶ . . . . . . οὕτως ἂν ἔχοι. φωνή ἐστιν . . . . . . η τὸ ἴδιον αἰσθητὸν 486 ἀκοῆς . . . . . ⟨ἐζ⟩ητήθη διότι οὐ τακτέοι εἰσὶν ⟨εἰς τοὺς συμπλε⟩κτικούς, εἴγε ἀκώλυτον ἔχουσι τὴν ⟨εἰς αὐτοὺς μετά⟩ληψιν, καὶ νέος παλαιός καὶ παλαιὸς . . . μα ἐστι τοι οἷόν τε δρᾶσαι ἢ παθεῖν . . . δρᾶσαι. καί φησι Τρύφων (p. 35 Velsen), ὡς οὐ πάντως ⟨τὰ μεταλαμβ⟩ανόμενα εἰς τὸ αὐτὸ εἶδος ἐπάγεται. τὸ ⟨ἀκολου⟩θεῖ ῥῆμα μετάληψιν ἔχει τὴν εἰς τὸν εἴ σύνδεσμον· ⟨ἀκολουθ⟩εῖ τῷ ἡμέραν εἶναι τὸ φῶς εἶναι· ἴσον γὰρ ⟨τῷ εἰ ἡμέρα ἐστ⟩ί, φῶς ἐστίν. ἄλλως τε τὸ μὲν συμπλε⟨κτικὸν ἐξ⟩ ἀνάγκης πάντα τίθησι, καὶ νέος καὶ παλαιός· ⟨τὸ δὲ παρα⟩διαζευκτικὸν οὐκέτι, ἀλλὰ ἢ καὶ τὸ ἓν ⟨ἢ καὶ τὰ⟩ ἕτερα ἢ καὶ τὰ ἐπιφερόμενα. προσθείημεν ⟨δ' ἂν καὶ⟩ τοῦτο. ὃν τρόπον ὁ καλούμενος παρασυνα⟨πτικός,⟩ ἔχων καὶ ἐπαγγελίαν τὴν τοῦ συμπλεκτικοῦ, ἐν οἷς ⟨συμπλέκει λόγους⟩, ἔχων δὲ καὶ τὴν τοῦ συναπτικοῦ, ἐν οἷς ἀκολουθίας ἐστὶ παραστατικός, οὐκ ἀπὸ τῆς δυνάμεως τῶν συνδέσμων τὴν ὀνομασίαν εἴληφε, καλούμενος συμπλεκτικὸς ἢ συναπτικός, παρὰ δὲ τὸ συνημμένον ληφθεὶς παρασυναπτικὸς ὠνομάσθη, τὸν αὐτὸν τρόπον καὶ οἱ καλούμενοι παραδιαζευκτικοί, ἔχοντες μὲν τοῦ διαζευκτικοῦ τὸ ἓν παραλαμβάνειν, ἔχοντες δὲ καὶ τοῦ συμπλεκτικοῦ τὸ καὶ ἓν καὶ τὰ ἕτερα, πάλιν ἔτυχον τῆς ὀνομασίας, κληθέντες παραδιαζευκτικοί.

Καὶ τοσαῦτα μὲν περὶ τῆς ἐννοίας τῶν προκειμένων συνδέσμων. ῥητέον δὲ καὶ ὑπὲρ τῆς τάξεως. ὁ ἤ καὶ ὁ ἠέ διαφέρουσι τοῦ ἤτοι, καθότι οἱ μὲν καὶ προτακτικοί εἰσι καὶ ὑποτακτικοί,

κτείνῃς ἠὲ δόλῳ ἢ ἀμφαδόν (α 296),
ἠὲ διαπραθέειν ἢ ἄνδιχα πάντα δάσασθαι (Σ 511).

ὁ δὲ ἤτοι μόνως προτακτικός· οὐ γὰρ ἄν ποτε φήσαιμεν ἢ ἡμέρα ἐστὶν ἤτοι νύξ ἐστι. καὶ ἔτι ὁ μὲν ἤτοι ἅπαξ παραλαμβάνεται, οἱ δὲ ἄλλοι ἐπὶ πλεῖον παραλαμβάνονται κατὰ τὰς συνδέσεις, ἤτοι 487 Ἀπολλώνιος πάρεσται ἢ Διονύσιος ἢ Τρύφων. ⟨ὁ δὲ ἠέ τοῦ ἤ⟩

Argum. 10 Sed hac re differunt a copulativis, quod hae omnia necessario ponunt. — 26 Ἤ et ἠέ et in initio sententiae collocantur et postponuntur; ἤτοι non nisi in initio usurpatur, neque iteratur. — 31 Ἤ vulgo usurpatur, ἠέ poetarum est.

Discr. script. 2—3. ⟨ὁ τῆς φωνῆς ὅρος⟩ GUhlig ante οὕτως | 3. ⟨ἀὴρ πεπληγμένος⟩ ἢ GUhlig | l. 4. 4—5. 5. lacunas explevit b | 5—6. pro καὶ νέος παλαιός καὶ παλαιός conicit RSchneider ἢ νέος ἠὲ παλαιός, καὶ παλαιὸς ⟨καὶ νέος⟩, GUhlig καὶ 'νέος ⟨καὶ⟩ παλαιός' καὶ 'παλαιὸς ⟨ἢ νέος⟩' | 6. μα εστι A et b in var. lect., εστι b in textu, ⟨πρᾶγ⟩μά ἐστί τοι οἷόν τε δρᾶσαι ἢ παθεῖν et l. 7 ⟨καὶ παθεῖν καὶ⟩ δρᾶσαι GUhlig | lacunas l. 7—8. 8. 9. 10. explevit b | 12. ⟨τὸ δὲ παρα⟩ RSchneider, ⟨τὸ δὲ⟩ b | ⟨ἢ καὶ τὰ⟩ AdeVelsen RSchneider | 13. 14. lacunas explevit b | 14. μὲν pro καὶ conicit b | 15. ⟨συμπλέκει λόγους vel τοὺς λόγους⟩ RSchneider | 21. και erasum in A | 26. κτείνῃς Homerus vulg., κτεινεις A, κτείνας b | 31. πάρεσται] fol. 86 v. | lacunam expl. b

διαφέρει, ᾗ ὁ μὲν συνηθέςτερος . . ὁ δὲ ποιητικός. — Τὴν τῶν προκα⟨τειλεγμένων⟩ τάξιν ἔςτιν οἰκείως ἐκδέξαςθαι. ⟨οἱ συναπτι⟩κοὶ καὶ ὅςοι ἀκολουθίαν ἐπαγγέλλονται ⟨ἐν ἀρχῇ τῶν⟩ λόγων παραλαμβανόμενοι, οὐκ ἂν εὖ ⟨τεθεῖεν ἐν με⟩ταξύτητι· οἱ δὲ διαζευκτικοὶ οὐκ ἂν ⟨παραληφθεῖεν,⟩ εἰ μὴ ἐν μεταξύτητι τεθεῖεν. ὡς ἔφαμ⟨εν οὖν, τῇ δυνά⟩μει τῶν συνδέςμων ἡ θέςις ᾠκείωται.˙ ⟨τὸ μὲν γὰρ⟩ συναπτικὸν τὴν συνάφειαν ἐπαγγελλόμεν⟨ον ἔχει⟩ ἡνωμένην τῷ λόγῳ τὴν τάξιν, τὸ δὲ ⟨διαζευκτικὸν⟩ δηλοῦν τὸ ἀςυνύπαρκτον μεςάζεται κ⟨ατὰ τὴν⟩ τάξιν τῶν λόγων, ὡςανεὶ ἀπεῖργον ⟨τὸν ἕτερον⟩ τοῦ ἑτέρου λόγον. καὶ διὰ τοῦτο ἐν ἀρχῇ ⟨τοῦ λόγου⟩ τιθέμενοι οἱ διαζευκτικοὶ οὔ ποτε ς⟨υνδέουςι τοὺς⟩ λόγους· ἤτοι ἡμέρα ἐςτί νύξ ἐςτιν. εἰ δὲ ⟨οὕτως ἀπο⟩φαινοίμεθα· ἤτοι ἡμέρα ἐςτὶν ἢ νύξ ἐςτί⟨ν, οἰκείως⟩ ὁ λόγος συνδέδεται. καὶ ἀποβληθεὶς μὲν ὁ ἤ⟨τοι ἔτι⟩ τὴν διάζευξιν ἕξει, καθὸ εἰς τὴν οἰκείαν χώραν ⟨ἐτάχθη⟩ ὁ σύνδεςμος· ἀποβληθεὶς δὲ ὁ ἤ οὐ ποιήςει λό⟨γον, εἴγε⟩ πάλιν μὴ δεόντως ἐτέτακτο ὁ ἤτοι.

Ἔςτι ⟨καὶ τρί⟩τη διαφορὰ τοῦ ἤ συνδέςμου, ἥτις καλεῖται διαςαφητική. τοῦ μὲν γὰρ προτέρου ὕπαρξιν διας⟨αφεῖ⟩, τοῦ δὲ ἐπιφερομένου ἀναίρεςιν, βούλομαι πλουτεῖν ἢ πένεςθαι, βούλομαι φιλολογεῖν ἢ ςχολάζειν. ποιεῖται καὶ μετὰ τοῦ πέρ τὴν ςύνταξιν, ἡμέρα ἐςτὶν ἤπερ νύξ. ἴδιον δὲ ἔχει παρὰ τοὺς προκειμένους συν⟨δέςμους⟩ τὸ ἐν ἀρχῇ μὴ παραλαμβάνεςθαι, καθάπερ ἔχ⟨ουςιν⟩ οἵ τε διαζευκτικοὶ καὶ παραδιαζευκτικοί, ⟨ἤτοι⟩ ἡμέρα ἐςτὶν ἢ νύξ ἐςτιν. τῷ μέντοι διαςαφητικῷ συνδέςμῳ οὐκ ἄλλο τι ςύνεςτι μόριον
488 ἢ τὸ μᾶλλον καὶ ἧττον. καὶ ἦν ἡ τοιαύτη ἀφορμὴ ἀποδεικτική, καθότι προείπομεν ἐν τοῖς κατ᾽ ἀρχήν, τοῦ τὸ μᾶλλον καὶ ἧςςον συνδέςμους εἶναι, καὶ καθὸ δύναμις ἦν ἀντηρη . .

Argum. 5 Cum potestate coniunctionum locus, quem occupant, convenit. — 11 Proprius disiunctivorum locus medius inter sententias est. — 16 De disertivis. Ἤ coniunctionis tertia notio disertiva est. Significat prius poni, alterum tolli. — 21 Non potest primum sententiae locum occupare; potest cum μᾶλλον et ἧττον coniungi.

Discr. script. 1 post συνηθέςτερος nihil deesse videtur quam εςτι; certe lacunam multo ampliorem esse indicavit b quam est | lacunam l. 2 expl. b | 2. ⟨οἱ συναπτι⟩ GUhlig, ⟨οἱ συμπλεκτι⟩ b in var. lect. | 3. lacunam expl. b | 4. ἂν εὖ] ανευ A, αν b, qui lacunam expl. et l. 4. et 5. et 6. | 6. οικειωται A | 7. lacunam expl. RSchneider | 8—9. lacunas expl. b | 10. lacunam expl. RSchneider | 11. lacunam expl. b | 11—12. ει δε ϲ in A esse dicit b, εἰ δὲ ⟨οὕτως ἀπο⟩ RSchneider | 12. ἤτοι om. b in textu, addidit ex A in var. lect. | 12. 13. 14. 15. lacunas expl. RSchneider, l. 13. ἤ⟨τοι⟩ etiam b in var. lect., l. 14. GUhlig conicit ⟨ᾔει⟩, l. 15. ποιήςει . . . . b, sed ποιηςει λο . . . est in A | 16. 17. 21. lacunas expl. b | 22. ⟨ἤτοι⟩ b in var. lect., ἤ in textu, quasi esset in A, sed deest in A | 25. αρχην voci signum ·/. adscripsit·et in marg. αποδεικτικοις addidit A² | 26. αντηρη . . in fine versus, ubi sub charta a bibliopega membranae illita litterae paucae latere videntur, καθὸ ⟨οὐδ᾽ ἡ⟩ δύναμις ἦν ἀντήρη⟨ς⟩ vel καθὸ ⟨οὐδὲ⟩ δύναμις ἦν ἀντήρη⟨ς αὐτοῖς⟩ GUhlig

Ἔcτι μέντοι καὶ ὑπὲρ τοῦ ἢ ζήτηcιc, πότερον εἰc τὰ ἐπιρρήματα καταταγείη ἢ εἴπερ εἰc τοὺc cυνδέcμουc. — δῆλον ὡc καὶ τὸ ἀνθυπαγόμενον μόριον, λέγω δὲ τὴν οὔ ἀπόφαcιν, εἰc τοὺc cυνδέcμουc παραλαμβάνοιτο ⟨ἄν· ἡμέρα⟩ ἐcτὶν ἢ νύξ· πλουτεῖν βούλομαι ⟨ἢ πένεcθαι⟩. ἔcτι τὸ αὐτὸ οὕτωc ἀποφήναcθαι· ⟨πλουτεῖν βούλομαι,⟩ οὐ πένεcθαι· ἡμέρα ἐcτίν, οὐχὶ δὲ ⟨νύξ. Ἀλλὰ δείξομ⟩εν ὡc οὔτε ὁ προκατειλημμένοc cύν⟨δεcμοc ἄλλο⟩ τι κεκλήcεται ἢ cύνδεcμοc, οὔθ' ἡ ἀπό⟨φαcιc⟩ . . cει ἢ ἐπίρρημα. πρῶτον, ὡc καὶ ἄλλοτε ⟨ἐδείξαμεν, τὰ⟩ ἀνθυπαγόμενα οὐκ εἰc τὰ αὐτὰ μέρη λόγου ⟨παραλ⟩ηπτά ⟨ἐc⟩τιν ἐν τῷ καθόλου, εἴγε ἐδείξαμεν ἐν τῷ . . ῥήματι τό⟨ν⟩ ἄν cύνδεcμον ἀντιπαραλαμβανόμενον ⟨κατὰ⟩ πλείονα, ὥcτε οὐδὲ κατὰ τοῦτο τῷ ἢ τὸ οὔ ⟨τὸ αὐτό⟩. δεύτερον οἱ cύνδεcμοι cυccημαίνουcιν, αὐτόθεν δὲ ⟨ἡ ἀπόφ⟩αcιc τὸ δηλούμενον προφανὲc ἔχει. τρίτον ⟨οἱ cύνδεc⟩μοι κατ' ἰδίαν οὐ ῥητοί, ἐπεὶ πόθεν cύνδεcμοι; . . . τὸ[ν] μὲν ἤ, cύνδεcμον ἐπαγγελλόμενον, οὐ ῥητὸν κα⟨τ' ἰδίαν⟩, ἡ δὲ οὔ ἀπόφαcιc. τέταρτον τὰ ἐπιρρήματα ⟨παράγετ⟩αι, οὐχὶ οἱ cύνδεcμοι. τὸ οὔ ἐν τῷ οὐχὶ παράγεται, ⟨τοῦ ἢ οὐχ⟩ οὕτωc ἔχοντοc. τὸ δὲ πάντων cυνεκτικώτατον· ⟨ἡ⟩ ἀπόφαcιc πρὸ ῥήματοc ἐπιταccομένη ποιεῖ αὐτο⟨τέλειαν⟩ οὐ γράφω, οὐ περιπατῶ. ἦν δὲ τὸ τοιοῦτον ἴδιον ⟨ἐπιρ⟩ρημάτων. ὁ δὲ ἢ οὐδέποτε τὸ τοιοῦτον ἀπετέλεcε . . τοῦ δ' ἑτέρου λόγου ἐξ ἀνάγκηc παραλαμβανομένου . . ὅπερ ἦν ἴδιον cυνδέcμου, γράφω ἤπερ λέγω, διαλέγομαι ἤπερ ἀναγινώcκω. ὑγιῶc ἄρα ὃ μὲν ἐπίρρημα κεκλήcεται, ὃ δὲ cύνδεcμοc.

Φαίνεται δὲ ὅτι ἡ τοιαύτη διαφορὰ τοῦ cυνδέcμου ἀπὸ τῆc διαζευκτικῆc cυνδέcεωc μετέβαλεν εἰc τὴν διαcαφητικήν, ὡcεὶ ἐπικριτικὴ 489 γενομένη τῆc διαζεύξεωc. ἐκκείcθωcαν γὰρ αἱ διαφοραί. ἐπαγγέλλεται γὰρ τὸ διαζευκτικόν, ἐὰν τοῦτο, οὐ τοῦτο· εἰ τοῦτο μή, τοῦτο. καὶ ἔτι, ἢ τοῦτο ⟨ἢ⟩ καὶ τὸ cυνὸν ἢ ⟨τὰ⟩ cυνόντα . . . ὅπερ καλεῖται

Argum. 1 Ἢ quod cum οὔ adverbio commutaretur, quidam in adverbiorum numerum referebant. At est coniunctio. — 26 Sic igitur tres ἤ particulae inter se differunt, ut disiunctiva significet: 'si hoc, non illud'; subdisiunctiva: 'vel hoc, vel illud, vel aliud quid'; disertiva: 'hoc, non illud'.

Discr. script. 4. παραλαμβανοιτο esse videtur in A, extremo fol. 98 v., παραλαμ b, παραλαμ⟨βάνοιτο⟩ etiam RSkrzeczka, qui ἄν addidit, deinde ἡμέρα adiecit b, ἤτοι ἡμέρα RSkrzeczka | ἐcτὶν ἢ νύξ] fol. 97 r. | 5. 5—6. lacunas expl. b | 6. ⟨νύξ⟩ b et RSkrzeczka, ⟨Ἀλλὰ δείξομ⟩ RSchneider | 7. lacunam expl. b | 8. ⟨φαcιc⟩ b, qui etiam l. 9. 9—10. lacunas explevit | 10. ἐν τῷ ⟨περὶ ἐπιρ⟩ρημάτ⟨ων⟩ GDronke | 11. τὸν RSchneider, τὸ A b | κατὰ et l. 12 τὸ αὐτὸ add. RSchneider | 13. 14. lacunas explevit b | 14. post cυνδεcμοι sex fere litterae interciderunt in A, quas fuisse ἀλλὰ μὴν suspicatur RSchneider | 15. sic locum restituit RSkrzeczka | κα⟨θέcτηκεν⟩ b in var. lect. | lacunas l. 15. 16. 17. 18. 19. 20. expl. b | 25. μετέβαλεν b, μετεβαλλεν A | 27. εἰ τοῦτο μή, τοῦτο sic interpunxit GUhlig, εἰ τοῦτο, μὴ τοῦτο b | 28. ἢ b in var. lect. | ⟨τὰ⟩ RSchneider, qui lacunam post cυνόντα sic explet, siquidem has litteras capere potest: ⟨ἢ καὶ τὰ ἐπιφερόμενα⟩

παραδιαζευκτικόν. τὸ δὲ λειπόμενον, τοῦτο, οὐ τοῦτο. τέθειται γὰρ τὸ πλουτεῖν βούλομαι ἀνῃρημένου τοῦ πένεσθαι. καί μοι δοκεῖ ἕνεκα τούτου σύνδεσμον ἔξωθεν μηκέτι παραδεδέχθαι ὁ τοιοῦτος λόγος, εἰς δὲ ἐπίτασιν τὸ ἐπιτατικὸν ἐπίρρημα, λέγω τὸ μᾶλλον. ἐπεὶ δὲ τὸ μὲν ἐν ἀρχῇ τοῦ λόγου ἀναδεξάμενον τὸν ἤ ἢ τὸν ἤτοι ἀναμφίλεκτόν ἐστιν ἢ διαζευκτικὸν ἢ παραδιαζευκτικόν, τὸ δὲ μὴ οὕτως ἔχον ἤτοι πάλιν διαζευκτικόν ἐστιν ἢ καὶ διασαφητικόν, φαίνεται ὅτι διὰ τὸ τοιοῦτον ἀμφίβολον . . . ⟨τοῦ τε⟩ διασαφητικοῦ καὶ τοῦ διαζευκτικοῦ. ⟨ἐπὶ μὲν τοῦ⟩

⟨βού⟩λομ' ἐγὼ λαὸν σάον ἔμμεναι ἢ ἀπολέσθαι (Α 117)

⟨οὐ⟩ διστάζομεν, ὅτι ὁ ἤ νῦν διασαφητικός, ⟨εἴγε⟩ ἐν διαζεύξει γινόμενον γέλοιον· ἐπὶ μ⟨έντοι τοῦ⟩

πάντες κ' ἀρησαίατ' ἐλαφρότεροι πόδας εἶναι
ἢ ἀφνειότεροι χρυσοῖό τε ἐσθῆτός τε (α 164)

ὅ . . . . . τὸν ἕτερον νῦν παραδέξασθαι. τὸν δὲ ἕτερον . . . . . δύναται γὰρ διαζευκτικὸς εἰρῆσθαι τοῦ . . . πληροῦντος. εὔξονται ταχεῖς γενέσθαι, ἵνα ⟨ἀποφύγωσιν⟩ Ὀδυσσέα, ἢ ἄγαν πλούσιοι, ἵνα πείσωσι . . . εἴη παραπληρωματικὸς ὁ κέ. φαίνεται ὅ⟨τι διασαφη⟩τικός ἐστι. μᾶλλον γὰρ εὔξονται ταχεῖς γενέσθαι ⟨ἤπερ⟩ ἄγαν πλούσιοι. ὅπερ καὶ μᾶλλον, καὶ καθόλου . . . . σύνδεσμος καὶ καθὸ ὑποβάλλει ὁ λόγος . . . . που

Εὐρύμαχ', οὐδ' εἴ μοι πατρώια πάντ' ἀποδοῖτε (χ 61).

Ἑξῆς ῥητέον περὶ τῶν διαπορητικῶν.

490 Ἆρα. Οὗτος κατὰ πᾶσαν διάλεκτον, ὑπεσταλμέ⟨νης⟩ τῆς κοινῆς καὶ Ἀττικῆς, ἦρα λέγεται·

ἦρ' ἔτι π⟨αρ⟩θενίας ἐπιβάλλομαι,

Σαπφώ (fr. 52 Ahrens, 102 Bergk[3]).

ἦρ' ἔστι θ' ὕδωρ σ . . . . (lyr. gr. III[3] p. 1358 Bergk)

ἐπὶ τοῦ τοιούτου οὐκ ἐμποδίζοντός τινος συ⟨ναλοι⟩φὴν ἐκδέξασθαι, Τρύφων (p. 35 Velsen) φησὶν ἀποκοπὴν παρηκολουθηκέναι. καὶ ἔτι

ἦρά κεν ἐν δεσμοῖς ἐθέλοις.

παρ' Ἀλκμᾶνι (fr. 61 Bergk[3])

Argum. 24. De dubitativis. — Ἆρα est et communis et atticae dialecti, ceterarum ἦρα.

Testim. 24 Schol. Dion. Thr. BA 968, 23. — 19 Schol. α 165.

Discr. script. 7. ὅτι διὰ] fol. 97 v. | 8. inter αμφιβολον et διασαφητικου b inseruit ⟨τοῦ τε⟩, sed fere decem litterae interciderunt | lacunas l. 9. 10. 11. 12. explevit b | 15. inter ὁ et τον ετερον novem fere litterarum spatium in A | 17. ινα nunc evan. in A | 24. inscriptionem διαπορητικοι ex A add. b | lacunam expl. b | 26. παρθενίας GHermann, π⟨αρ⟩θενίης Ab, παρθενικὰς schol. Dion. Thr., παρθενίαν σ' vel παρθενία, σ' JAHartung, παρθενίκαις ThBergk | 28. 'unde sit petitum, prorsus incertum' ThBergk | 29. lacunam expl. b | 31. κεν ἐν b, κεν ον A

p. 490, 13 — 492, 16 b

ἦρα τὸν Φοῖβον ὄνειρον εἶδον.

Ἀρχίλοχος (fr. 86 Bergk³) μέντοι κοινότερον ἔφη

ὡς ἆρ᾽ ἀλώπηξ καἰετὸς ξυνωνίην.

Καί πού τινες τὸν ἤ τὸν αὐτὸν ἐξεδέξαντο τῷ ἄρα, ὡς ἀποκοπῆς γεγενημένης ἀπὸ τοῦ ἦρα, ὡσεὶ καὶ εἴ τις ἐκδέξαιτο τὸ δῶμα καὶ τὸ δῶ. ἀλλ᾽ οὐκ ⟨ἐστὶν⟩ ὑγιές, οὐ τοῦτό μου ἀποφαινομένου, ὡς οὐκ ἔνδεκτ⟨ον⟩ ἀποκοπῆναι σύνδεσμον· δεδείξεται γὰρ τὸ τοιοῦτον. τὸ γοῦν

ὅ μοι γέρας ἔρχεται ἄλλῃ (Α 120)

οὐκ ἄν ποτε ἀποδ⟨εξαίμην⟩, καθό τινες ᾠήθησαν, ἄρθρον ἀντὶ συνδέσμου παρειλῆφθαι, μᾶλλον δὲ ἀποκοπὴν εἶναι τοῦ ὅτι. ἀλλ᾽ οὐχ, ὥς τινες, ὁ ἤ ἐν ἀποκοπῇ γενόμενος τοῦ ἦρα. σαφὲς ἐντεῦθεν. πᾶσα λέξις ὁτιδήποτε παθοῦσα ἔχει καὶ τὸ ἴδιον δηλούμενον, καὶ εἴ τινος τάξεως τύχοι, ταύτης πάλιν οὐ μετατίθεται. φαμὲν ⟨δῶ·⟩ . . . . ἀλλὰ πάλιν δηλοῦται τὸ δῶμα . . . . . . τὰ πάθη οὐ τῶν δηλουμένων . . . . καὶ ἡ παρά λέγεται πάρ, πὰρ Ζηνί, παρφολω . . . δηλοῖ ἐντελοῦς τῆς πάρα. ἀλλὰ μὴν . πισο . . . οὐ παρὰ τὸ πάθος ἐναλλαγὴν τῆς . . . . . εν. 491 εἴπερ οὖν καὶ ὁ ἦρα μόνως ὢν προτα⟨κτικὸς⟩ ἀπεκέκοπτο, καὶ πάλιν κατ᾽ ἀρχὰς παρε⟨λαμβ⟩άνετο. ὅπερ οὐ παρείπετο· εἰς γὰρ τοὐναντίον ἐχώρησε, τ⟨ὸ⟩ ἐν μέσῃ τῇ φράσει παραλαμβάνεσθαι. — ἀλλ᾽ οὐ⟨δ᾽ ὁ ἐν⟩ ἀρχῇ ἤ πάλιν ἀποκοπή ἐστι τοῦ ἦρα. φαμὲν γὰρ . . .

ἤ δολιχὴ νοῦσος ἤ Ἄρτεμις ἰοχέαιρα (λ 172)·

ἦν γὰρ ⟨ἂν περισ⟩πώμενος, εἴγε ἡ βαρεῖα ἀποκοπτομένη τὸν ⟨αὐτὸν⟩ τηρεῖ τόνον ⟨ἐν⟩ τῷ ὑπολειπομένῳ, δῶμα δῶ. — (καὶ ⟨ἕνεκά⟩ γε τούτου τὴν νῶι ἀντωνυμίαν, μονοσύλλαβον ⟨εὑρισκομ⟩ένην παρ᾽ Ἀττικοῖς ἐν τῷ νώ, οὔ φαμεν ἀποκεκόφθαι. ⟨ἤ⟩ εἴπερ ἀποκοπή, ὑφ᾽ ἑτέρου λόγου τὰ τοῦ τόνου ⟨μετ⟩ετέθη· οὗ τὴν ἀπόδειξιν ἐν τῷ περὶ ἀντωνυμιῶν ἐξε⟨θέμ⟩ην). — σαφὲς οὖν ὅτι οὔτε ἡ τοῦ προτακτικοῦ φωνὴ ἀπεκόπη τοῦ ἦρα διὰ τὸν τόνον, οὔτε ἡ τοῦ ὑποτακτικοῦ διὰ τὴν

Argum. 4 Ἤ quidam ex ἦρα decurtatum esse contenderunt; id si esset, eundem in oratione locum atque ἦρα occuparet. Deinde oportebat ἤ perispomenon esse.

Discr. script. 1. ἦρ᾽ αὐτὸν ThBergk | 2. καινοτερον A | 3. και in ras. Aˣ, ετος fere evan. in A | ξυνωνιην A, quod servavit ThBergk, ξυνωνίαν b | lacunas l. 6. 7. 9. expl. b | 10. χ ante ωc add. Aˣ | 13. φαμεν ultima vox fol. 97 v., in fol. 100 r. lacuna duodecim tredecimve litterarum, sequuntur αλλα παλιν | 15. lacunam GUhlig sic explet ⟨ἀλλὰ τῶν φωνῶν ἐστι⟩ | 16. ante δηλοι in A esse videtur . . . αττον | 18. lacunam expl. b | παλιν A, πάλιν ἂν b in textu, πάλιν ⟨ἂν⟩ id. in var. lect. | lacunas l. 19. 20. 21. 23. 24. expl. b | 21. γὰρ ⟨ὀξυτόνως⟩ b in var. lect. | 24. τηρει nunc evan. in A | ⟨ἐν⟩ τῷ ὑπολειπομένῳ vel τοῦ ὑπολειπομένου RSkrzeczka | 25. lac. expl. b | 26. κοφθαι nunc evan. in A | ⟨ἤ⟩ εἴπερ b in var. lect., . . εἴπερ A et b in textu, εἰ δὲ RSkrzeczka | ἀποκοπή Ab in textu, ἀπεκόπη b in var. lect. | lacunas l. 27. 28. expl. b | 29. δια et p. 225, 2 η nunc evan. in A

σύνταξιν. — Τρύφων (p. 36 Velsen) δέ φησιν ὡς ὁ διαζευκτικὸς ἤ παραλαμβάνεται εἰς τοὺς διαπορητικοὺς κατ' ἀρχὰς ⟨λόγους⟩, ὡς ἐπὶ τοῦ

ἦ ἤδη σάφα οἶδεν (ω 404)·
ἦ δολιχὴ νοῦσος, ἦ Ἄρτεμις ἰοχέαιρα (λ 172).

οὐ πάνυ δὲ ἀναγκαῖον. τί γὰρ τὸ κωλῦόν ἐστιν ὁμοφωνεῖν τῷ διαζευκτικῷ τὸν ἤ σύνδεσμον, ὄντα διαπορητικόν, εἴγε καὶ ἐπ' ἄλλων πλειόνων τὸ αὐτὸ παρέπεται;

Μηδ' ἐκεῖνο δὲ παραλείπωμεν, ὥς τινες ὑπέλαβον τὸν ἄρα σύνδεσμον μὴ εἶναι, «εἴγε τοῦ ἰδίου τῶν συνδέσμων ἐκτὸς πίπτει. τὸ ἡμέρα ἐστίν αὐτοτελές, ἀλλὰ τὸ ἤτοι ἡμέρα ἐστίν οὐκ αὐτοτελές, οὐδὲ τὴν αὐτὴν θέσιν ἐπαγγελλόμενον τῷ ἡμέρα ἐστίν· καὶ ἐπὶ τῶν ἄλλων τὸ αὐτό· ἐν μέντοι γε τῷ ἡμέρα ἐστί, λέγω κατ' ἐρώτησιν, οὐδὲν πλεῖον νοεῖται μετὰ τοῦ ἄρα. εἴτε ἄρα τὸ πρότερον αὐτοτελές, καὶ τὸ μετὰ τοῦ ἄρα· εἴτε ἐλλειπές, πάλιν τὸ αὐτό. — ἔτι ὅτε φαμὲν
492 οὕτως ἄρα ἡμέρα ἐστὶν ἢ νύξ, σύνδεσιν ἐποιησάμεθα οὐ διὰ τοῦ ἄρα, διὰ δὲ τοῦ ἤ. καὶ τοῦτο σαφές ἐστιν ἐκ τοῦ τὸν μὲν ἤ ὑποστελλόμενον ἀσύστατον τὸν λόγον καταλιπεῖν, τὸν δὲ ἄρα μηκέτι».

Ἕνεκά γε τοῦ τοιούτου οὐδὲ τὸν ἤ σύνδεσμον καταλείψομεν. ἔστι γάρ που τοιαύτη φράσις· ἀναγινώσκεις, οὐκ ἀναγινώσκεις· ἀπέρχῃ, οὐκ ἀπέρχῃ. ἀλλ' ὡ⟨μολογη⟩μένως λείπεται ἡ φράσις τοῦ ἤ. . . . .

ᾔομεν, ὡς ἐκέλευες, ἀνὰ δρυμά, ⟨φαίδιμ' Ὀδυσσεῦ·⟩
εὕρομεν ἐν βήσσῃσι τετυγμένα δώμ⟨ατα καλά⟩ (κ 251—52)·

λείποντος τοῦ καί. καὶ οὐχὶ παρὰ τὰς ἐλλ⟨είψεις⟩ οὐ σύνδεσμοι. — (ἀλλὰ μὴν οὐδὲ ἄλλη λέξις, ⟨εἰ καὶ ἔσθ' ὅτε πλε⟩ονάσαιεν, οὐ παρὰ τοῦτο πλέον τι ἀναδ⟨εδεγμέναι⟩ εἰσί, λέγω καθόλου ἐπὶ πασῶν λέξεων). — τὸν ⟨αὐτὸν δὴ⟩ τρόπον ἐν φράσει ἐὰν ἐλλείπῃ ὁ ἄρα, οὐ πάντως ⟨οὐ⟩ σύνδεσμος. — ἔτι ὁ ἤτοι ὡμολόγηται ὅτι σύν⟨δεσμος δια⟩ζευκτι-

---

ARGVM. 8 Quidam negant ἄρα coniunctionem esse; nam ea utrum ponatur necne, nihil ad sententiam interesse. — 18 Sed etiam aliae voces modo ponuntur, modo omittuntur, — 25 neque quidquam ex ea re de eorum merismo colligitur.

DISCR. SCRIPT. 1. KLehrs post ἀρχὰς inseruit ⟨λόγους⟩; b puncta . . post διαζευκτικὸς et ἀρχὰς posuit, verum nullum in A lacunae indicium | 4. νοῦσος ἦ KLehrs, νοῦσος ἢ b | 11. οὐδὲ τὴν b, ου την A[1], sed δε adiecit A[2] |. 13. ἄρα GUhlig, γὰρ A b | ελλειπες A, ἐλλιπὲς b | 20. ἀπέρχῃ] fol. 100 v. | lacunam sic expl. b, sed amplior esse videtur in A | 21. post ἤ quindecim fere litterae evan. in A, cuius rei mentionem non fecit b | 22. lacunam expl. b | 23. βισσησι A | ⟨ατα⟩ b, ⟨καλά⟩ adiecit RSchneider pro lacunae ambitu | 24. lacunam expl. b | οὐ σύνδεσμοι GUhlig, οἱ σύνδεσμοι A b | 25. ⟨εἰ καὶ ἔσθ' ὅτε⟩ adiecit RSchneider, ⟨πλε⟩ b | 26. 27. lacunas expl. b | 28. οὐ σύνδεσμος. — ἔτι scripsit RSchneider secutus b, qui in textu . . σύνδεσμος. ἔτι, in var. lect. ⟨οὐ⟩ σύνδεσμος ἔτι. edidit

κός, καὶ δῆλόν ἐστιν ὡς μόνος οὐ ποιεῖ ⟨διάζευξιν⟩ εἰ μὴ παραλάβοι τὸν ἤ. τὸ αὐτὸ οὖν παρακ⟨ολουθήσει⟩ τῷ ἆρα. — «Ἀλλ᾽ οὐδὲν πλέον σημαίνει ἐν τῷ ἆρα ἡ⟨μέρα ἐστίν⟩.» — Ἕνεκα τοῦ τοιούτου οὐδ᾽ ὁ καί σύνδεσμος οὐδ᾽ ὁ ⟨ὅτι⟩· τὸ γὰρ αὐτὸ ἐπαγγέλλεται τὸ καὶ γράφω καὶ γράφ⟨ω⟩. — πολλάκις ἐγκειμένων τινῶν κατά τινας λέξεις . . παραλαμβάνομεν τοῦ αὐτοῦ δηλουμένου παραστα⟨τικὰ⟩ μόρια. οἷον ἐν συγκριτικοῖς ἔγκειται τὸ μᾶλλον· ἀλλὰ ⟨καί⟩ φαμεν ταχύτερον μᾶλλον περιπάτει,

ῥηΐτεροι γὰρ μᾶλλον (Ω 243)·

καὶ οὐ πάντως ἕνεκα τοῦ τοιούτου ἀποβλητέον τὸ μᾶλλον ὡς οὐκ ἐπίρρημα. — ἔτι γε μὴν πρὸς τὰς ἐρωτήσεις ὁτὲ μὲν οὕτως ὑπαντῶμεν· «πεποίηκας»; ἀποκρινόμενοι τὸ ναί ἢ διὰ τοῦ ὁρισμοῦ τοῦ ναὶ πεποίηκα. καὶ πάλιν οὐκ ἀπόβλητον τὸ ναί τῶν ἐπιρρημάτων. καὶ ἐπ᾽ ἄλλων ἀπείρων ἔστι τὸ τοιοῦτον παραστῆσαι. τί οὖν τὸ ἐμπόδιον καὶ τῷ ἆρα συνδέσμῳ τὸ αὐτὸ παρακολουθῆσαι;

Τινὲς δὲ καὶ τῶν φιλοσόφων «εἰς ἀναπόλησίν φασι τῆς ἐρωτήσεως 493 τὸν ἆρα παραλαμβάνεσθαι, καθότι καὶ εἰς πλείονα συγκατάθεσιν τὸ ναὶ γέγραφα, καὶ εἰς μᾶλλον ὕπαρξιν τὸν καί ἐν τῷ καὶ γράφω». — ἔλαθε δὲ αὐτούς, ὅτι καὶ ἐν τῷ ἆρα ἡμέρα καὶ ἔτι τοῖς παραπλησίοις ἐλλειπτικός ἐστιν ὁ λόγος, ἀπεκδεχομένων ἡμῶν τὰς συμβολικὰς φωνάς, λέγω τὴν οὔ καὶ τὴν ναί. τὰ γὰρ ἐντελῆ ἐστι τοιαῦτα, ἡμέρα ἐστὶν ἢ οὔ; ἡμέρα ἐστὶν ἢ νύξ; Τρύφων παρεγένετο ἢ οὔ; Τρύφων παρεγένετο ἢ Διονύσιος; — Προσθείημεν δ᾽ ἂν καὶ τοῦτο, ὡς καθόλου οἱ τοιοῦτοι λόγοι ἐκ διαζευκτικῆς φράσεως μετατέθεινται εἰς διαπορητικὴν ⟨σύνταξιν· καὶ γὰρ κατ᾽⟩ ἐρώτησιν διαπορούντων ἡμῶν τι ⟨πρός τινας λόγους⟩ καθ᾽ ὁρισμὸν ἐκφερομένους, παρα⟨λαμβάνεται ἡ κατ᾽⟩ ἐρώτησιν φράσις· περιπατεῖ Τρύφων. ⟨περιπατεῖ Τρύ⟩φω⟨ν; γέγραφα.⟩ γέγραφας; [γέγραφας] σήμερον γέγρα⟨φα. σ⟩ήμερον γέγραφας; — τὰ δέοντα οὖν τούτων τῶν λόγων παρα-

---

Argum. 16 Sunt, qui censeant, ἆρα tantum ad augendam interrogandi vim adhiberi; at fugit eos, indicari illa particula, alteram sententiae partem deesse. — 23 Omnino enuntiationes dubitativae ex disiunctivis transformatae sunt.

Discr. script. 1. ποιεῖ διάζευξιν b in textu, 'fort. ποιεῖ⟨ται διάζευξιν⟩' id. in var. lect. | 2. 3. lacunas expl. b | 4. 5. lacunas expl. RSchneider | 5. λέξεις ⟨ὅμως⟩ RSchneider | 6. παραλαμβάνομεν b, περιλαμβανομεν A | 7. ⟨καί⟩ RSchneider GUhlig | 12. πεποιηκας in A esse videtur, certe sic scribendum esse censet RSchneider, qui etiam interpunctionem et praeposuit et postposuit, πεποιη . b | 22. 23. ἢ οὔ, ἢ νύξ, ἢ Διονύσιος scribendum esse indicavit KLehrs, ἣ b | 25. διαπορρητικην est ultima vox in fol. 100 v., in fol. 101 r. decem fere litterae evanuisse videntur ante ωτησιν, ερ litterae, quas legit b, non iam cerni possunt | σύνταξιν· καὶ γὰρ κατ᾽ vel καθότι κατ᾽ KLehrs | 26. ⟨πρός τινας λόγους⟩, post ἐκφερομένους commate addito, KLehrs | 26–27. ⟨λαμβάνεται ἡ κατ᾽⟩ b KLehrs | 27—28. ⟨περιπατεῖ Τρύ⟩φω⟨ν; γέγραφα.⟩ γέγραφας; [γέγραφας] KLehrs | 28—29. ⟨φα⟩ RSchneider, ⟨φας⟩ KLehrs | 29. post γέγραφας interrogationis signum posuit KLehrs

λαμβανέcθω εἰc διάζευξιν· τῶν μὲν ὡριcμένων, ⟨οἷον⟩ ἡμέρα ἐcτὶν ἢ νύξ ἐcτι. (cαφὲc γὰρ ὅτι ὁ τὸ τοιοῦτον ἀποφαινόμενοc ἓν οἶδεν ἀληθὲc ὄν.) οὐχὶ οὖν πάλιν ⟨ἐπὶ⟩ τοῦ τοιούτου λόγου γενήcεταί τιc ὑπερώτηcιc· ἡμέρα ἐcτὶ⟨ν ἢ νύξ ἐcτι;⟩ καὶ δῆλον ὅτι ὁ οὕτω λέγων ἀμφοτέρων ἐcτὶ ⟨παραcτατικόc,⟩ αἰτεῖ μέντοι τὸ ἕτερον, καθότι, ὡc ἔφαμεν, ⟨ὁ διε⟩ζευγμένοc ἐπαγγέλλεται τὸ ἕτερον.

Οὐκ ἀπιθάνωc δὲ οἶμαι καὶ τὴν τοῦ cυνδέcμου φωνὴν μετατεθεῖcθαι τοῦ . νου, καθότι καὶ ὅλη ἡ φράcιc τὸ αὐτὸ ἀνεδέξατο· καθότι καὶ ἐκ τοῦ πλεονάcαντοc ε̄ cυμφανέc ἐcτιν. ὡc γὰρ ⟨ἐν⟩ τῷ διαζευκτικῷ ἐcτὶν ὁ ἠέ, οὕτωc καὶ ἐν τῷ διαπορητικῷ,

ἦε χόλον παύcειεν ἐρητύcειέ τε θυμόν (A 192).

ἀλλὰ κἀκ τῆc τάξεωc. ὡc γὰρ τὰ διεζευγμένα ἀδιαφορεῖ, οὕτωc καὶ τὰ διηπορημένα, ἡμέρα ἐcτὶν ἢ νύξ ἐcτι, νύξ ἐcτιν ἢ ἡμέρα ἐcτίν. εἴτε γὰρ κατὰ διαπόρηcιν εἴτε κατὰ διάζευξιν φαίημεν, ἀδια-
494 φορεῖ. — ὁμολόγωc οὖν οἱ κατ' ἀρχὴν τιθέμενοι cύνδεcμοι τῶν προκειμένων λόγων καὶ κατὰ φωνὴν διαλλαγὴν ἔcχον, ὥcτε ἐν μὲν διαζευκτικῷ παραλαμβάνεcθαι τὸν ἤτοι, ἐν δὲ διαπορητικῷ τὸν ἆρα, ἤτοι Τρύφων πάρεcται ἢ Θέων, ἆρα Τρύφων παραγενήcεται ἢ Θέων; μόνου τοῦ κατ' ἀρχὴν ἢ κοινῶc εἰλημμένου ἐπί τε διαζεύξεωc ἐπί τε διαπορήcεωc.

Εἴρηται ὡc τὸ ᾱ τοῦ ἆρα εἰc η̄ μετετίθετο παρὰ ταῖc ἄλλαιc διαλέκτοιc, ὑπεcταλμένηc τῆc Ἀττικῆc καὶ ⟨κοινῆc. καί⟩ πού τινεc ἐπὶ τῆcδε τῆc μεταθέcεωc ἐπιcτοῦντο, ὡc τὸ μακρὸν ᾱ εἰc η̄ μετατίθεται παρ' Ἴωcιν, οὐ τὸ βραχύ, καθότι ὁ ἐν βραχεῖ τῷ ᾰ λεγόμενοc ἄρα cυλλογιcτικόc ἐcτι καλούμενοc ἢ ἐπιφορικόc, ⟨ὃν⟩ οὐ μετατιθεῖcι. καὶ ἀντέλεγε Τρύφων (p. 36 Velsen), παρατιθέμενοc ὡcεὶ καὶ τὸ βραχὺ ᾰ εἰc η̄ μετατίθεται, ὡc τὸ

ἀναιδείην ἐπιειμένε (A 149),

διπλάcιον διπλήcιον, τὴν ἀμαιμάκετον Cκύλλην,

Argvm. 21 Ἆρα est vulgaris et atticae, ἦρα ceterarum dialectorum. Qua ex re non colligitur, solam longam ᾱ ab Ionibus in η̄ transformari. Nam etiam ἄρα collectiva in ἤρα transit.

Discr. script. 1. post διάζευξιν comma vel colon posuit KLehrs, om. b | οἷον KLehrs | 3. ἐπὶ b | 4. ⟨ν ἢ νύξ ἐcτι;⟩ KLehrs | 5. παραcτατικόc RSchneider, παραιτητικόc KLehrs | 6. lacunam expl. b | 7. απειθανωc A | 8. ante νου duae tresve litterae evan. in A, ⟨ὡριcμέ⟩νου vel ⟨διεζευγμέ⟩νου vel ⟨προκειμέ⟩νου KLehrs, ⟨κοι⟩νοῦ RSchneider, ⟨τό⟩νο⟨υ⟩ b | post ἀνεδέξατο pro commate maiorem interpunctionem posuit KLehrs | 9. ⟨ἐν⟩ b | 11. ἦε KLehrs, ἠὲ b | 14. διαπορρηcιν A | 14—15. αδιαφορεῖ b, αδιαφορειν A | 18—19. ἢ Θέων; RSchneider, ἢ Θέων b | 19. ἢ b, ε̄ A | 20. διαπορρηcεωc A | 22. κοινῆc. καί inseruit RSchneider | 25. ὃν οὐ μετατιθεῖcι b in var. lect., ου μετατιθειcι A, οὐ μετατίθηcι b in textu

p. 494, 16 — 496, 13 b

πείνη δ' οὔ ποτε δῆμον ἐπέρχεται (ο 407),

ὕψι δ' ἀέλλη (Π 374).

ἐρχῆν δὲ κἀκεῖνο παραθέcθαι, ὡc καὶ ἐπ' αὐτοῦ τοῦ cυνδέcμου ἡ μετάθεcιc γεγόνοι. τὸ γὰρ

ἦρά νύ τοι μεγάλων δώρων ἐπεμαίετο θυμός (Κ 401)

οὐκ ἀ⟨πὸ τοῦ διαπορητικοῦ· οὐδὲ τὸ⟩

ἦρά νύ μοι ξεῖνοc πατρώιόc ⟨ἐccι παλαιόc⟩ (Ζ 215),

⟨ἦρά⟩ νύ τοι πολλοὶ δεδμήατο κοῦροι Ἀχαιῶν (Γ 183)·

⟨τοιοῦτον γάρ⟩ τί φηcι· ξένοc ἄρα πατρ⟨ώιοc εἶ⟩, ⟨μεγάλων⟩ ἄρα δώρων ἐπιθυμεῖc. καὶ ἐπ' ἄλλων ⟨πολλῶν.

Μῶν.⟩ Cυνήθηc ἐcτὶ ποιηταῖc. καὶ πρόc τινων . . . ὡc εἴη cυνεcτὼc ἐκ τοῦ μή καὶ οὖν. πρὸ⟨c οὓc ἀντι⟩τίθηcι Τρύφων (p. 36 Velsen) κἀκ τοῦ δηλουμένου κἀ⟨κ τῆc φωνῆc.⟩ ἐκ μὲν οὖν τοῦ δηλουμένου, ὡc ἀcυcτατεῖ ⟨ἡ μή ἀπαγό⟩ρευcιc μετὰ cυλλογιcτικοῦ τοῦ οὖν διαπορητικ⟨ὸν⟩ ἀποτελέcαι, εἴγε διαφέρει τὸ cυλλογίζεcθαι το⟨ῦ διαπορεῖν.⟩ καὶ ἔτι ὡc ὁ οὖν ἐν ὑποτάξει ἐcτίν, ὁ δὲ μῶν ⟨προτακτικόc.⟩ ἐκ δὲ τῆc φωνῆc, καθὸ ὁ μῶν cύνδεcμοc τὸ ῡ ⟨ἐκθλίβει·⟩ «οὐ γὰρ οἷόν τε εὑρέcθαι τὸ υ ἐκθλιβόμενον, πρ⟨οcλαμ⟩βανόμενον δὲ κατὰ τὰc γινομέναc cυναλοιφάc, ⟨ὡc ἐν τῷ⟩ δὴ αὖτε δηὖτε, ὁ αὐτόc ὡὐτόc, ἐμέο αὐτοῦ ⟨ἐμωυτοῦ.⟩ ἦν ἂν οὖν καὶ μωῦν». — Καὶ πρὸc τὸ τοιοῦτόν τινεc ⟨ἔφαcαν⟩, ὡc διὰ κακοφωνίαν ἐκθλιβείη τὸ ῡ. — Δέον δὲ πρ⟨ὸc⟩ μὲν τὸν ἀπὸ τῆc φωνῆc λόγον φάναι, ὡc οὐ παρὰ τὸν οὖν ἡ cύνθεcιc, ἀλλὰ παρὰ τὸν ὦν, ὄντα καὶ Ἰωνικὸν καὶ Αἰολικὸν καὶ Δωρικόν. «Ἀλλὰ πῶc παρὰ τοῖc Ἀθηναίοιc;» ὅτι δυνάμει Ἴωνεc. ἀλλ' εἰ καὶ ἀπὸ Δωρίδοc διαλέκτου ἦν τι παρ' Ἀθηναίοιc, οὐ ξένον, ὅπου γε καὶ δαρ⟨όν⟩ φαcιν. — ἀλλὰ καὶ ἐπὶ cυναλοιφῆc ἔcτι τὸ τοιοῦτον παραcτῆcαι. τὸ θάτερον παρ' αὐτοῖc ἀcύcτατον, ἐὰν παρὰ τὸ ἕτερον ᾖ cυνηλιμμένον, εἴγε ἡ τοιαύτη cυνέλευcιc εἰc τὴν ου̅ δίφθογγον μεθίcταται, τὸ ἐμόν τοὐμόν, τὸ ἔργον τοὖργον, τὸ ἔλαιον τοὔλαιον. πῶc οὖν τὸ ἕτερον οὐ θοὔτερον; ψυχρὸν τὸ λέγειν, ὅτι ἀπὸ πληθυντικῆc ἐκφορᾶc εἰc ἑνικὴν μετῆλθε. πότε γὰρ πληθυντικὸν ἑνικὸν ἐκα-

---

Argum. 10 Μῶν non ex μή οὖν conflatum esse, ut quibusdam placuit, Trypho et ex notione et ex forma apparere dicit. — 21 Et de forma quidem hoc monendum est, non οὖν sed ὦν inesse.

Discr. script. 1. ἐπέρχεται Ab, ἐcέρχεται Homerus vulg. | 2. ἀέλλα Homerus vulg. | 4. lacunam expl. b | 5. δώρων] fol. 101 v. | 7. ἔccι παλαιόc, ut quae lacuna caperet, adiecit RSchneider | 9. τοιοῦτον γὰρ add. b | ⟨ώιοc εἶ⟩ RSchneider | 10. lacunas expl. b | 11. in lacuna fuisse εἴρηται suspicatur AdeVelsen | ειη cυνεcτωc est in A, non ειην cυνετωc, quod legi in A dicit b, qui edidit εἴη cύνθετοc | 12. τίθηcι b, τιθειcι A | lacunas 12. 12—13. 13. 14. 15. 16. explevit b | 17. lacunas expl. b | 18. ὡc ἐν τῷ RSchneider, οἷον τὸ AdeVelsen | 19. lacunam expl. b | 20. ἔφαcαν RSchneider | 21. lac. expl. b | 23. ὅτι b, οτε A | 25. lac. expl. b | cυναλειφηc A | 27. cυνηλιμμένον A¹b, cυνηλειμμενον A² | 29. τὸ ἕτερον b, θουτερον, non το ετερον ut ait b, A² supra versum add., om. A¹

νόνιςε; καὶ πότε οὐχὶ αἱ παραθέςειc κατὰ τοὺc ἰδίουc ἀριθμοὺc τὰc cυναλοιφὰc ἀναδέχονται; ἔcτω δὲ ἐν ὑποδείγματι τὸ ἔργον τοὖργον, τὰ ἔργα τἆργα. καὶ ὡc οὐχ ὑγιὲc τὸ λέγειν τοὖργα ἢ τἆργον, δῆλον ⟨ὡc⟩ καὶ ἐπὶ τοῦ προκειμένου ταὐτὸν παρακολουθήcει, καὶ ἡ ἀπολογία περιίcταται εἰc cολοικιcμόν. — ἄμεινον οὖν παραδέξαcθαι Δωρικὴν μετάθεcιν τοῦ ε̄ εἰc τὸ ᾱ, καὶ ὡc ὁ ἀνήρ ἀνήρ, ὁ ἄνθρωποc ἄνθρωποc, οὕτωc τὸ ἅτερον θάτερόν ἐcτι, καὶ ἄλλ⟨α⟩, τὸ πεινῆν καὶ διψῆν. — καὶ οὐκ ἐπὶ πλέον δεῖ περὶ τούτων παραθέcθαι.

⟨Καθίcταται οὖν κα⟩τὰ φωνὴν ὁ μῶν οὕτωc. πρὸc δὲ ⟨τὸν ἀπὸ τοῦ δηλου⟩μένο⟨υ⟩ λόγον ἐκεῖνα ἂν φήcαιμεν. πρῶτον ⟨ὅτι αἱ cυνθετοι⟩ τῶν λέξεών οὐ τὸ αὐτὸ ἐπαγγέλλονται ταῖc ⟨ἁπλῶc⟩ ἐκφερομέναιc, ἐν τοῖc περὶ cχημάτων εἴρηται. ⟨καὶ ἐξ αὐ⟩τῶν τῶν cυνδέcμων πλεῖcτα ἔcτι παραθέcθαι, ⟨καθὸ⟩ ἑξῆc εἰρήcεται, εἴγε ἄλλο μὲν τὸ καί,
496 ἄλλο δὲ τὸ καίτοι ⟨δηλοῖ⟩. — ἀλλ' εἰ καὶ τὸ τοιοῦτον παραθείη ⟨τιc⟩, ἔcτι κα⟨ταcτῆc⟩αι κυρίωc τὴν κατάcταcιν τοῦ cυνδέcμου, ὡc βούλεται ⟨ὁ⟩ Τ⟨ρύφ⟩ων. τὸ μή οὐ πάντοτέ ἐcτιν ἀπαγορευτικόν, ἀλλὰ ⟨καὶ⟩ διαπορητικῶc παραλαμβάνεται· μὴ γράψει; μὴ λήcεται ⟨ἡμᾶc⟩; ἴcον γάρ ἐcτι τῷ ἆρα λήcεται ἡμᾶc. ἀλλὰ μὴν καὶ ⟨ὁ οὖν⟩ παραπληρωματικόc ἐcτι. cυνέcτηκεν οὖν ὁ μῶν ἔκ ⟨τε⟩ διαπορητικοῦ τοῦ μή καὶ τοῦ ὦν παραπληρωματικοῦ, ⟨καὶ⟩ οὕτωc ἐcτὶ διαπορητικόc. μαρτυρεῖ δὲ cυλλογιcτικῷ ⟨μὲν⟩ ὄντι τῷ οὖν τὸ οὐκοῦν οὐ βαρυνόμενον κατὰ τέλοc, παραπληρωματικῷ δ' ὄντι τὸ βαρυνόμενον.

Κᾶτα. Οὗτοc πολλάκιc ἐν ἴcῳ τῷ καί παραλαμβάνεται. οὐ γὰρ . . . ον παρ' Ἀριcτοφάνει ἐν Βατράχοιc (v. 203) τὸ

Argvm. 9 De notione omnino hoc dicendum, composita non idem significare atque simplicia. — 14 Sed μή etiam dubitativum est; statuamus igitur, μῶν ex μή dubitativo et ὦν completivo coaluisse. — 23 Κᾶτα est ubi καί vocis vim induat.

Testim. 5 Et. Or. 74, 15. Et. M. 443, 27 *θάτερον· παρὰ τὸ ἅτερον· Δώριον· τὸ γὰρ ἕτερος ἅτερος λέγουσιν οἱ Δωριεῖς, ὡς τρέχω τράχω. οὕτως οὖν καὶ τὰ ἅτερα θάτερα κατὰ συναίρεσιν τῶν δύο ᾱᾱ εἰς ᾱ· καὶ τὸ ἅτερον θάτερον ὡς τὸ ἀγαθόν τἀγαθόν· ἔμεινε δὲ τὸ τ̄ ἄτρεπτον, ἐπειδὴ ψιλοῦται τὸ ἀγαθόν, τὸ ἅτερον δὲ δασύνεται. εἰ γὰρ ἦν παρὰ τὸ ἕτερον, θοὔτερον ἂν ἦν, ὡς τὸ ἔλαιον τοὔλαιον. διὸ καὶ οὐ λέγεται θάτερον ἐπὶ ἀρσενικοῦ ὀνόματος, οὐ γὰρ λέγεται θάτερος, ἀλλ' ὁ ἅτερος.* Cf. Et. Gud. 255, 12. Choer. Can. 631, 5. Eustath. 1573, 63.

Discr. script. 2. cυναλοιφὰc b, cυναλιφαc A^1, quod in cυναλειφαc mutat A^2 | 4. ὡc b | 5. περιίcταται b, παριcταται A | 7. ἅτερον RSchneider, ἕτερον A b | καὶ ἄλλ⟨α⟩, τὸ RSchneider, καὶ ἀλλ. A et b in textu, 'Fort. καὶ ⟨γὰρ⟩ ἄλλ⟨α, ὡc⟩ τὸ πεινῆν i. e. καὶ γὰρ ἄλλα ἔcτι Δωρικὰ παρ' Ἀθηναίοιc' b in var. lect. | 8. post παρ inc. fol. 102 r. | 9. ⟨καθίcταται οὖν κα⟩ RSchneider, ⟨cυcτήcεται οὖν κα⟩ b in var. lect. | 9—10. 10—11. 11. lacunas expl. b | 12. ⟨καὶ⟩ RSchneider, ⟨ἐξ αὐ⟩ b | 13. καθὸ b | 14. ⟨δηλοῖ⟩ vel ⟨cημαίνει⟩ vel aliquid eiusmodi intercidisse suspicatur RSchneider | παρείη pro παραθείη RSchneider | ⟨τιc⟩ b | 15. κα⟨ταcτῆc⟩αι RSchneider | 16. ⟨ὁ⟩ Τ⟨ρύφ⟩ων KLehrs | 17. γράψει b, γραψηι A, non, ut b ait in var. lect, γράψη | lacunas 16—21 expl. b | 24. ⟨ἄδηλ⟩ον vel simile quid fuisse censet RSchneider

κᾶτα πῶϲ ⟨δυν⟩ήϲομαι

ἀντὶ τοῦ καί παραλαμβάνεϲθαι. ἴϲωϲ μέν⟨τοι⟩ ἐκεῖνο διαπορητικόν ἐϲτιν ἐν Φοινίϲϲαιϲ Εὐριπίδου (v. 598 Kirchhoff)

κᾶτα ϲὺν πολλοῖϲιν ἦλθεϲ.

Τρύφων (p. 37 Velsen) μέντοι ἐν τῷ περὶ ἐπιρρημάτων ὡϲ περὶ ἐπιρρήματοϲ χρονικοῦ τὸν λόγον ποιεῖται, ἐν ᾧ καὶ ἐζήτηϲεν, εἰ ἔγκειται τὸ εἶτα. ἐν δὲ τῷ περὶ ϲυνδέϲμων, ὁμοίωϲ τοῖϲ περὶ Ἀπολλώνιον καὶ Κόμανον καὶ ϲχεδὸν ἅπαϲι ϲύνδεϲμον ἐκδεχόμενοϲ, πάλιν λόγουϲ τινὰϲ προὐφέρετο ἐξεταϲτικοὺϲ τοῦ ἐγκεῖϲθαι τὸν καί καὶ τὸ εἶτα, καθό τινεϲ ᾠήθηϲαν, καὶ ἦϲαν τοιοῦτοι οἱ κανόνεϲ· «ὁ καί ϲύνδεϲμοϲ ἔκθλιψιν τοῦ ῑ καὶ κρᾶϲιν τοῦ ᾱ ποιεῖται εἰϲ μακρὸν ᾱ, τοῦ ε̄ μόνου ἐπιφερομένου (φαίνεται ὅτι καὶ τοῦ η̄)· καὶ ἐμέ κἀμέ, καὶ ἐκεῖνοϲ κἀκεῖνοϲ. ὅτε μέντοι δίφθογγοϲ ἐπιφέρεται, ἐκθλίβεται τὸ ᾱ καὶ τὸ ῑ, καὶ εἶχον κεῖχον. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ ο̄. ἐπιφερόμενον γὰρ μόνον τὸ ο̄ κρᾶϲιν ποιεῖται, καὶ ὁ ϲόϲ χὠ ϲόϲ, καὶ ὁ οἶνοϲ χοἶνοϲ, καὶ ὁ φίλοϲ χὠ φίλοϲ. εἴπερ οὖν ἔγκειται τὸ εἶτα, ἦν ἂν κεῖτα.» καὶ ἔτι ἐν τῷ περὶ ἐπιρρημάτων καὶ τὸ δηλούμενόν φηϲι μάχεϲθαι. «ὁ μὲν γὰρ καί ϲύνδεϲμοϲ ἐπὶ τῶν κατὰ τὸν 497 αὐτὸν καιρὸν παραλαμβανομένων ἐϲτίν (ὑφ' ἕνα γὰρ καιρὸν γραφόντων τινῶν φαμεν καὶ Διονύϲιοϲ ἔγραφε καὶ Ἀπολλώνιοϲ), καὶ δῆλον ὅτι διὰ τοῦτο καὶ ἀθροιϲτικ⟨όϲ· ὁ δὲ εἶτα χρό⟩νου τομὴν ἐπαγγέλλεται. ὁ γὰρ λέγων Ἀριϲτ⟨οφάνηϲ ἔγραψεν,⟩ εἶτα Ἀπολλώνιοϲ τάξεώϲ ἐϲτι παραϲτ⟨ατικόϲ.» προϲ⟩θείημεν δ' ἂν ὅτι καὶ τοῖϲ κατὰ ἀριθμὸν παραλαμβανομένοιϲ ϲύνεϲτιν, Ἀρίϲταρχοϲ πρῶτοϲ ἔγραψε⟨ν, εἶτα⟩ δεύτεροϲ Ἀριϲτοφάνηϲ, εἶτα τρίτοϲ καὶ τὰ ἑξῆϲ. εἰ καὶ τὸ δεύτερόϲ τιϲ βαϲτάξειε, μένει τὸ ἐν δευτέρᾳ τάξει νοούμενον, Ἀρίϲταρχοϲ πρῶτοϲ ἔγραψεν, εἶτα Διονύϲιοϲ. εἰ μέντοι τὸν καί παραλαμβάνοιμεν, ἀμφό⟨τεροι⟩ γίγνονται. διὰ τούτων οὖν θεματικὸν τὸν ϲύνδεϲμον ⟨ἐξε⟩δέχετο. — εἶτά φηϲι· «χωρὶϲ εἰ μὴ ἐπεκτέταται ὁ καί, ὡϲ ὁ δή, ἀποβολῆϲ γενομένηϲ τοῦ ῑ καὶ εὐλόγου ἐκτάϲεωϲ τοῦ ᾱ, καθότι καὶ τὸ κλαίειν κλάειν.» ἦν δ' ἂν τοῦτο πιθανόν, εἰ πάντοτε ἀντὶ τοῦ καί παρελαμβάνετο ὁ κᾶτα. καὶ φαίνεται ὅτι, δι' οὗ ᾐτήϲατο

Argum. 5 Trypho probare studet, κᾶτα non ex καί εἶτα factum esse, sed aut esse primitivum, — 28 aut ex καί per epectasin ortum, suppressa ῑ littera, — 31 quam ii quoque subtractam esse censent, quibus illa ex καί εἶτα coaluisse videtur.

Discr. script. 1. 2. lacunam expl. b | 4. ad ηλθεϲ adscripsit A² in marg. προϲ τον ουδεν ειϲ μαχην, ut versum suppleret | 6. τω ειτα A | 13. επιφερηται A | 14. επιφερομενον (non επιφερομενου, quod ex A se edidisse indicat b) γαρ μονον το A, ἐπιφερομένου γὰρ μόνου τοῦ b | 15. χὠ ϲόϲ b, κοϲοϲ A | 16. τὸ εἶται b, το η A | 19. οϲ καὶ δῆλον] fol. 102 v. | 20. 21. 22. 23—24. lacunas expl. b | 24. Διονύϲιοϲ pro Ἀριϲτοφάνηϲ HSchrader | 'Fort. ⟨ἐφ' οὗ⟩ εἰ: est enim aliquid lacunae in cod.' b in var. lect., καὶ εἰ pro εἰ καί conicit RSchneider | 27. ⟨τεροι⟩ RSchneider | 28. lacunam expl. b | 30. πειθανον A

ὑποστολὴν τοῦ ῑ, διὰ τούτου οἱ ἀξιοῦντες τὸ εἶτα ἐγκεῖcθαι κατορθοῦcι τὸν κᾶτα. ὡc γὰρ τὸ καὶ ἐμέ κἀμέ, οὕτω καὶ τὸ καὶ εἶτα, ἐνδεῆcαν τῷ δευτέρῳ ῑ, ὑποcυνήλιπται ἐν τῷ κᾶτα.

Πρὸ τῆc καταλογῆc τῶν αἰτιολογικῶν ἐπιcτατέον μορίῳ τῷ ἕκητι, τί ποτ' ἂν εἴη μέροc λόγου. καὶ δῆλον ὅτι, εἰ cημαίνοι τὸ ἕνεκα, cύνδεcμοc ἂν εἴη αἰτιολογικόc, ἰcοδυναμῶν τῷ ἕνεκα καὶ χάριν· εἰ δὲ μὴ δηλοῖ μὲν τὸ ἕνεκα, τὸ δὲ ἑκοντηδόν, ἕκητι cοῦ ὡc εἰ ἑκόντοc, δῆλον ὡc ἐπίρρημα. — Ἀλλά φηcιν ὁ Τρύφων (p. 39 Velsen), ὡc «ἀδύνατον ἂν εἴη cύνδεcμον αὐτὸ ἐκδέξαcθαι, καθὸ οὔ ποτε οἱ cύνδεcμοι τὴν ᾱ cτέρηcιν ἀναδέχονται, ἔcτι δὲ τὸ ἀέκητι ἐν cτερήcει τοῦ ἕκητι.»

498 Προcθείημεν δ' ἂν τῷ λόγῳ καὶ τοῦτο, ὡc εὐλόγωc οὐδὲ ἡ ᾱ cτέρηcιc παρακείcεται τοῖc cυνδέcμοιc, ἐπεὶ πάντοτε ἐν cυνθέcει ἐcτί, καὶ ἔcτιν ἀνατρεπτικὴ τοῦ πρὸc ὃ cυντίθεται. εἴπερ οὖν τὸ τοιοῦτον παρείπετο, καὶ ἡ δύναμιc τῶν cυνδέcμων ἀνῃρεῖτο, καὶ δῆλον ὡc οὐ cύνδεcμοι. ἔτι εἴπερ τὸ ἕκητι cύνδεcμοc αἰτιολογικόc, δῆλον ὡc οὐ τὸ ἀέκητι· cτέρηcιc γὰρ τῆc αἰτιολογίαc. Ἀλλὰ πάλιν ἦν ἐκεῖνο ἀδύνατον τὸ μὴ εἰc ταὐτὸν εἶδοc παραλαμβάνεcθαι τὸ ἐν cτερήcει παραλαμβανόμενον μέροc λόγου, φυλάττον τὴν αὐτὴν κατάληξιν καὶ τὸ αὐτὸ δηλούμενον, αὐτὸ μόνον τῆc cτερήcεωc περιττευούcηc. ὃν γὰρ τρόπον ⟨τὸ ἑκών τῷ⟩ ἀέκων ταὐτόν, οὕτω καὶ τὸ ἀέκητι ταὐ⟨τὸν ἔcτ⟩αι τῷ ἕκητι· οὐδενὶ γὰρ διαφέρει, ὡc ἔφαμεν, ⟨εἰ μὴ τῇ cτερήcει⟩. εἴρηται δὲ ὅτι ἀδύνατον τὸ ἀέκητι cύνδεcμον ⟨εἶναι· ἄλο⟩γον ἄρα καὶ τὸ ἕκητι cύνδεcμον εἶναι.

Προc⟨θείημεν⟩ δ' ἂν καὶ τοῦτο, ὡc ἐν τοῖc cυνδέcμοιc ἡ οὔ ἀπό⟨φαcιc ὅτε⟩ πρόcειcιν ἐν παραθέcει, οὐ τὸν cύνδεcμον ἀναι⟨ρεῖ μόνον⟩, τὴν δὲ ὅλην φράcιν. φημὶ δὲ τοῦτο, καθὸ ἡ οὔ ἀπό⟨φαc⟩ιc, ἀναιροῦcά τινα μέρη λόγου, καὶ εἰc τὴν ᾱ μεταλαμ⟨βάνεται⟩ cτέρηcιν, οὐ φίλοc ἄφιλοc, οὐ cέβω ἀcεβῶ, οὐχ οἷόν τε δ' ἐcτὶν εὑρεῖν, καθότι προείπομεν, ἐν cτερήcει ποτὲ cύνδεcμον παραλαμβανόμενον. τὸ ὅλον οὖν ἀναιρεῖ ἡ ἀπόφαcιc, οὐχὶ τὸν cύνδεcμον. φαίνεται οὖν ὅτι καὶ ἐν τῷ ἕκητι

Argvm. 4 De causalibus. Ἕκητι ubi idem valet, quod ἕνεκα, coniunctio est; ubi ἕκητί cου significat 'te volente', adverbium. — 11 Cui poteris haec addere: adiecto ᾱ privativo vis tollitur vocis primitivae; tolleretur igitur causalis vis, quae est in ἕκητι; itaque ἀέκητι causalis coniunctio esse non posset. Ergo ne ἕκητι quidem esset coniunctio causalis. — 24 Ad coniunctiones ᾱ privativum non accedere, mirum non est. Id enim in οὔ negationis locum non substituitur, nisi ubi haec ad unam vocem pertinet; οὔ autem si coniunctioni apponitur, ad totum spectat enuntiatum.

Discr. script. 2. και ante εμε add. A² | οὕτωc καὶ τὸ καὶ b, ουτωc A¹, deinde και το και A² | 3. υποcυνειληπται A | 4. inscriptio περι αιτιολογικων A b | 19. τροπον postrema vox est in fol. 102 v., in fol. 103 r. praeter ea quae supplevit b etiam ἀέκων nunc quidem legi non iam potest | 19—20. 20. 21. 22. 24. 25. 26. lacunas expl. b | 27. μεταλαμβάνεται b nullo lacunae indicio, sed βανεται nunc ev. in A | 30. 'Fort. leg. κἂν' b in var. lect.

κατὰ τὸ αὐτὸ προσεληλύθει ἡ οὔ ἀπόφαcις, οὐχ ⟨ἕκητι Ἀπολλωνίου,⟩ ὁμοίως τῷ οὐχ ἕνεκα Ἀπολλωνίου, οὐ χάριν Ἀπολλωνίου, οὐχ ὅτι ἔγραψα.

«Ἀλλ' οὐδὲ ἐπίρρημα», φηcὶν ὁ Τρύφων (p. 39 Velsen), πάνυ ἀκριβῶc καὶ τῷ cχηματιcμῷ προcελθὼν καὶ τῇ τάcει. «εἰ γὰρ παρὰ τὸ ἑκών τὸ ἐπίρρημα ἐγένετο, κἂν ὠξύνετο, εἶγε·τὰ ἐν παραγωγῇ, κἂν μακρῷ τῷ ῑ χρῆται κἂν βραχεῖ, ὀξύνεται, Ἑλληνιςτί, ἀμογητί, πανοικί. πῶc οὖν βαρύνεται τὸ ἕκητι; — Ἔτι οὐδέποτε ἐπίρρημα cὺν cτερήcει ἀποτελεῖται. τὰ γὰρ ὄντα παραcύνθετά ἐcτι. τῷ ἀcέμνως τὸ ἄcεμνος παράκειται, τῷ ἀψευδῶc τὸ ἀψευδής, τῷ ἀκλαυτί τὸ ἄκλαυτος, τῷ ἀθεωρητί τὸ ἀθεώρητος.» — Cαφῶc παραδίδοται ὁ τοιοῦτος λόγος ἐν τῷ περὶ ἐπιρρημάτων. ὥcτε καὶ κατὰ τοῦτο ἀcύcτατον τὸ ἀέκητι, κἂν ἐπίρρημα καθεcτήκῃ τὸ ἕκητι.

Ἔδει τὸν Τρύφωνα καὶ τὴν φωνὴν καταcτῆcαι τοῦ ἕκητι, εἰ ὅλως δύναται τῇ ἑκών παρακεῖcθαι. καί φηcιν ὅτι, «καθὸ ἠλογήθη ἡ φωνή, δύναται ἐπίρρημα καθίcταcθαι, ἠλογημένον ἐν τῇ τάcει, καθότι καὶ ἐν αὐτῇ τῇ φωνῇ». ἔδει δὲ καὶ περὶ τῆc ᾱ cτερήcεως λόγον τινὰ ποιήcαcθαι, ἐπεί τοί γε ἐπίρρημα καθεcτὸc ἀκατάcτατον γενήcεται καὶ ἐν τάcει ἀνακόλουθον πρὸc τὴν ἑκών, ἄλογον ἔχον τὴν cύνθεcιν. καὶ οὐδὲν κωλύcει ἕνεκα τούτου τὸ αὐτὸ ἁμάρτημα μετατιθέναι ἐπὶ τὸν cύνδεcμον, κἂν cύνδεcμος καταcταίη τὸ ἀέκητι.

Ῥητέον οὖν ὑπὲρ τοῦ cχηματιcμοῦ ⟨τοῦ ἕκητι, ὅτι ἀπὸ cυνθέτων⟩ πολλάκιc ἀποτελεῖται ἁπλᾶ, καὶ δη . . . . θοc ὑπαντᾷ τῇ καλουμένῃ ἀφαιρέ⟨cει· ὃν γὰρ τρόπον⟩ ἐπὶ τῶν ἁπλῶν cχημάτων τὸ λειπόμενον ⟨πάντως⟩ τοῦ ὅλου δηλουμένου ἐcτὶ παραcτατικόν, τὸν αὐτὸν

Argum. 6 Sed ne adverbia quidem voces illas esse censet Trypho, quod neque accentus bene habeat, et adverbia cum ᾱ privativo non componantur. — 14 Debebat autem Trypho de forma accuratius statuere. — 22 De ea haec dicenda sunt. Non ex ἕκητι per ᾱ privativum factum est ἀέκητι, sed ἀέκητι ex ἀεκαcτί ortum, unde ἕκητι abiecta α littera natum.

Testim. 21 Apoll. de adv. 135, 22 *ἀλλ' ἔστι γε ἀποδεῖξαι πάμπολλα ἁπλᾶ ἀπὸ συνθέτων γεγονότα,' ὡς ἔστι γε ἐπινοῆσαι καὶ ἐπὶ τῶν κατὰ σύμπηξιν σωμάτων ἀποβολάς τινων μερῶν, ἁπλότητος μὲν ἐχομένας, δηλούσας δὲ τήν ποτε γενομένην αὐτοῖς σύμπηξιν, ὡς εἰ κλινιδίου πους ἤ τι τοιοῦτον μερικόν . . ἔστιν οὖν τις τρόπος καὶ τοιοῦτος ἐν λέξεσιν, ὃς δοκεῖ μὲν ἁπλοῦς εἶναι, ὑπόμνησιν δὲ ἔχει τοῦ ἐκπεπτωκέναι ἐκ συνθέτου λέξεως.*

Discr. script. 1. ἕκητι Ἀπολλωνίου b, om. A, quam lacunam b non indicat in textu, indicat in var. lect. | 10. το αψευδως A | 12. ἀέκητι b, εκητι A 13. καθεcτηκει A | 22. Ῥητέον] fol. 103 v. | lacunam expl. RSchneider, ⟨ὅτι ἀπὸ cυνθέτων⟩ iam b in var. lect. | 23. δη⟨λον ὅτι τὸ πά⟩θοc b in var. lect., δη⟨λοῦντα ὅτι τὸ πά⟩θοc RSchneider | 24. ⟨cει⟩ b, ⟨ὃν γὰρ τρόπον⟩ RSchneider 24—25. λειπομενον A, λειπομεν . . b | 25. πάντως add. RSchneider | αυτον A, om. b

⟨τρόπον⟩ τὸ λειπόμενον ἁπλοῦν δηλώϲει τοῦ ὅλου τὴν ϲύνθεϲιν ⟨ἐκ τοῦ⟩ δηλουμένου, ἐπεὶ τὸ ἀφῃρημένον ἐν λεκτῷ καθειϲτήκει. ⟨ἐκ⟩κείϲθω δὲ ὑποδείγματα. τὸ ἠνορέη διαφέρει τοῦ ⟨ἀνδρία⟩, ᾗ τὸ μὲν ἐξ ἁπλοῦ ἐγένετο τοῦ ἀνδρόϲ, τὸ δὲ ἐκ ϲυνθέ⟨του τοῦ⟩ εὐήνωρ· οὐ γὰρ ἂν ἄλλωϲ τὸ κατ' ἀρχὴν ᾱ εἰϲ η̄ μετ⟨έπεϲεν⟩, οὐδὲ μὴν τὸ η̄ εἰϲ τὸ ω̄, εἰ μὴ παρέποιτο ϲύνθεϲιϲ ὡϲ ἐ⟨ν τῷ⟩ ἀντήνωρ καὶ ἀγαπήνωρ, Ἐλπήνωρ. ἦν οὖν καὶ τὸ εὐήνωρ, ⟨ἀφ' οὗ⟩ κτητικὴ παραγωγὴ ἔπιπτεν εὐηνόρεια ὡϲ Ἑκτόρεια κ . . ρεια καὶ πρακτόρεια, εὐηνορέα καὶ ἔτι Ἰωνικῶϲ εὐηνορ⟨έη⟩, ὡϲ Ἑκτορέη. ὁμολόγωϲ οὖν ἐν ἀφαιρέϲει τοῦ εὖ τὸ ἠνορ⟨έη⟩, καὶ οὐκ ἀϲυνήθωϲ τοῦ εὖ παρ' αὐτῷ λείποντοϲ. οὕτω γὰρ ἔχει τὸ

δόμοιϲ ἔνι ποιητοῖϲι (ν 306),

τοῖϲ εὖ πεποιημένοιϲ. — εἰϲ τὸν τοιοῦτον λόγον καὶ ἄλλα πλεῖϲτα ἔϲτι παραθέϲθαι. τὸ γὰρ φρονεῖν ἢ ψευδήϲ ἢ ϲαφήϲ οὐκ ἄλλωϲ ἂν καταϲτ⟨αίη⟩, εἰ μὴ δοθείη ὅτι δεύτερα εἴη τῶν καλουμένων ϲυνθέτων. καὶ τὸ

ἀλλ' ἄνα, μηκέτι κεῖϲο (Ϲ 178),

καὶ τὸ

πάρα δ' ἀνήρ (π 45)

εἰϲ τὸ αὐτὸ ϲυναχθήϲεται.

γείτονεϲ ἠδὲ ἔται (δ 16),

ἀϲτυγείτονεϲ. ἔτι δὲ καὶ τὸ

ἐν πύλῳ ἐν νεκύεϲϲι (Ε 397),

προπύλῳ. ἦν οὖν τι ῥῆμα τὸ ἀεκάζω, ἔνθεν τὸ

πόλλ' ἀεκαζομένη (Ζ 458),

ᾧ παρέκειτο ἐπίρρημα τὸ ἀεκαϲτί, ὡϲ ἰάζω ἰαϲτί, αἰολίζω αἰολιϲτί, δωρίζω δωριϲτί. τοῦτο ἐν ἐνδείᾳ τοῦ ϲ̄ καὶ Ἰωνικῇ μεταθέϲει τοῦ ᾱ εἰϲ η̄, καθότι καὶ τὸ διπλάϲιον διπλήϲιον, ἀποτελεῖ τὸ ἀέκητι, πάνυ εὐλόγωϲ τοῦ τόνου ἀναβιβαϲθέντοϲ, καὶ καθότι ἔνδεια πολλάκιϲ τοῦ ϲ̄ ἀναβιβαϲμὸν τοῦ τόνου ἀποτελεῖ, οὐταϲμένοι οὐτάμενοι, ϲυνεληλαϲμένοι

Testim. 8 Herod. περὶ μον. λ. 4, 13 Lehrs *τὸ δαιδάλεος καὶ κονισάλεος κτητικῇ* (*κτητικὰ*? KLehrs) *Ἰωνικῇ ἐστιν ἐνδείᾳ τοῦ ι ὁμοίως καὶ Ἑκτόρεος καὶ Νεστόρεος.* Arcad. 42, 11 (Herod. II 278 Lentz) *ὅσα δὲ ἀπὸ τῶν κτητικῶν ἐγένετο κατ' ἔνδειαν τοῦ ῑ καὶ προπαροξύνεται· Ἀγαμεμνόνεος Ἑκτόρεος Νεστόρεος τέλεος χάλκεος χρύσεος.* — Apoll. de adv. 136, 13 *ἀφ' οὗ γέγονεν ἡ εὐηνορία καὶ εὐηνορέα, καὶ ἐλλείψει τῆς ευ̅ διφθόγγου, ἠνορέα.*

Discr. script. 1. ⟨τρόπον⟩ RSchneider | ϲυνθεϲιν . . . A, ϲυν . . . b | 1—2. ἐκ τοῦ RSchneider | 2. καθειϲτήκει RSchneider, καθιϲτηκει A, καθιϲτ . . . b in textu, καθίϲτ⟨αται⟩ id. in var. lect. | 2. 3. 4. 5. lacunas expl. b | 6. παρειποιτοι A | ϲυνθεϲιϲ ωϲ ε . . . A, ϲυνθεϲιϲ . . b, lacunam expl. RSchneider | 7. ἀφ' οὗ b | 8. κ⟨αϲτό⟩ρεια vel ⟨ἀ⟩κ⟨τό⟩ρεια vel aliud simile ChALobeck, κ⟨αὶ Νεϲτό⟩ρεια RSchneider | πρακτόρεια, εὐηνορέα RSchneider, πρακτόρεια εὐηνόρεια Ab | 9. et 10. ⟨έη⟩ b | 15. lacunam expl. b | 17. μηδ' ἔτι Homerus vulg.

cυνεληλάμενοι, δεcποcτὴc δεcπότηc, ἐργαcτὴc ἐργάτηc, καὶ καθότι τὰ πάθη τοῖc τύποιc cυνεκτρέχει. ἴcωc γὰρ καὶ τὰ προκείμενα τῶν λέξεων ἕνεκα τῶν τύπων μετετίθει τοὺc τόνουc. — ⟨ἔcτι πάμπολλα εἰc τὸ τοι⟩οῦτο παρατίθεcθαι. — καὶ ἐπὶ τοῦ οὖν προ⟨κειμένου ῥητέον ὅτι κατ⟩ὰ ἀμφότερα τὴν βαρύτητα παρα⟨ιτεῖται, εἴγε⟩ τὰ εἰc ῑ λήγοντα ἐπιρρήματα ὀξύνεται τότε ὅτε ⟨παραγώγω⟩ν χαρακτῆρα ἀναδέδεκται, ῥηματικὰ μὲν ὄντα ⟨διὰ⟩ cυcτελλομένου τοῦ ῐ, ὀνοματικὰ δὲ διὰ μακροῦ τοῦ ῑ . φωνου . τοῦ ἐν τῷ ὀνόματι. τοῦ μὲν προτέρου αἰολιcτί, ἰαcτί· ⟨τοῦ δὲ⟩ δευτέρου ἀκόνητοc ἀκονητί, παμμαχί, πανθοινί. ⟨Οὐκέτι οὕ⟩τωc οὖν ἔχον καὶ τὸ ἀέκητι διὰ τὰ προειρημένα πάθη ⟨μετῄ⟩ει εἰc βαρύτητα ὁμοίωc τῷ ἶφι καὶ αὖθι. — ὡc οὖν ἔφαμεν, ⟨τῇ ἀφαιρ⟩έcει τῆc ᾱ cτερήcεωc καὶ τὸ ἕκητι ἐγεγόνει.

Οἱ αἰτιολογικοὶ cύνδεcμοι καὶ ἀκολουθίαc εἰcὶ πάλιν δεκτικοὶ καὶ 501
⟨ὑπάρ⟩ξεωc, ὡc καὶ cχεδὸν τοῖc παραcυναπτικοῖc οἱ αὐτοί ⟨εἰcι⟩. τοιοῦτον γάρ ἐcτι τὸ νοούμενον ἐν τοῖc παραcυναπτικοῖc· εἰ τὸ πρότερον ἀληθέc, καὶ τὸ δεύτερον· τὸ δεύτερον, ὅτι καὶ τὸ πρῶτον. ⟨τὸν γο⟩ῦν ἐπεί cύνδεcμόν τινεc ἀδιαφόρωc ἔταξαν καὶ εἰc τοὺc αἰτιολογικούc, ⟨ὡc τ⟩ῶν παραcυνημμένων καὶ αἰτιολογικῶν ταὐτὸ δηλούντων

Argvm. 13 Causales indicant, et certum sententiarum ordinem et veras causas esse; itaque conveniunt fere cum subcontinuativis.

Testim. 4 Apoll. de adv. 150, 25 *καὶ τῷ ῐ βραχεῖ, ὡς ἑλληνιστί, ἰαστί, ἀλλὰ καὶ εἰς μακρὸν τὸ ῑ, ἀκονιτί, ἀναιμωτί.* ib. 161, 4 *Τὰ εἰς ῑ λήγοντα ἐπιρρήματα, παραγωγὰ ὄντα, ὀξύνεται. Καὶ ἀπὸ ὀνομάτων μὲν παραγόμενα, ταῖς τούτων γενικαῖς ἰσοσυλλαβεῖ, καὶ ἔστιν ἐν ἐκτάσει τοῦ ῑ. παρὰ τὴν ἀθεώρητος καὶ τὴν ἀθεωρήτου τὸ ἀθεωρητί.* ib. 32 *Τὰ μέντοι διὰ τοῦ στι ἐκφερόμενα ἄμεινον ἡγητέον ἀπὸ ῥημάτων παρῆχθαι, εἰ καὶ συνυπάρχει τὰ ῥήματα, καὶ ταῦτα πάντα εἰς ζω περατούμενα.* — 9 Apoll. de adv. 135, 6 *ἐπεὶ τοῖς ἀπὸ ῥημάτων παραχθεῖσιν ἐπιρρήμασι καὶ ὀξυνομένοις σύνεστι τὸ σ̄, δωρίζω δωριστί, αἰολίζω αἰολιστί. τὸ δὴ οὖν αἴτιον τῆς ὀξύτητος σ̄ ἐν πάθει ὑπεστέλλετο, καὶ ἐπεὶ οὐκέτι ὅμοιον ἐγίνετο τοῖς προκειμένοις, εἰς τὸν κοινὸν τῶν ἄλλων ἐπιρρημάτων τόνον μετῄει, ἅπερ ἐβαρύνετο, ὡς τὸ ὗψι, ἶφι, αὖθι.* cf. Cram. An. Ox. IV 350. Herod. II 19, 19 Lentz. Io. Alex. 37.

Discr. script. 3. post τόνουc inc. fol. 104 r. | 3—4. lacunam expl. RSchneider, . . ουτο ante παρατίθεcθαι A, om. b | 4—5. lacunam expl. RSchneider, ante αμφοτερα ex A exhibuit b κα, nescio an non recte, προ⟨κειμένου τούτου ἕνε⟩κα ἀμφότερα GUhlig | 5. lacunam expl. RSchneider, παρα⟨δέδεκται⟩ GUhlig | 6. lacunam expl. RSchneider GUhlig | 7. διὰ inseruit b in var. lect. | 8. . . φωνου . . του A, ... τοῦ b, scribendum esse ⟨cυμ⟩φωνοῦ⟨ντοc⟩ τ⟨ῷ⟩ οὐ ⟨τῷ⟩ ἐν τῷ ὀνόματι conicit RSchneider | 9. τοῦ δὲ b | 9—10. ⟨οὐκέτι οὕ⟩ RSchneider, . . τωc est in A, om. b; inter τωc et εχον A² add. ουν et post εχον και 10. ⟨μετῄ⟩ RSchneider GUhlig, . . ει est in A, om. b | 11. ⟨τῇ ἀφαιρ⟩ RSchneider GUhlig, . . εcει est in A, om. b | 14. ⟨ὑπάρ⟩ RSchneider, ⟨τά⟩ GFSchoemann | ⟨εἰcι⟩ RSchneider | 15. fortasse ⟨ἐπ⟩εἰ pro εἰ legendum esse putat GUhlig | 16—17. ⟨τὸν γο⟩ b | 18. ⟨ὡc τ⟩ b

. . . μέντοι καί τινές φαςιν ὡς οἱ μὲν αἰτιολογικοὶ ςύνδεςμοι . . ἀπὸ τοῦ δηλουμένου τὴν ὀνομαςίαν ἔςχον, οἱ δὲ ςυναπτικοὶ ἀπὸ τῆς φωνῆς, ἐπεὶ κατὰ ςυνάφειαν τὸ ἐπιφερόμενον αἰτοῦςι. Καὶ τοςαῦτα μὲν περὶ τῆς ἐννοίας τῶν αἰτιολογικῶν.

Ὅτι. Τὸ προκείμενον μόριον διαφορὰς ἔχει τέςςαρας, δύο ςυνδεςμικὰς καὶ δύο πτωτικάς, καθὼς καὶ Τρύφων (p. 40 Velsen) παρέθετο. Σύνδεςμος μὲν οὖν ἐςτιν αἰτιολογικὸς οὕτως, ὅτι ἡμέρα ἐςτί, φῶς ἐςτίν· ὅτι περιπατῶ, κινοῦμαι· ὅτι ἠπαιδεύτηςας, δαρήςῃ. καὶ ἦν πάλιν τὸ τοιοῦτον ἐκ τοῦ ςυνδέςμου ᾐτιολογημένον, τὰ δὲ δύο τὰ πρότερα αὐτόθεν πάλιν εἶχε τὴν ἐπιφορὰν ἀληθῆ· ἐπεὶ οὐ πάντως ὅτι ἀνέγνως τιμηθήςῃ· ⟨οὐ γὰρ⟩ πάντως ςύνεςτι τῷ ἀναγνῶναι τὸ τιμηθῆναι. — Φηςὶ Τρύφων (p. 40 Velsen) τὸν ὅτι ςύνδεςμον καὶ πτωτικοῖς καὶ ἀπτώτοις ςυντάςςεςθαι· ὅτι ὁ ἥλιος ὑπὲρ γῆν ἐςτίν, ἡμέρα ἐςτίν· ὅτι περιπατῶ, κινοῦμαι. τὸ δὲ ἀληθὲς τῇδε ἔχει. ὁ ὅτι ςύνδεςμος μόνως φέρεται ἐπὶ τὰ οριςτικὰ τῶν ῥημάτων, ὥςτε τὰ ςυνταςςόμενα πτωτικὰ ἢ ἄλλα τινὰ ἐν ὑπερβατῷ λαμβάνεςθαι. ὅτι καλῶς ἀναγινώςκω· τὸ γὰρ ἀκολουθοῦν ἐςτιν ὅτι ἀναγινώςκω καλῶς· ὅτι ἐςτὶν ἥλιος ὑπὲρ γῆν. μετὰ γοῦν μόνου ὁριςτικοῦ καὶ αὐτοτελὲς γίνεται, μετὰ δὲ
502 ἄλλου τοῦτο ἀδύνατον, εἰ μὴ ἐπενεχθείη ῥῆμα πάλιν ὁριςτικόν. οὐκ ἀγνοῶ δέ, ὅτι παρὰ Ἀττικοῖς καὶ εὐκτικοῖς ςυντάςςεται, ἤκουςα ὅτι φιλοπονοίης καὶ ἥςθην. καὶ δῆλον ὅτι αἱ τοιαῦται φράςεις ἀνθυπαλλαγὰς ἀνεδέξαντο τῶν ὁριςτικῶν ὡς ⟨πρὸς τὰ εὐκτικά, εἴγε⟩ τὸ δηλούμενον ὁριςτικόν, ἤκουςα ὅτι φ⟨ιλοπονεῖς,⟩ ὡς εἰ καὶ ἐπὶ τῆς Ὁμηρικῆς ςυνηθείας ἀπ⟨αρέμφατος⟩ παραλαμβάνοιτο δηλοῦςα πρόςταξιν.

⟨Ἔ⟩τι ⟨δὲ ὁ ὅτι⟩ ςύνδεςμος ἑτέραν ἔχει ςημαςίαν, λέγω δὲ ⟨διαβεβαι⟩ωτ⟨ικὴν⟩ ἐν τοῖς τοιούτοις· ὅτι μὲν τὸ μέλι γλυκύ ἐςτι, προφ⟨ανές·⟩ διότι δέ, ἀγνοῶ· ὅτι μὲν ὁ δεῖνα ἔβλαψέ με, δῆλ⟨ον, διότι δέ,⟩ ἀγνοῶ.

Καὶ αἱ μὲν ςυνδεςμικαὶ διαφοραὶ αὗταί εἰςιν· αἱ δὲ πτωτικαί, ὡς ἔφαμεν, δύο, ἥ τε ἐν ἑνὶ μέρει λόγου, καὶ ἡ καὶ ἐν δυςί. — τοῖς κατὰ πεῦςιν προοιςτοῖς παρά⟨κεινται⟩ ἀναφορικὰ κατὰ πρόςθεςιν τοῦ ō,

---

Argvm. 5 Ὅτι est 1) coniunctio causalis, — 14 quae cum solis indicativis coniungitur; — 20 apud Atticos etiam cum optativis. — 26 2) coniunctio approbativa.

Discr. script. 1. non . . o, quod videre sibi visus est b, sed . . η in A ante μεντοι est, nisi fefellerunt oculi | 2. ⟨παρα⟩ςυναπτικοὶ vel ςυναπτικοὶ ⟨καὶ παραςυναπτικοὶ⟩ GUhlig | 11. οὐ γὰρ b | το αναγνωναι A | 22. ἀνεδέξαντο] fol. 104 v. | ὡς b, ωςτε A | 22. 23. 24. 26. lacunas expl. b | 26—27. διαβεβαιωτικὴν RSkrzeczkae coniectura est, quae litteris ωτ in A servatis, omissis a Bekkero, confirmatur; ὑπαρκτικὴν KLehrs | 28. 29. lacunas expl. b | 28. ἔβλαψε b, εβλεψε A | 30. αυται ειςιν αι δε A, αὗτα⟨ι αἱ δὲ⟩ b | 32. lacunam expl. b

ποῖος ὁποῖος, πόσος ὁπόσος. ὅτι γὰρ οὐχὶ ἐν προσθέσει ἄρθρ⟨ου τοῦ ὁ⟩ ἀποτελεῖται, ἐντελῶς εἴρηται ἐν τοῖς περὶ σχημ⟨άτων⟩. ὁπόσοι γοῦν φαμεν καὶ ὁπόσαι, καὶ ὁποῖοι καὶ ὁπ⟨οῖαι⟩, ἑνὸς ὄντος ἁπλοῦ τοῦ ὁποῖος. καὶ τῷ οὖν τίς παράκειται τὸ ὅτις, ἀφ᾽ οὗ τὸ

ἠδ᾽ ὅτινας μινύθῃσιν (Ο 492).

ὃ ποιήσεται οὐδέτερον ὅτι, ὡς ὁποῖον καὶ ὁπόσον. — Ἔστι δὲ ἑτερόν τι τὸ ὅ τι ἐν δυσὶ μέρεσι λόγου, οὕτως ἔχον τὸ ⟨ὅ καὶ⟩ τὸ τί. καὶ δῆλον ἐκ τῆς δισσῆς κλίσεως, οὗ τινος,

ᾧ ⟨τινι⟩ μὴ βίος ἔνδον (Hes. O. D. 31),

ὅν τινα. ἔνθεν αὖ πάλιν τὸ

οὕς τινας αὖ μεθιέντας (Δ 240).

ἔνθεν πάλιν θηλυκὸν ἥ τις, καὶ δῆλον ὡς οὐδέτερον τὸ ὅ τι, ἐν δυσὶ μέρεσι λόγου καθεστηκός, καθότι καὶ τὸ ὅ⟨ς⟩ τις καὶ τὸ ἥ τις.

Οὕνεκα. Διαφέρει τοῦ προκειμένου συνδέσμου, καθὸ ποιητικ⟨ώτερος⟩, καὶ καθότι τὰς αὐτὰς ἀμφιβολίας οὐκ ἔχει, ἐπεὶ ἕνεκά γε τοῦ δηλουμένου οὐ διαφέρει· μεταλαμβάνεται γοῦν εἰς τὸν ὅτι, πάλιν ὁμοίως ἐπὶ τὰ ὁριστικὰ ῥήματα φερόμενος, ὡς εἰ καὶ ἄλλοι ποιητικοὶ 503 εἰς τοὺς συνήθεις, ὁ αὐτάρ εἰς τὸν δέ, ὁ ἠμέν, ὁ ἠδέ εἰς τὸν καί. — Ἔχει δὲ καὶ ὁ προκείμενος σύνδεσμος πάλιν ἀμφιβολίαν, πότερον εἷς ἐστὶν ἁπλοῦς ἢ ἐν παραθέσει ἔχει τὸ οὗ, οὗ ἕνεκα οὕνεκα. (οὐκ εὔλογον ἐπὶ τούτου σύνθεσιν παραδέξασθαι, καθὸ τὸ οὗ, εἴτε καὶ ἄρθρον ἐστὶν εἴτε ἀντωνυμία, οὐκ ἂν συντεθείη, ὡς ἐντελῶς ἀπεδείξαμεν ἐν τῷ περὶ σχημάτων.) — Καὶ εἰς μὲν ἐπίδειξιν τοῦ τὴν φωνὴν μίαν ἁπλῆν καθεστάναι παραλαμβάνοιτο ἂν ὅδε ὁ λόγος. «Τῶν μορίων τούτων τὰ ἐν ἀνταποδόσει τοῦ $\bar{\tau}$ πάντα ἁπλᾶ καθειστήκει, ἕως τέως,

---

Argum. 4 3) neutrum pronominis ὅτις. — 12 4) neutrum pronominis ὅς τις. — 14 Οὕνεκα poëticum est. — 19 Quaeritur, utrum simplex sit, an ex οὗ ἕνεκα per parathesin ortum. — 23 Simplex esse sic demonstrare poteris. — 25 1) Voces, ad quas demonstrativae a $\bar{\tau}$ incipientes referuntur, simplices sunt.

Testim. 24 Epim. Cram. 314, 17 *ἀλλὰ κανὼν ἐστὶν ὁ λέγων· τὰ ἐν ἀνταποδόσει τοῦ $\bar{\tau}$ παραλαμβανόμενα ἁπλᾶ καθεστήκασιν· οἷον τέως ἕως, τόσος ὅσος. Τὸ οὗ ἕνεκα* (*Τὸ οὖν οὕνεκα* RSchneider), *ἐν ἀνταποδόσει τοῦ $\bar{\tau}$ παραλαμβανόμενον, τοὔνεκα, τούτου χάριν ἐν ἁπλότητι καθέστηκε.* Et. M. 641, 44 *οὕνεκα σύνδεσμος αἰτιολογικός, σχήματος ἁπλοῦ· ἔχει δὲ ἔννοιαν συνθέτου, ἀντὶ τοῦ οὗτινος ἕνεκα. Ἀλλὰ κανών ἐστιν ὁ λέγων, τὰ ἐν ἀνταποδόσει τούτοις* (*τοῦ $\bar{\tau}$* Gaisford) *παραλαμβανόμενα ἁπλᾶ καθεστήκασιν· οἷον τέως ἕως, τόσος ὅσος. Τὸ οὖν ἕνεκα* (scr. *οὕνεκα* cum D), *ἐν ἀνταποδόσει τούτου* (*τοῦ $\bar{\tau}$* D, *τοῦ $\bar{\tau}$* Gaisford) *παραλαμβανόμενον λέγεται τοὔνεκα. Τούτου χάριν ἐν ἁπλότητι καθεστήκασι. Τὸ δὲ τοὔνεκα σύνδεσμος ἀνταποδοτικός.* Et. Gud. 442, 10.

Discr. script. 1—2. 2. 3. lacunas expl. b | 5. μινύθῃ τε Homerus vulg. | 7. ὅ τι RSchneider, ὅτι b | post ἔχοντο fieri potest ut aliquid evanuerit in A, οὕτως ἔχον τὸ ⟨ὅ καὶ⟩ τὸ τί RSchneider | 12. ἥ τις RSchneider, ἥτις b | 13. ὅς RSchneider, ὅ Ab | 14—15. lacunam expl. b | 17. ὡς εἰ Ab in textu, ὥς γε coni. b in var. lect. | 24. ὅδε b, ὡςδε A | 25. pro τοῦ $\bar{\tau}$ RSkrzeczka conicit ⟨προσλήψει⟩ τοῦ $\bar{\tau}$

ἦμος τῆμος, ὄφρα τόφρα. εἴπερ οὖν οὕνεκα ἐστὶ καὶ ⟨τούνεκα, ἀντα-⟩ποδιδόμενον, γνώριμον ὡς τὸ προκείμενον ⟨ἁπλοῦν. — Ἀ⟩λλ᾽ εἰ καὶ παράθεσιν ὑπαγορεύει ποτὲ τὸ οὕνεκα, ⟨οὐ διὰ τοῦτο ἐν⟩ δυςὶ μέρεςι λόγου, εἴγε ἐξ ἁπλῶν πλείονα μέρη ⟨δηλοῦται⟩· ἁπλοῦν τὸ Αἰακίδης, δηλοῦν Αἰακοῦ υἱόν. ἀλλὰ ⟨καὶ τὰ⟩ κτητικὰ πάλιν ἁπλᾶ ὄντα εἰς δύο ὀνόματα ⟨ἀναλύετ⟩αι, καὶ τὰ συγκριτικὰ εἰς ὄνομα καὶ τὸ μᾶλλον ⟨καὶ⟩ ἄλλο τι τῶν ἀφ᾽ ὧν παρῆκται. σύνθετοί τε φωναὶ ⟨ἁπλοῦν⟩ ἔχουσι τὸ δηλούμενον.» — Ἀλλὰ πρός γε τὰ εἰρημένα ἀν⟨τιλέγοι⟩ τις ἂν ὡς τὰ ἀνταποδοτικὰ εἰς ᾱ λήγοντα ἐπέκ⟨τασιν ἀναδέχ⟩εται, τηνίκα τηνικαῦτα, τόσα τοσαῦτα, τοῖα τοιαῦτα. καὶ ⟨τῷ⟩ παρὰ τὸ οὕνεκα τοὔνεκα παρείπετο ⟨ἂν⟩ ἡ αὐτὴ ἐπέκτασις. — καὶ ἴσως τὸ τοιοῦτον οὐκ ἄγαν ⟨ἄλογ⟩ον, ἐπεὶ καὶ τὸ τόφρα ὃν ἀνταποδοτικὸν οὐκ ἀνα⟨δέδεκ⟩ται τὴν ἐπέκτασιν. διὸ καὶ ὁ Τρύφων (p. 40 Velsen) ἐν κανόνι προσετίθει, ὅτε μὴ μακρᾷ παρεδρεύηται· ἀλλ᾽ ἣν πάλιν ⟨τὸ τ⟩οῖα εἰς τὸ τοιαῦτα ἐπεκτεινόμενον.

Τὰ ἐν ἁπλοῖς πλείονα δηλοῦντα οὐκ ἔχει ἐγκειμένας τὰς φωνὰς τῶν δηλουμένων. τὸ Αἰακίδης, δηλοῦν καὶ τὸν υἱόν, οὐκ ἔχει τὴν υἱός φωνήν· τὸ γοργότερος, δηλοῦν καὶ τὸ μᾶλλον, οὐκ ἔχει ἐγκείμενον τὸ μᾶλλον· ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ὁμοίων. ὅτε μέντοι ταῖς φωναῖς
504 καὶ τὰ δηλούμενα συνομολογεῖ, τηνικαῦτα δεῖ παραδέχεσθαι τὸν σχηματισμὸν σύνθετον, ὡς ἔχει τὸ φιλάνθρωπος, φιλοπλάτων, αὐτάρεσκος. πολὺ δὲ μᾶλλον ἐπὶ τοῦ προκειμένου σχήματος ἔστι τὸν λόγον παραδέξασθαι, ἐπεὶ παράθεσιν τῶν λέξεων ὑπαγορεύει, καθὼς πρόκειται.

Ῥητέον οὖν, ὡς ὅτε τὸ οὕνεκα ἴσην δύναμιν ἔχει τῷ ὅτι,

οὕνεκα τὸν Χρύσην (Α 11),
οὕνεκ᾽ ἄρ᾽ οὐχ ᾧ πατρί (ν 265),

ἁπλοῦν καταστήσεται· ἐν παραθέσει δὲ δύο μερῶν λόγου, ὅτε δηλοῖ τὸ οὗ ἕνεκα (ᾧ λόγῳ καὶ τὸ ὅτι ἓν καθειστήκει καὶ δύο, παρεσχηματισμένον τῷ ὅς τις). ἐκκείσθω δὲ καὶ ὑποδείγματα·

Argvm. 2 2) Simplicia interdum duarum vocum vim habent. — 8 Priori argumento hoc opponi potest, cetera huius generis correlativa epectasin assumere, non assumere τούνεκα. — 13 Sed ne τόφρα quidem producitur. — 15 Deinde, quod 2) praeceptum est, de eis tantum vocibus simplicibus valet, quarum in forma altera illa vox, quae simul significatur, non inest. — 21 In οὕνεκα poteris certe statuere voculam οὗ inesse. — 23 Itaque οὕνεκα ubi est idem, quod ὅτι, simplex esse, — 26 ubi idem valet, quod οὗ ἕνεκα, ex his per appositionem factum esse statuamus.

Discr. script. 1. lacunam expl. RSchneider, nisi quod ⟨ἀ⟩ addidit b ante ποδιδομενον, quae sunt primae litterae in fol. 105 r. | 2. lacunam expl. RSchneider | 3. παράθεσιν RSchneider, φράσιν Ab | 4. 5. lacunas expl. RSchneider | 6. priorem lacunam expl. b | ⟨καὶ⟩ RSchneider | 7. ⟨ἁπλοῦν⟩ b | 8. ἀν⟨τιλέγοι⟩ RSchneider, ἀν⟨τιθείη⟩ b in var. lect. | 9. lacunam expl. b | 10. τῷ inseruit RSchneider | 11. ⟨ἂν⟩ RSchneider, ⟨οὖν⟩ vel ⟨δὴ⟩ b in var. lect., ubi pro 9 legendum 11 | 12. ⟨ἄλογ⟩ον RSchneider, ⟨ἀναγκαστικ⟩ὸν b in var. lect. | 12. 14. lacunas expl. b | 19. ante τον add. και A² | 23. ὅτε RSchneider, ὅτι Ab | ἔχει RSchneider, ἔχον Ab | 26. δὲ δύο RSchneider, τε δύο Ab

οὕνεκα δεῦρ' ἱκόμεϲθα θοῇ ϲὺν νηὶ μελαίνῃ (γ 61)·
ἡ δ' Ἄτη ϲθεναρή τε καὶ ἀρτίποϲ, οὕνεκα πάϲαϲ (Ι 505).

Ἀλλ' ἐκεῖνο δόξει παραλελεῖφθαι, τὸ τὰ ἐν ἀνταποδόϲει ἐν ἁπλοῖϲ καθίϲταϲθαι. οὐκ ἔχει δὲ τῇδε τὸ τοὔνεκα· καθ' ἕκαϲτον γὰρ ἡ παράθεϲιϲ ἐγένετο τῶν μορίων, ὥϲτε παρὰ μὲν τὸ οὗ οὕνεκα γίνεϲθαι, παρὰ δὲ τὸ τοῦ τοὔνεκα. καὶ τὰ τοῦ τόνου δὲ ἐπιλελύϲθω. ἡνίκα γὰρ περιϲπωμένη καὶ ὀξεῖα ϲύνειϲι, λείπονται δὲ δύο ϲυλλαβαί, πάντωϲ καὶ ὁ τόνοϲ εἰϲ ὀξεῖαν μεθίϲταται, ὦ Ἄπολλον Ὤπολλον . . . . . ὦ ἄναϲ⟩ϲα ὤναϲϲα. προϲέθηκα . . . . λειπομέναϲ διὰ τὸ ὦναξ. τ . . . . ρατον τοῦ ἕνεκα τοὔνεκα ϲυμ . . . . . ἔτι εἰϲ ἀπόδειξιν τοῦ λόγου καὶ τὸ ἀϲυν . . . καὶ ἐν γένουϲ παραλλαγῇ καὶ ἀριθμ⟨οῦ·

τοῦ εἵνεκα ϲὺ⟩ ϲτεναχίζων (π 188),
τῆϲ ἕνεκεν καὶ νῆεϲ (ρ 288)

τῶν ἐν ϲυ . . ληυ ὁδόν ἴϲωϲ φηϲὶν ὁ Τρύφων τὸ τ προ . . . . . . τῷ·

περϲίῃ, ⟨ἧϲ⟩ τ' ἕνεκεν πένθοϲ ἀπωμόϲατ⟨ο, 505

ἰωνίζοντοϲ πολλάκιϲ⟩ τοῦ Καλλιμάχου (fr. 485 Schneider) ὑπολαβόντοϲ αὐτοῦ καὶ τ . . . καὶ τὸ τοὔνεκα οὕτωϲ ἔχειν. καὶ οὐκ ἔϲτιν ε . . ματοϲ ἡ αὐτὴ ἀπολογία. οὐ γὰρ οἷόν τε τὸ . . . ξαϲθαι τοὔνεκεν, ἐπεὶ οὐδέποτε τὰ ἄρθρα τ . . τῆϲ ἐκθλίψεωϲ παραδέχεται.

Ἕνεκεν. Ποιητικώτερον μετὰ τοῦ ῑ λέγεται, καθότι καὶ τὸ κ . . ⟨οὗτοϲ⟩ ὁ ϲύνδεϲμοϲ πάντοτε ἐπὶ γενικὴν πτωτικοῦ φέρ⟨εται,⟩ ἕνεκα ἐμοῦ, ἕνεκα αὐτοῦ, ἕνεκα Ἀπολλωνίου. ⟨ἐπαι⟩νετέα γοῦν τὰ παρὰ τῷ ποιητῇ,

εἵνεκα τῆϲ ἀρετῆϲ ἐριδαίνομεν (β 206),
εἵνεκα Νηλῆοϲ κούρηϲ (ο 233),
εἵνεκ' ἐμεῖο κυνόϲ (Ζ 356)·

εἴγε πάλιν καὶ παρατετηρημένωϲ τὸ οὕνεκα ἐπὶ ῥῆμα φέρεται,

Argum. 3 Quod huic alteri οὕνεκα respondet, τοὔνεκα, neque est ἀνταποδοτικόν, neque simplex, sed ex τοῦ ἕνεκα coaluit. — 19 Εἵνεκα poëtis usitatum. Et ἕνεκα et εἵνεκα semper cum genetivo construitur, — 26 οὕνεκα cum verbo coniungi solet.

Testim. 4 Ammon. 136 *Τοὔνεκα καὶ οὕνεκα διαφέρει. τὸ μὲν γὰρ τοὔνεκα ἐστὶ τούτου ἕνεκα· τὸ δὲ οὕνεκα ἀντὶ τοῦ ὅτι· ἁμαρτάνει οὖν ὁ Καλλίμαχος ἐν Ἑκάλῃ κατὰ δύο τρόπους, λέγων· Τοὔνεκεν Αἴγεος* (AFNaeke e MS Regio, vulgo *Αἰγεύς*). *ὅτι τε δέον εἰπεῖν οὕνεκα, τοὔνεκεν εἶπεν· καί ὅτι ἀντὶ τοῦ κα κεν εἶπεν.* — 20 Ep. Cram. 131, 4 *ἕνεκα τοῦ οὕνεκα διαφέρει· τὸ μὲν οὕνεκα σημαίνει τὸ διότι . . . τὸ δὲ ἕνεκα τὸ χάριν σημαίνει.* Et. M. 302, 20. Gud. 168, 59.

Discr. script. 3. παραλελεῖφθαι b, παραλεληφθαι A | 4. τ$\overset{\text{ο}}{\text{ῇ}}$ιδε in marg. A², om. A¹ | 8. ὦ Ἄπολλον Ὤπολλον b, ωϲ απολλον απολλον A | ⟨ὦ ἄναϲ⟩ b | 12. lacunam ex Homero explevit AFNaeke, idemque v. 12. 13. Homeri locos indicavit | 17. ⟨ὅμοιον⟩ τῷ· περϲίῃ, ⟨ἧϲ⟩ τ'ἕνεκεν πένθοϲ ἀπωμόϲατ⟨ο, ἰωνίζοντοϲ πολλάκιϲ⟩ OSchneider, versum pentametrum . . . . ἕνεκεν πένθοϲ ἀπωμόϲατο alicubi lectum sibi agnoscit AFNaeke | 19—20. post κ lacuna quattuor vel quinque litterarum, multo igitur minoris ambitus quam indicavit b est in A; quare κ⟨ενόϲ⟩ conicit RSchneider | 20. 21. lacunas expl. b | 26. παρατετιρημενωϲ A

οὕνεκα τὸν Χρύσην ἠτίμασεν (Α 11).

ἀλλὰ κἂν δύο μέρη λόγου καθεστήκῃ τὸ οὕνεκα, ἔχει προκειμένην τὴν τοῦ γενικήν. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ οὕνεκα. ἐπίμεμπτοι οὖν οἱ τὰς ⟨συν⟩τάξεις παρασυγχέοντες, ὧν ἐστι Καλλίμαχος·

οὐδ' ἕνεκ' Εὐρυνόμη Τιτηνιάς (fr. 471 Schneider),
εἵνεκεν οὐχ ἓν ἄεισμα διηνεκές (fr. 287 Schneider)·

φέρεται γὰρ ὁ σύνδεσμος ἐπὶ τὸ ἤνυσα, καὶ δέον τῷ οὕνεκα καταχρήσασθαι.

Γάρ. Τὴν αὐτὴν σύνταξιν ποιεῖ τὸ ⟨μόριον⟩ τῷ ὅτι, δύναμίν τε τὴν αὐτήν. ἔχει δὲ παραλλαγὰς τὸ μὴ ζητεῖσθαι πόσα μέρη λόγου, τὸ ἐν ἀρχῇ μὴ παραλαμβάνεσθαι τῶν λόγων, ἐν ὑποτάξει δέ. διὸ καὶ κατ' ἀρχὴν τιθέμεν⟨α⟩ τὰ αἴτια μετὰ τῶν προτακτικῶν συνδέσμων εἰς δευτέραν τάξιν μεθίστησι, καὶ οὕτως ἀληθεύει ὁ λόγος. ἔστω δὲ ὑποδείγματα· ὅτι ἡ μ έ ρ α ἐ σ τ ί, φ ῶ ς ἐ σ τ ι ν. εἰ ἀφέλοιμεν τὸν ὅτι καὶ προσθείημεν τὸν γάρ, ψευδὴς ὁ λόγος γίνεται, καθὸ τοῦ αἰτίου ἠλλοτρίωται. οἱ γὰρ αἰτιώδεις σύνδεσμοι μετὰ τῶν αἰτίων θέλουσι παραλαμβάνεσθαι. τὸ ἡ μ έ ρ α ἐ σ τ ί ν αἴτιόν ἐστι τοῦ φῶς εἶναι· ὅ τ ι ἡ μ έ ρ α
506 ἐ σ τ ί, φ ῶ ς ἐ σ τ ι. φ ῶ ς γ ά ρ ἐ σ τ ι ν· ὡς προεῖπον, ψευδὴς ὁ λόγος. εἰ δὲ τὸ αἴτιον πρὸς τῷ συνδέσμῳ γένοιτο, ἀληθεύσει καὶ ὁ λόγος· φ ῶ ς ἐ σ τ ι ν, ἡ μ έ ρ α γ ά ρ ἐ σ τ ι ν. ⟨ὅτι μ⟩ὲν οὖν τοὺς πρώτους λόγους ἐν συντάξει ὁ γάρ δευτέρους ἀποτελεῖ, ἐδείχθη. — Ἀλλὰ μὴν καὶ συνήθως ὁ ποιητὴς ⟨ἀρ⟩κτικῷ αὐτῷ προσχρῆται. καὶ οὐ τοῦτο τεκμήριον τοῦ τὸν λόγον ἀποδοκιμάζεσθαι, εἴγε καὶ τὰ τοιαῦτα Ἀρίσταρχος ⟨παρεσημ⟩ειώσατο ὡς ἀνατεθειμένα Ὁμηρικῇ συνηθείᾳ, καθότι καὶ ἐπ' ἄλλων πλείστων ἰδιάσαντά τινά ἐστι παρ' αὐτῷ. καὶ δῆλον ὅτι ἐν τῷ

Ἀτρείδη, νῦν γάρ σε ἄναξ ἐθέλουσιν (Β 284)

ὑπερβεβίβασται ἡ φράσις. δέον γὰρ οὕτως ἐκδέξασθαι· οἱ Ἕ λ λ η ν ε ς ⟨ν ῦ ν⟩ ο ὐ κ ἐ κ τ ε λ έ σ ο υ σ ί σ ο ι τ ὰ τ ῆ ς ὑ π ο σ χ έ σ ε ω ς· θ έ λ ο υ σ ι γ ὰ ρ ἐ λ έ γ χ ι σ τ ό ν σ ε π ο ι ῆ σ α ι. ἴσως δὲ κἀκεῖνος οὕτως ἔχει·

Argvm. 3 Qui ἕνεκα cum verbo construunt, vituperandi sunt. — 9 Γάρ eandem habet et constructionem et notionem atque ὅτι, sed semper postponitur. Causale enuntiatum, in cuius initio ὅτι ponitur, praecedere solet; in quo γάρ est, posteriorem locum occupat. — 22 Homerus γάρ particulam haud raro in initio orationis ponit.

Discr. script. 4. συντάξεις b, ταξεις A | 5. οἰδ' legit FJBast pro οὐδ' in A | 6. διηνεκες om. A[1], adscr. A[2] in marg., Callimachi fragmento adiecit FNaeke | 9. μόριον add. b, in A nullum lacunae vestigium | 10. αὐτὴν ⟨ἔχει⟩. RSchneider | 15—16. ἠλλοτρίωται b in var. lect., ηλλοτριουται (non, quod b tradit, αλλοτριουται [ηλ superscr.]) A, ἀλλοτριοῦται b in textu | 18. ante φῶς γάρ ἐστιν intercidisse ⟨εἰ οὕτω φαίημεν· ἡμέρα ἐστίν,⟩ censet RSchneider | 19. γένοιτο fol. 106 r. | 20. 22. lacunamexpl. b | 24. . . . . ειωσατο A, παρεσημειώσατο KLehrs, παρεώσατο b, quasi haec esset codicis scriptura | 26. γάρ] δή Homerus vulg. | 27. νῦν b, nullum lacunae indicium in A

ὦ Κίρκη, τίς γὰρ ταύτην ὁδὸν ἡγεμονεύσει;
εἰς Ἄϊδος δ' οὔ πώ τις ἀφίκετο (κ 501—2)·

ὦ Κίρκη, εἰς Ἄϊδος δὲ οὔ πώ τις ἀφίκετο· τίς γὰρ ταύτην ὁδὸν ἡγεμονεύσει; Τρύφων (p. 40 Velsen) μέντοι φησὶν ἐπὶ τοῦ τοιούτου συνδέσμους ἀντιπαρειλῆφθαι, τὸν γάρ ἀντὶ τοῦ δέ καὶ τὸν δέ ἀντὶ τοῦ γάρ· τίς δὲ ταύτην τὴν ὁδὸν ἡγεμονεύσει; εἰς Ἄϊδος γὰρ οὔ πώ τις ἀφίκετο. καὶ οὐκ ἔστιν ἀσύνηθες τὸν δέ εἰς τὸν γάρ μεταλαμβάνεσθαι.

βέλος δ' εἰς ἐγκέφαλον δῦ (Θ 85)·

αἰτία γάρ ἐστι τοῦ ἀναπαλῆναι τὸν ἵππον.

θάμβησεν δ' Ἀχιλεύς, μετὰ δ' ἐτράπετ', αὐτίκα δ' ἔγνω
Παλλάδ' Ἀθηναίην, δεινὼ δέ οἱ ὄσσε φάανθεν (Α 199—200)·

ἵν' οὕτως τὸ καταπληκτικὸν τῆς θεοῦ μηνύσῃ. ἀλλὰ δύναται ὁ γάρ πλεονάζειν ἐπὶ τῆς ἀνταποδόσεως, ⟨ὡς⟩ Τρύφων, ὁμοίως τῷ

τίς γὰρ ὅδ' ἄλλος Ἀχαιὸς ἀνὴρ ἠύς τε μέγας τε (Γ 226)

καὶ ἐπὶ τοῦ

αἲ γὰρ Τηλέμαχον βάλοι (ρ 251)· 507
αἲ γὰρ δὴ οὕτως εἴη (Δ 189).

καὶ γὰρ ἐπὶ τῶν τοιούτων οὐ δόξει μάχεσθαι ἡ σύνταξις, τοῦ γάρ κατ' ἀρχὴν τιθεμένου.

Ἔτι ὁ γάρ διαφέρει τῶν ἄλλων αἰτιωδῶν, καθὸ σχεδὸν ἅπασι συντάσσεται. ὅτι γὰρ παρεγένου· ἕνεκα γὰρ τούτου ἦλθες. καὶ δῆλον ὅτι οἱ μὲν ἄλλοι σύνδεσμοι χώραν εἶχον τὴν προτακτικήν, καὶ οὐδεὶς τῷ ἑτέρῳ ἐδύνατο ὑποτετάχθαι, οὔτε ὁ ἕνεκα τῷ οὕνεκα, οὔτε ὁ οὕνεκα τῷ ἕνεκα, καὶ ἐπὶ τῶν ὑπολοίπων τὸ αὐτό· ὁ μέντοι γάρ, τῷ δέοντι τόπῳ προσχρώμενος τῷ ὑποτακτικῷ, ἀκωλύτως ἐν ὑποτάξει παραλαμβάνεται. — Ὁ μὲν οὖν Τρύφων φησὶν ὡς ἐκ τῶν δύο συνδέσμων ἓν καθίσταται τὸ αἰτιολογούμενον, ἕνεκα γὰρ τούτου ἦλθες ὡς εἵνεκα τούτου ἤλυθας· ὅτι γὰρ παρεγένου· καὶ ἐπὶ τῶν παραπλησίων τὸ αὐτό. τινὲς μέντοι ἐπιπλοκὴν ἐξεδέξαντο τῶν αἰτιωδῶν συνδέσμων, ὥστε ἐξ αἰτίου αἴτιον . ενδ . τὸ αἰτιολογούμενον ἕνεκα γὰρ τούτου ἦλθες κα . . νουσί τε οὕτως τῷ μὲν ἤλυθες τὸν γάρ συντάσσοντες, τῷ δὲ τούτου τὸν ἕνεκα, ἦλθες γὰρ ἕνεκα τούτου· ⟨ὅτι γὰρ⟩ ἦλθες μέμφομαί σε, μέμφομαι γάρ σε ὅτι ἦλθες . . . ὁ Τρύφωνος δ' ἂν λόγος συνηγορηθείη, καθὸ πολλοὶ καὶ ἄλλοι σύν-

Argum. 4 Trypho in talibus γάρ et δέ particulas inter se commutatas esse censet. — 8 Ac sane est, ubi promiscue ponantur. — 22 Ceterae causales in initio sententiae ponuntur, neque altera alteri postponitur: γάρ postpositivum est et alteram subsequi potest. — 28 Hoc ubi factum est, Trypho dicit unam notionem subesse; alii arbitrantur utramque suam vim habere. — 34 Ac sane etiam aliae voces eiusdem notionis una ponuntur. Sed hoc concedi non potest, μὲν γάρ in unam vocem coaluisse.

Discr. script. 13. ⟨ὡς⟩ RSchneider, ⟨φησί⟩ AdeVelsen | 14. τίς γὰρ A b, τίς τ' ἄρ' Homerus vulg. | 25. ακολυτος A | 27. litterae νκαθισταται ab A² in rasura | 29. τὸ αὐτό] fol. 106 v. | 30. ενδ . . A, εν . . b | 33. 'Priorem γάρ ego addidi' b in var. lect.; sed ne ὅτι quidem legi potest in A

δεcμοι ἰcoδυναμοῦντεc παράλληλοι τίθενται, καὶ οὐ μόνοι cύνδεcμοι, ἀλλὰ καὶ ἄλλα μέρη λόγου. οὐκ ἐκεῖνο μέντοι παραδεξόμεθα, ἐφ' οὗ φηcι (p. 41 Velsen) τὸν μὲν γάρ ἕνα εἶναι cύνδεcμον, ἰcoδυναμοῦντα τῷ δέ, ἐν ὑποδείγματι τοιούτῳ· ἐγὼ μὲν καὶ Διονύcιοc ἐδειπνοῦμεν, cὺ μὲν γὰρ οὐ παρεγένου. «οὔτε γάρ», φηcιν, «ὁ μέν δεόντωc ⟨ἐν προτάcει⟩, οὔτε ὁ γάρ ἐπ' αἰτίαc τινὸc παραλαμβάνεται. εἷc οὖν ἐcτιν ἀντὶ τοῦ δέ, καὶ ὁ τύποc τῆc φωνῆc καὶ ἔτι ὁ τόνοc αἴτιοί εἰcι τοῦ μὴ δοκεῖν τὸν μέν καὶ γάρ ἕνα εἶναι, ὡc ἐπὶ τοῦ αὐτάρ ἓν ὑπολάβοιτό
508 τιc τὸν αὖ καὶ τὸν τάρ εἶ⟨ναι⟩ διὰ τὸν τόνον, καθὸ ὁ γάρ ἀcυνέγκλιτοc ὢν ἐπάγει ἐφ' αὑτὸν τὴν ὀξεῖαν, Ζεὺc γάρ. τοιοῦτον δὲ καὶ τὸ μὲν γάρ.» ἡ μὲν γὰρ φωνὴ παρειcδύεται ἄλογοc, εἴγε τὰ εἰc ρ̄ λήγοντα μετὰ βραχείαc μόρια βαρύτονά ἐcτι, καὶ διὰ τοῦτο τοῦ πατήρ ἡ κλητικὴ ἐβαρύνθη ἐν τῷ πάτερ καὶ τοῖc παραπληcίοιc· καὶ οὐκ ἄλογοc ἡ ἀνάγνωcιc Πτολεμαίου τοῦ ἀναλογητικοῦ, ἐν τῷ

αὐτὰρ ἐπεὶ κόcμηθεν (Γ 1)

βαρύνοντοc τὸ τέλοc. καθὸ γὰρ πρόθεcιc ἡ ὑπέρ, οὐκέτι δύναται ἀντικεῖcθαι, ὤ⟨ν⟩πέρ ἐcτι τὸ τέλοc ὀξὺ πάντοτε. — δεύτερον καὶ οὐ παρά τινι παρειλημμένοc ἦ⟨ν⟩ εἰc ἓν μέροc λόγου. — τρίτον ὡc καὶ ἐκ παραθέcεών τινων cυνδέcμων ἄλλαι δυνάμειc cυνδεcμικαὶ ἀποτελοῦνται. ὁ γοῦν μέν, προcλαβὼν τὸν τοί, ἴcην δύναμιν ἀποτελεῖ πάλιν τῷ δέ. ἀλλὰ καὶ ὁ καί, ἔτι προcλαβὼν τὸν τοί καὶ ἔτι τὸν μήν, ἄλλην δύναμιν ἐπαγγέλλεται. πολλάκιc τε δύο ἢ καὶ πλείονα μέρη λόγου ἑνὸc ἐπαγγέλλεται cημαcίαν. τὸ γοῦν εἰc οἶκον τὸ αὐτὸ τῷ οἴκαδε, καὶ ἄλλα ἄπειρα. οὐδὲν οὖν κωλύοι καὶ τὸν μὲν γάρ δύναμιν ἑνὸc cυνδέcμου ἐπαγγέλλεcθαι. τί γάρ, εἰ καὶ οὕτω τιc ἐκδέξαιτο, τὸν γάρ πλεονάζοντα, τόν τε μέν οὐκ ἀcυνήθωc ἀντὶ τοῦ μήν παρειλῆφθαι; . . . . . .

οὐ μὲν γάρ τί cε πεζὸν ὀίομαι (α 173)·
οὐ μὲν γὰρ φιλότητί γ' ἐκεύθανον (Γ 453).

τοcαῦτα περὶ τοῦ γάρ.

Argvm. 10 Nam 1) barytonon esse oportebat. — 17 2) Scriptura illa in usu non est. — 18 3) Etiam alias, ubi binae coniunctiones apponuntur, una evadit significatio. Nihil igitur impedit ex coniunctis μὲν γάρ particulis unam eamque novam notionem provenire.

Testim. 15 Schol. AD ad Γ 1 *οἱ μὲν οὖν ὀξυτόνως ἀνεγνώκασιν, ὡς Καλλίμαχος, οἱ δὲ βαρυτόνως λόγῳ τῷδε· πᾶσα λέξις εἰς αρ λήγουσα βαρύνεται, οἷον ἄφαρ εἶθαρ μάκαρ δάμαρ στέαρ οὖθαρ. ῥητέον δὲ ὅτι οὐδεὶς συμπλεκτικὸς ἢ περισπᾶται ἢ βαρύνεται, πάντες δὲ ὀξύνονται.*

Discr. script. 5—6. ⟨ἐν προτάcει⟩ AdeVelsen, ⟨μονάζει⟩ b in var. lect. | 9. εἶ⟨ναι⟩ AdeVelsen, ει cum lacuna duarum triumve litterarum A, ε . . . b | διὰ τὸν τόνον AdeVelsen, δὲ τὸν τόνον Ab | 9—10. ἀνέγκλιτοc GUhlig | 10. ἐφ' αὑτὸν AdeVelsen, επ αυτον, nullo lacunae indicio, A, ἐπ' αυτο . . b | 13. κλιτικη A | 17. ὤνπερ AdeVelsen, ωπερ Ab | 18. παρειλημμένοc ἦν AdeVelsen, παρειλημμένον ἡ Ab | 24. κωλυοι A, κωλύει b | 27. οὐ μὲν] fol. 107 r., sed ante ου μεν lacuna decem fere litterarum, cuius mentionem non fecit b

Διότι. Ἐπὶ τούτου ἐπέcτηcάν τινες, εἰ μετὰ τῆc διά προθέcεωc cύγκειται ὁ ὅτι cύνδεcμοc ἢ τὸ ὅτι πτωτικόν, καὶ δῆλον ὅτι ἢ ἁπλοῦν ἢ ἐν παραθέcει τοῦ ὅ. καὶ εἴη ἂν cυνηγορία τῆc τοῦ cυνδέcμου ⟨cυνθέcεωc⟩ ἥδε. «τὸ αὐτὸ δηλοῖ τῷ ὅτι καὶ διότι, cύνταξίν τε τὴν αὐτὴν ἔχει, ὅτι περιπατῶ, κινοῦμαι· διότι περιπατῶ, κινοῦμαι.» — ἀλλὰ πρόc γε ταῦτα ῥητέον· οὐδέποτε ἡ διά πρόθεcιc, αἰτιώδηc παραλαμβανομένη, ἐν cυνθέcει ἐcτί. δεῖ δὲ νοεῖν ὅτι τὸ διότι ἕν ἐcτι μέροc 509 λόγου, καθὸ ἐπεδείξαμεν τὰc προθέcειc ἐν ἀπτώτοιc ἐνοῦcθαι. — ἔτι ἡ διά πρόθεcιc, αἰτιώδηc παραλαμβανομένη, ἐπ' αἰτιατικὴν φέρεται, δι' Ἀπολλώνιον, διὰ cέ. φέρε γὰρ οὕτωc εἰπεῖν διὰ coῦ, καὶ οὐκέτι αἰτιώδηc ἡ διά. ἔνθεν φαμὲν αἰτιατικῆc τὸ τό εἶναι ἐν τῷ διὰ τὸ ἡμέραν εἶναι φῶc ἐcτιν. ὁ δὲ ὅτι cύνδεcμοc πτῶcιν οὐκ ἀναδέχεται. — ἀλλ' οὐδὲ ἐκεῖνο ἀληθέc ἐcτιν, ὡc ἐπὶ τὸ αὐτὸ φέρεται τὸ διότι καὶ ὅτι. ὃ μὲν γὰρ λείπει τῷ ἀνταποδοτικῷ, ὃ δὲ οὔ. τὸ γὰρ οὕτω λεγόμενον, διότι ἡμέρα ἐcτί, φῶc ἐcτι λείπει τῷ διὰ τοῦτο [φῶc ἐcτι]· τὸ δὲ ὅτι ἡμέρα ἐcτί, φῶc ἐcτιν αὐτοτελέc. ὅτι περιπατῶ, κινοῦμαι· οὐ γὰρ δή γε τοιοῦτον ἔcτι⟨ν⟩, [δι]ότι περιπατῶ, διὰ τοῦτο κινοῦμαι. — φηcὶ δὲ καὶ ὁ Τρύφων (p. 42 Velsen), ὡc τοῖc τοιούτοιc μορίοιc, πτωτικοῖc οὖcιν, ἀνταποδίδοται τὰ τοιαῦτα, ὡc ἐν τοῖc τοιούτοιc ὅc τιc περιπατεῖ, οὗτοc κινεῖται· ὅ τι περιπατεῖ, τοῦτο κινεῖται. καὶ δῆλον ὅτι τὸ διότι, ἔχον τὴν αὐτὴν ἀνταπόδοcιν, ἔχει ἐγκείμενον πτωτικὸν τὸ ὅ τι, cαφὲc ποιοῦν κἀκ τοῦ πνεύματοc, καθὸ μέcη ἡ δαcεῖα, ὑπαγορεύουcα τὴν διά πρόθεcιν ἐν τῇ παραθέcει. (οὐ γὰρ δή γε καὶ αὐτὸ μόριόν ἐcτι τῶν ἡμαρτημένων, ὁμοίωc τῷ εἶέν, εὖάν, εὐοῖ.) δεῖ δὲ νοεῖν ἐπὶ τῆc cυντάξεωc, ὅτι πτωτικὸν καθεcτηκὸc τὸ διότι τρία μέρη λόγου δηλοῖ ἐν παραθέcει, τήν τε πρόθεcιν, ἣν ἔφαμεν πάντοτε ἐν παραθέcει εἶναι αἰτιωδῶc παραλαμβανομένην, καὶ τὸ ὅ καὶ τὸ τί, καὶ ἐν πτώcεcι δὲ αἰτιατικαῖc, ἐφ' ἃc

---

Argvm. 1 Διότι quidam ex διά et ὅτι coniunctione factum esse putant, quod eandem atque ὅτι coniunctio notionem habeat — 6 At 1) διά causalis nunquam componitur. — 8 2) Διά causalis cum accusativo construitur, ὅτι autem coniunctio casibus caret. — 13 3) Διότι indiget correlativo, ὅτι non indiget. — 18 Statuimus igitur, inesse ὅ τι accusativos; — 22 idque etiam ex interaspiratione apparet,

---

Testim. 26 Schol. Dion. Thr. BA 967, 32 *τριῶν μερῶν λόγου παράθεσίς ἐστι, τῆς διά προθέσεως καὶ τοῦ ὅ ἄρθρου ὑποτακτικοῦ καὶ τοῦ τί ὀνόματος ἀορίστου.*

Discr. script. 3—4. cυνθέcεωc inseruit GUhlig | 7. ἔδει pro δεῖ GUhlig | 9. αἰτιατικὴν b, αιτιατικηc A | 11. αἰτιώδηc b, cυνδεcμοc A | 15. διὰ τοῦτο b, δια τουτο φωc εcτιν A | 17. τοιοῦτόν ἐcτιν, ὅτι vel τὸ τοιοῦτόν ἐcτιν, ὅτι RSchneider, τοιοῦτόν ἐcτι, διότι Ab | 21—22. ανταποδωcιν A | 22. ὅ τι RSchneider, ὅτι Ab | 25. εἶέν, εὖάν, εὐοῖ GUhlig, εὔαδεν, εὖοῖ Ab, εὐἄν pro εὔαδεν coniecerat KLehrs, εὐοῖ pro εὐοῖ scripserat etiam ChALobeck | 27—28. η in παραλαμβανομενην voce scriptum ab A* in rasura

καὶ φέρεται ἡ πρόθεσις. τούτων δὲ ἀπόδειξις ἡ τῶν ἑτερογενῶν παρείσδυσις, δι᾽ ὅν τινα, δι᾽ ἥν τινα, καὶ ἐπὶ πληθυντικῶν δι᾽ οὕς τινας, δι᾽ ἅς τινας. τὸ γὰρ ἐπ᾽ οὐδετέρου ἐλελήθει ἡμᾶς, καθὸ ἐν ὁμοφωνίᾳ παραλαμβάνεται . . . . κλίσεως ἐπί τε εὐθείας καὶ 510 αἰτιατικῆς καὶ ἐπὶ . κλητικῆς. — Τοῖς αὐτοῖς ἐπιχειρήμασι προσχρηστέον ⟨καὶ ἐπὶ⟩ τοῦ διότι καὶ ἔτι τοῦ καθότι. καὶ γὰρ ἡ κατά ἐ⟨ν ἴσῳ παρα⟩λαμβάνεται τῇ διά, ὡς ἔφαμεν κατὰ ταύτην τὴν πρόφασιν ἐν ἴσῳ τῷ διὰ ταύτην τὴν πρόφασιν· κατὰ τοῦτο ἐλήλυθα, διὰ τοῦτο ἐλήλυθα. — οὕτως ἔχει καὶ ἡ εἴς καὶ ἡ πρός· πρὸς τί λυπῇ; διὰ τί λυπῇ; εἰς τοῦτο ἐλήλυθα, διὰ τοῦτο ἐλήλυθα.

Ἵνα. Διαφορὰς ἔχει τὸ μόριον τρεῖς, συνδεσμικὰς μὲν δύο καὶ ἐπιρρηματικὴν μίαν, τόπου δηλωτικήν. συνδεσμικὸν μὲν οὖν καθεστηκὸς τὰ συντασσόμενα ῥήματα μετατίθησιν εἰς τὰ καλούμενα ὑποτακτικά, καθότι καὶ ὁ ἐάν ἐπιζευκτικός, ἵνα γράψω, ἵνα γράψῃς, ἵνα γράψῃ· ἐπιρρηματικῶς δὲ φυλάσσει τὴν ὁριστικὴν κλίσιν,

ἵνα τ᾽ ἔτραφεν ἠδ᾽ ἐγένοντο (κ 417)·
ἔνθ᾽ ἵνα ἐς κακόν ἐστιν.

καὶ τοῦτό γε διοίσει, ὡς συνήθως μέν ἐστι σύνδεσμος καθεστηκώς, ποιητικῶς δὲ ἐπίρρημα. Ἔχει δὲ καὶ τὰς συνδεσμικὰς διαφορὰς δύο οὔσας, μίαν μὲν αἰτιολογικήν, ἑτέραν δὲ ἀποτελεστικήν. ἐν γὰρ αἰτίᾳ τοῦ ἀναγνῶναί φαμεν οὕτως, ἵνα ἀναγνῶ ἐτιμήθην, ἵνα λοιδορήσω ἐπεπλήχθην· οὐκέτι δὲ τὸ αὐτὸ παρέπεται ἐν τοῖς τοιούτοις, δὸς ἵνα γράψω, ἵνα γράψῃς, ἵνα γράψῃ· Θέων διακινεῖ ἵνα ὑγιάνῃ, φιλοπονεῖ ἵνα ἐνάρετος γένηται. σαφὲς γὰρ ὅτι εἰς ἀποτελεστικόν τι παραλαμβάνεται ἐπὶ τῶν τοιούτων ὁ ἵνα.

Ὅπως. Καὶ τόδε τὸ μόριον σύνδεσμος καθέστηκε, ταὐτὰ δηλῶν τῷ ἵνα· πάλιν γὰρ τὸ ἵνα ὑγιάνῃ ἐν ἴσῳ ἐστὶ τῷ ὅπως ὑγιάνῃ,

ἵν᾽ ἀθανάτοισι φαείνοι (γ 2).

οὐκέτι μέντοι, ἐπίρρημα ὄν, τὸ αὐτὸ δηλοῖ· τὸ μὲν γὰρ ἵνα τοπικόν, τὸ δὲ ὅπως ἐν ἀναφορᾷ τοῦ πῶς. ὃν γὰρ τρόπον παρὰ τὸ ὅτε γίνεται τὸ πότε καὶ ἔτι ὁπότε, οἷος ποῖος ὁποῖος, ἡνίκα πηνίκα ὁπηνίκα, τὸν 511 αὐτὸν δὴ τρόπον καὶ παρὰ τὸ ὥς ἐστι τὸ πῶς καὶ ὅπως. πολλάκι

Argvm. 1 et ex ceterorum generum formis cum διά constructis. — 11 Ἵνα aut causalis aut finalis coniunctio aut adverbium locale est. — 26 Ὅπως et coniunctio finalis et adverbium est.

Discr. script. 1. ἑτέρων γενῶν pro ἑτερογενῶν conicit RSchneider | 2—3. δι᾽ οὕς τινας b, δι ης τινας A | 3. καθὸ] fol. 107 v. | 4. post παραλαμβάνεται tredecim fere litterarum lacuna, quam in var. lect. sic explevit b ⟨τὰ τῆς τοιαύτης⟩ | 5. ἐπι b, επει A, in quo sequitur trium fere litterarum lacuna | κλιτικης A | 6. ⟨καὶ⟩ RSchneider, ⟨ὡς⟩ GDronke | ⟨ἐπὶ⟩ b | ἔτι A b, ἐπὶ GDronke | 7. lacunam expl. b | 14. γράψω b, γραφω A | 19. ποιητικῶς A* et b, ποιητικον A | 25. ἀποτελεστικὸν b, επιτελεστικον A | 28. hunc versum suspectum esse censet GUhlig, etiamsi φαείνῃ, quod est in vulg. et Harl., scribere velis | 30. οὕτως pro πῶς GUhlig

γοῦν τὰ δίχα τοῦ π̄ ἰcοδυναμοῦντα τοῖc διὰ τοῦ ō παραγομένοιc, οἶοc ἦν Τρύφων, τοιοῦτοc ἦν καὶ Διονύcιοc· ὁπόcοc ἦν ὄχλοc ἐν τῷ θεάτρῳ, τοcοῦτοc κἀν τῇ ἀγορᾷ. τοιοῦτον οὖν ἐcτι τὸ

κείνου, ὅπωc δὴ δηρὸν ἀποίχεται (δ 109)·

ἀντὶ γὰρ τοῦ ὡc.

Ὄφρα. Πάλιν τὸ προκείμενον μόριον, cύνδεcμοc καθεcτηκόc, ἰcοδυναμεῖ τῷ ἵνα καὶ ὅπωc, οὐκέτι μέντοι ἐπίρρημα ὄν, ὅμοιον χρονικῷ ⟨τῷ⟩ ἕ⟨ωc⟩ παραλαμβανόμενον,

ὄφρα μὲν ἠὼc ἦν (Θ 66)·

ἐν ἴcῳ γάρ ἐcτι τῷ ἕωc. καὶ οἶμαί γε, ὡc ἐπίρρημα καθεcτηκὸc καὶ ἀνταπόδοcιν ἐπιδέχεται ἐν τῷ

τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο (Θ 67).

ἕνεκα τούτου καὶ τὸ ἐξ αὐτοῦ μεταφραζόμενον, λέγω δὲ τὸ ἕωc. ὡc δὲ εἴπομεν, καὶ cυνδεcμικὸν παραλαμβάνεται, ἰcοδυναμοῦν τῷ ἵνα καὶ τῷ ὅπωc, ὅθ' οὕτωc cυντάccεται,

ὄφρα πεποίθῃc (Α 524. ν 344).

δῆλον γὰρ ὡc ἕνεκα τῆc ἰcοδυναμίαc τοῦ ἵνα πάλιν τὰ cυνόντα ῥήματα ὑποτακτικὰ ἀποτελοῦνται. — Cεcημειώcθω δὲ ὅτι μόνον τῶν εἰc ᾱ ληγόντων ἀνταποδοτικῶν ἀνεπέκτατόν ἐcτιν· ἰδοὺ γὰρ τὸ τηνίκα τηνικαῦτα λέγεται, τόcα τοcαῦτα, τοῖα τοιαῦτα. ἴcωc δὲ ὅτι οὐ τὴν αὐτὴν ἔχει ἐξαρίθμηcιν, εἴγε τῷ μὲν τηνίκα καὶ τοῖc ὁμοίοιc παράκειται πηνίκα ὁπηνίκα, τῷ δὲ τόφρα οὐκέτι. ἴcωc δὲ καὶ διὰ τὸ cυνωνυμοῦν αὐτῷ, τὸ ἕωc.

Μηδὲ ἐκεῖνο δὲ παραλειπτέον, ὡc ὁ ἵνα καὶ οἱ ἰcοδυναμοῦντεc cύνδεcμοι παρὰ τὸ διάφορον τῆc cυντάξεωc, λέγω τὸ ἀποτελεcτικὸν καὶ αἰτιολογικόν, καὶ διαφόρουc ἕξουcι τοὺc cυνταccομένουc χρόνουc, ὥcτε τὸν μὲν ἀποτελεcτικὸν καὶ μέλλουcι cυντάccεcθαι, τὸν δὲ αἰτιο- 512
λογικὸν λεγόμενον παρῳχημένοιc· τὰ γὰρ γεγονότα αἰτιολογεῖται. — ὁ γοῦν λέγων ἵνα γράψω ταῦτά μοι ἐγένετο, ὁμολογεῖ τὸ ἤδη

Argum. 6 Ὄφρα aut adverbium temporale est, — 13 aut coniunctio (finalis), et construitur cum coniunctivo. — 18 Hoc unum ex correlativis in ᾱ non producitur. — 24 Ἵνα et quae idem valent coniunctiones, — 29 ubi causales sunt, cum praeteritis, ubi finales, etiam cum futuro construuntur.

Discr. script. 1. τοῦ π̄ RSchneider, τοῦ τ̄ A b | διὰ τοῦ ōπ̄ CWachsmuth | οἷοc A et b in textu, malim ὁποῖοc b in var. lect. | 2. ὁπόcοc b, οποιοc A, ὅcοc CWachsmuth | 6. οc in cυνδεcμοc ab A[x] in rasura | καθεcτηκωc A | 7—8. χρονικῷ b in textu, qui in var. lect.: 'Cod. χρονικον. Quod ut servetur, praeponendum erit voci ὅμοιον. Idque praestiterit' | 8. ⟨τῷ⟩ ἕ⟨ωc⟩ παραλαμβανόμενον b, in A est επαραλαμβανομενον in initio fol. 108 r., nullo lacunae indicio | 10. καθεcτηκωc A | 12. βαλε pro βέλε' A | 19. ανταποδωτικων A | 23. τω εωc A | 24. Μηδὲ ἐκεῖνο δὲ παραλειπτέον b, μηδε επ' εκεινο δε παραληπτεον, transfossis syllabis ραλη, A | 25. απο in voce αποτελεcτικον ab A[2] in rasura | 26. αιτιολογικον add. A[2]b, om. A[1] (b ait in A esse αιτιολογιcτον, nec correctorem commemorat) | 27. ἀποτελεcτικὸν b, A[1] habet επιτελεcτικον, quod A[2] sic correxit ἐπ(α)ι(ο)τελεcτικον

γεγραφέναι, ὥςτε ἐνήργηςεν ἤδη τὸ ἔγραψα καὶ αἰτίαν κατ' αὐτοῦ ἐπήγαγε· τὸ μέντοι οὕτω λεγόμενον δὸς ἵνα γράψω οὔπω γέγονε, τὸ δὲ μὴ γεγονὸς μέλλοντός ἐστιν ἀποτελεστικόν· μέλλοντι ἄρα συντάσσεται. — χωρὶς εἰ μὴ οὕτω νοήσαιμεν, δὸς ἵνα ἐν τελειώσει γένηται τὸ γράψαι. ὅπερ οἶμαι βέλτιον. καὶ γὰρ ὁ ἀπὸ τῶν φωνῶν κανὼν ὁμολογεῖ τὸν ἀόριστον, τουτέστι τὸν παρῳχημένον, εἴγε κερῶ μὲν ὁ μέλλων, ἔκειρα δὲ ὁ ἀόριστος, καὶ οὔ φαμεν δὸς ἵνα κερῶ ἀλλ' ἵνα κείρω. καὶ ὁ Δωριεὺς τοὺς μέλλοντας περισπῶν, οὐκέτι ἐπὶ τῆςδε τῆς συντάξεως περιέσπασεν· ἦσαν γὰρ αἱ φωναὶ οὐ μέλλοντος, ἀλλὰ ἀορίστου. πλείστας ἔχω ἐκθέσθαι εἰς τὸν τοιοῦτον λόγον παραθέσεις, ἃς ἐν τοῖς περὶ ὑποτακτικῶν παραθήσομαι, ἐν οἷς καὶ τὴν διαφορὰν ἐκθήσομαι τῆς καταλήξεως τῶν ὑποτακτικῶν, καὶ ὡς εἰς μίαν κατάληξιν πάντα συνέωσται, λέγω τὴν εἰς ω. ἔνθεν γὰρ καὶ ἡ ὑπόληψις τοῦ ἵνα γράψω, ὅτι καὶ μέλλοντος.

Ἴδιόν τι παρηκολούθησε τοῖς συνεμπεσοῦσι συνδέσμοις αἰτιώδεσιν . . . . . ἐπιρρήμασι χρονικοῖς ἢ τοπικοῖς. συνεμπι . . . ἡ ἀπόδειξις. καὶ οὐκ ἀπίθανον ἕνεκα τούτου καὶ ⟨τὸν ἐπεί⟩, αἰτιωδῶς παραλαμβανόμενον, ἔχειν χρονικὸν παρα⟨κείμενον⟩ ἐπίρρημα,

ἐπεὶ δὴ λίπε δῶμα Καλυψοῦς ἠυκόμοιο (θ 452),
ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσεν (α 2).

ἔστι δὲ κἀκ τοῦ βίου τοια⟨ῦτα⟩ τεκμήρασθαι. ὁ δεῖνα ἀγαθός ἐστιν, ὅπου γε φιλεῖ τοὺς ἀγ⟨αθούς⟩· ἴσον γὰρ τῷ ἐπεὶ φιλεῖ τοὺς ἀγαθούς, ἢ ὅτι φιλεῖ τοὺς ἀγαθούς· ὅτε ἀπέδωκε τὴν παραθήκην, ὁπότε γε φιλοπονεῖ. — Οὐ μὴν ἐκεῖνό γε ἀληθές, ὡς τὰ μὲν μονοσύλλαβα τῶν ἐπιρρημάτων, συνεμπίπτοντα συνδέσμοις, παραλλαγὴν
513 ἴσχει τόνου, τῶν μὴ οὕτως ἐχόντων τὸν αὐτὸν τόνον τηρούντων. «τὸ γὰρ ποῦ περισπῶμεν, ἀλλ' οὐκέτι ἐν τῷ

Argvm. 4 Quamquam praestat etiam in his δὸς ἵνα γράψω coniunctivum aoristi intellegere, idque aliis formis confirmatur. — 15 Formae quarundam coniunctionum conveniunt cum formis adverbiorum temporalium et localium. — 24 Verum non est, quod praecipiunt, unius syllabae adverbia, quae forma cum coniunctionibus conveniant, tonum mutare (ubi coniunctionum vim induant), plurium syllabarum adverbia eundem tonum servare.

Discr. script. 1. ἔγραψα Ab, γράψαι conicit RSkrzeczka | καθ' αὑτοῦ RSchneider | 3. ἀποτελεστικόν b, επιτελεστικον A | 8—9. in marg. A sunt haec ab A[1] per compendia scripta επι τηςδε της συνταξεως τουτεστι της των υποτακτικων | 15. αιτιωδεσιν ultima vox est in fol. 108 r., in initio fol. 108 v. lacuna quinque octove litterarum, quam non indicavit b, post eam επιρρημασι | συνεμπι⟨πτόντων δὲ πολλή⟩, puncto ante συνεμπιπτόντων posito, RSchneider | 17. 18. lacunas explevit b | 19. ἐπεὶ δὴ b in var. lect., cum ἐπειδὴ in textu scripsisset | 21. ⟨ῦτα⟩ b | 22. lacunam non indicavit b, sed αθους litterae in A non possunt legi | 23. ὅτε RSchneider, ο τε A, ὁ τε b in textu, 'dele spiritum' id. in var. lect., ὅδε GUhlig | 24. φιλοπονει A, φιλοπ . . b

Ὀδυccῆος δέ που εὐνή (π 34)

παραπληρωματικῷ· καὶ τὸ νῦν, ἀλλ' οὐκέτι ἐν τῷ

καί νύ κεν (δ 363)·

τὸ μέντοι ὅπως καὶ τὰ τούτοις ὅμοια, ὡς πρόκειται, ταὐτά εἰcιν ἐν ἐπιρρήμαcι καὶ cυνδέcμοις.» — Ἔcτι δὲ εἰπεῖν, ὡς τὸ μὲν νῦν οὐδ' ὅλως ὁμοφωνεῖ, εἴγε πάντοτε μὲν τὸ ἐπίρρημα διὰ δύο, ὁ δὲ cύνδεcμος οὐ πάντως· καὶ εἰ τοῦτο, οὐ πάντως ὁμοφωνεῖ. — ἀλλ' οὐδὲ τὸ πού cύνδεcμός ἐcτι παραπληρωματικός· οὐ γὰρ δή γε τὰ πλεονάcαντα μόρια ἐν λόγῳ cύνδεcμοι παραπληρωματικοί. ἰδοὺ γὰρ καὶ ἄλλα ἐπιρρήματα παρέλκει, καὶ οὐ πάντως cύνδεcμοι· ἐπὶ μὲν τοῦ βίου ὅ τ τ ι c θέλει ὑπαγέτω, καὶ ἔτι παρὰ τῷ ποιητῇ

ὡς δ' ὅτ' ἐν οὐρανῷ ἄcτρα φαεινήν (Θ 555),
εἰ δ' ἄγε νῦν φίλε Φοῖβε (Π 667),
οὐ cύ γ' ἔπειτα
Τυδέος ἔκγονός ἐccι (Ε 813),
coὶ δ' οὔπω μάλα πάγχυ θεοὶ μάκαρες κοτέουcι (Ξ 143).

κατὰ τοῦτο οὖν πλεοναζέτω καὶ ⟨τὸ⟩

νῦν εἴ τί που ἔcτι, πίθοιό μοι (δ 193)

καὶ

Ὀδυccῆος δέ που εὐνή (π 34),

καὶ ὅcα ἐcτὶ τοιαῦτα. ἀλλ' εἰ καὶ cύνδεcμός ἐcτι τὸ πού, ἰδοὺ ὁμόφωνον ἐπιρρήματι ἐν τῷ

εἴ που ἐcαθρήcειεν (Γ 450).

ὅνπερ γὰρ τρόπον τοῖς ἄλλοις πύcμαcι παράκεινται ἀόριcτοι προφοραί, τὸ πλέον ἐν χρόνοις δυcὶν ἐγκλιτικαὶ καθεcτῶcαι, π ῶ c ἦ λ θ ε ν; ἦ λ θ έ π ω c· τίc ἔγραψεν; ἔγραψέ τιc· πότε ἦλθεν; ἦλθέ ποτε· τὸν αὐτὸν τρόπον καὶ τῷ ποῦ παρακείcεται ἐγκλιτικὸν ἀόριcτον τὸ πού.

Χάριν. Δοκεῖ ἰcοδυναμεῖν cυνδέcμῳ τῷ ἕνεκα, χάριν Ἀπολ- 514
λωνίου ἕνεκα Ἀπολλωνίου. φηcὶ δὲ καὶ ὁ Τρύφων (p. 42 Velsen), ὡς «ἕνεκα τούτου τὸ μὲν ὄνομα καὶ χάριτα λέγεται καὶ χάριν, τὸ δὲ εἰc τοιαύτην cύνταξιν παραληφθὲν ὡς ἀντὶ cυνδέcμου καθ' ἕνα cχηματιcμὸν παραλαμβάνεται, ὅπερ παρείπετο cυνδέcμοιc». Ἔτι μέντοι φηcὶν ὁ Τρύφων, ὡς παρὰ τὸν Εὐριπίδην καὶ ἔτι ἄλλοις ποιηταῖc ὀνοματικῆc cυντάξεωc ἔτυχεν. ἐν μὲν γὰρ Κρήccαιc (fr. 469 Dindorf Nauck)

ARGVM. 5 Nam ne formae quidem conveniunt monosyllaborum; που encliticum potius pro voce indefinita habendum est. — 28 Χάριν dubitant utrum sit coniunctio an accusativus substantivi.

DISCR. SCRIPT. 1. ενη A[1], υ supra scripsit A[2] | 3. καί νύ κεν b, κενυκεν A | 6. δύο] 'addendum videtur $\bar{v}$' b in var. lect. | 7. 21. 27. τὸ ποῦ b | 10–11. in his ὅcτιc θέλει ὑπαγέτω particulam aliquam deesse censet RSchneider | 16. coὶ Homerus b, cυ A | 17. ⟨τὸ⟩ b, om. A | 18. πειθοιο A | 25. 'Fortasse τόνοιc' b in var. lect., quod pro χρόνοιc scribi velle videtur | 27. τῷ RSchneider, τὸ A b | το A, τῷ b | 28. ἕνεκα b, ειvεκα A | 33. παρα τον ευριπιδιν est in A, ut τον ευριπιδιν sint primae voces in fol. 109 r., παρὰ [Εὐριπίδῃ] b in textu, in var. lect. addens 'codex habere videtur ευριπιδιν', παραπολὺ ἐν Εὐριπίδῃ FJBast, παρὰ τῷ Εὐριπίδῃ GUhlig CWachsmuth

ἐγὼ χάριν σὴν παῖδά σου κατακτενῶ,

καὶ ἐν Αὔγῃ (fr. 270 Dindorf Nauck)·

καὶ βουθυτεῖν γὰρ ἠξίους ἐμὴν χάριν.

τὰ γὰρ κτητικαῖς ἀντωνυμίαις συντασσόμενα ὀνόματά ἐστι, τῆς αὐτῆς πτώσεως τυχόντα καὶ τοῦ αὐτοῦ ἀριθμοῦ, ἐμὸν αὐλόν, ἐμὴν οἰκίαν, ἐμὴν χάριν. . . . ἐμοῦ οἷόν τέ ἐστι παραθέσθαι τὸ ἕνεκα, ἕνεκα ἐμοῦ, ἐπὶ δὲ τοῦ χάριν ἐμὴν οὐκέτι, ἕνεκα ἐμήν. τὸ τοιοῦτον δέ φαμεν εἰς ἀπόδειξιν τοῦ τὸ χάριν ὄνομα εἶναι κατὰ τὰς τοιαύτας συντάξεις. — οὐδὲν μέντοι κωλύοι καὶ τὸ ἔθιμον ἐκδέξασθαι ὄνομα, λιπούσης προθέσεως τῆς εἰς, ὥστε οὕτως ἀκούειν, χάριν Ἀπολλωνίου εἰς χάριν Ἀπολλωνίου, εἴγε καὶ τὸ ἐμὴν χάριν ἐν ἴσῳ ἐστὶ τῷ εἰς ἐμὴν χάριν. καὶ φαίνεται ὅτι ἡ ὕφεσις τῆς προθέσεως προῆξε τὸ χάριν ἰσοδυναμεῖν τῷ ἕνεκα. πάνυ δέ ἐστι κἀκείνου ἀπόδειξις. ἡ τοιαύτη σύνταξις ἐπὶ γενικὴν φέρεται, χάριν Θέωνος, χάριν Δίωνος, ἐφ' οὗ ἔφαμεν λείπειν τὴν εἰς. τοιοῦτον δέ ἐστι καὶ τὸ ἐμὴν χάριν, εἴγε πᾶσα κτητικὴ ἀντωνυμία γενικῆς ἐστι πτώσεως ἀντωνυμία, τοῦ ἐπιφερομένου κτήματος ἀδιάφορον ἔχοντος τὴν ἐπιφορὰν τῆς πτώσεως. τούτου οὖν τῇδε ἔχοντος, πάλιν τὸ ἐμὴν χάριν ἢ σὴν χάριν ἴσον ἐστὶ τῷ χάριν μου, ὡς εἰ ἐμὴν δούλην δούλην μου, ἐμὴν οἰκίαν οἰκίαν μου.

Τοσαῦτα περὶ τῶν αἰτιολογικῶν.

515 Παρὰ τοῖς πλείστοις ἐστὶ πρόληψις, ὡς οἱ καλούμενοι παραπληρωματικοὶ σημασίαν τινὰ οὐ ποιοῦνται. ὁ γοῦν Τρύφων (p. 35 Velsen) ἐν τῷ ὅρῳ βουλόμενος καὶ αὐτοὺς ἐμπεριλαβεῖν, φησὶ καὶ τὸ κεχηνὸς τῆς ἑρμηνείας ἔστιν ὅπου παραπληρῶν, ἀπείκασε δὲ καὶ αὐτὸν ταῖς καλουμέναις στοιβαῖς. «ὃν γάρ», φησι, «τρόπον εἰς τὰς συνθέσεις τῶν ἀμφορέων εὐχρηστεῖ ἡ τῶν στοιβῶν παρένθεσις ὑπὲρ τοῦ μὴ καταθραύεσθαι τοὺς ἀμφορεῖς, τὸν αὐτὸν δὴ τρόπον ὑπὲρ τοῦ τὰ τῆς φράσεως μὴ τραχύνεσθαι ἥδε ἡ σύνταξις τῶν μορίων παραλαμβάνεται.»

Ἔτι δὲ καί τινές φασιν οὐ δεόντως αὐτοὺς συνδέσμους εἰρῆσθαι,

Argum. 9 Nihil impedit quominus χάριν pro accusativo habeamus, subtracta εἰς praepositione. — 22 De expletivis. — Expletivas plerique nihil significare censent; Trypho hiatum dictionis explere dicit. — 30 Fuerunt, qui eas coniunctiones appellari posse negarent, quia sententias non coniungerent.

Testim. 26 cf. schol. in Aristot. p. 99a 5 Brand.

Discr. script. 1 παῖδά σου FJBast ANauck GDindorf, παῖδας οὐ b | 6. . . . ἐμοῦ b in textu, in var. lect. recte monens, nullum esse in A lacunae indicium, ⟨ἐπὶ μὲν τοῦ χάριν⟩ conicit RSchneider | 9. κωλυοι A, κωλύει b | 13. προῆξε A² in marg. b, om. A¹ | 13—14. ἀπόδειξις b, επιδειξις A | 22. inscriptio περι παραπληρωματικων Ab | 25. αὐτὸν b, ουτων A, αὐτοὺς ESterk

p. 515, 14 — 517, 24 b

εἴγε cυνδέcεωc λόγων οὐκ εἰcὶν αἴτιοι. Καί φηcι Χαιρήμων ὁ Cτωικόc, ὡc κατά τι εἴηcαν ἂν cύνδεcμοι. «cύνδεcμον γάρ», φηcι, «καλεῖcθαι καὶ αὐτὴν τὴν φωνὴν καὶ ⟨τὸ ἐξ αὐ⟩τῆc δηλούμενον, ᾧ λόγῳ καί τινα ἕτερα cχήματα. φαμέν [τι] πατρωνυμικὸν καὶ τὸ ἐν χαρακτῆρι πατρωνυμικὸν καί ⟨τι⟩ ἐν δηλουμένῳ, καὶ ἔτι τὰ κτητικά, καὶ ἄλλα πλεῖcτα τοιαῦτα. ὡc οὖν τὸ τύπῳ πατρωνυμικῷ προcκεχρημένον, οὐ μὴν δηλουμένῳ, πατρωνυμικὸν καλεῖται, ὥcπερ τὰ τύπῳ ἀρcενικά, οὐ μὴν δηλουμένῳ, ἀρcενικὰ καλεῖται, οὕτω καὶ ἂν τύπῳ ᾖ ὁ παραπληρωματικὸc κεχορηγημένοc cυνδεcμικῷ, μὴ μὴν δηλουμένῳ, εἰρήcεται cύνδεcμοc. ἀμέλει αὐτοὶ οἱ cύνδεcμοι πλεονάcαντεc οὐδὲν cυνδέουcι καὶ cύνδεcμοι καλοῦνται. οὐδὲν οὖν κωλύοι, καθότι καὶ ὁ Φιλόπονοc ἀπεφήνατο, cυνδέcμουc καλεῖcθαι τοὺc παραπληρωματικούc.» καὶ τοῦτό φηcι δεδωκώc, ὅτι οὐδὲν cυνδεcμικὸν δηλοῦcιν.

Ἃ δὲ καὶ Τρύφων (p. 43 Velsen) παρέθετο, ἐκθήcομαι. Φηcίν· «ἤτοι cυλλαβαί εἰcιν ἢ λέξειc. καὶ εἰ μὲν cυλλαβαί, τινων λέξεών εἰcι μέρη, καὶ ἤτοι τελικαὶ ἢ ἀρκτικαί. καὶ τελικαὶ μέν λέγει δή, βούλομαι δή, ἀρκτικαὶ δέ ἐγὼ δὴ βούλομαι, ἐγὼ δὴ λέγω. ἦν δὲ ἐν ἀμφοτέροιc ἀcύcτατον. — Οὐ γάρ ἐcτί τιc cυλλαβὴ παντὸc μέρουc λόγου ληκτική, γενήcεται δὲ ἐν τῷ Ἀπολλώνιοc δή, ἐγὼ δή, βούλομαι δή· καὶ ἐπὶ τῶν ὑπολοίπων τὸ αὐτό. ἀλλ᾽ εἰ καὶ προcτιθεμένη ἔξωθέν ἐcτιν ἐν παραγωγῇ cυλλαβή, πάλιν τὸ αὐτὸ ἐπιχείρημα ἀρκέcει· ἑκάcτη γὰρ τῶν παραγομένων λέξεων δεκτική ἐcτιν ἰδίαc cυλλαβῆc, ὡc τῶν τρίτων τὸ cι, λέγηcιν, ἔχηcι, παμφαίνηcιν· ἢ τῶν δευτέρων εἰc θα, λέγηcθα φέρηcθα, καὶ ἐπὶ τῶν πρώτων τὸ μι,

τάων ἥν κ᾽ ἐθέλωμι (Ι 397),
οὐδ᾽ ἂν ἐῷμι (π 85?)·

καὶ οὐχ οἷόν τ᾽ ἐcτὶν εἰπεῖν λέγωcι οὔτε λέγωθα. καὶ ἐπὶ τῶν ὁμοίων τὸ αὐτό, λέγω δὲ πάλιν ἐπὶ τοῦ τοιόcδε, μὴ κατὰ παντὸc ὀνόματοc ἐφικνεῖcθαι τὸ δε· ἢ ὅτε οὕτωc φαμέν, τοῖοc τοιοῦτοc. πῶc οὖν πάλιν τὸ δή ἐcτιν ἐν τῷ λέγω δή, λέγειc δή, λέγει δή; cαφὲc οὖν ὅτι τὸ τοιοῦτον μᾶλλον λέξεωc ἤπερ cυλλαβῆc, εἴγε καὶ ἐν ἐπιρ-

---

Argum. 1 Chaeremo autem Stoicus et Philoponus arbitrantur, eas si minus propter notionem, at propter formam coniunctiones dici posse. — 14 Trypho eas non syllabas, sed voces esse comprobat. — 18 'Nam', inquit, 'una eademque syllaba non ad omnes orationis partes accedere potest, neque in initio earum, neque in fine. Atqui expletivae omni voci vel formae adiciuntur; ergo non syllabae, sed voces sunt'.

Discr. script. 1. λόγων] fol. 109 v. | ωικοc litterae non iam possunt legi in A: idem de cυνδεcμον l. 2 dicendum est | 2. φηcι b, φαcι A | 3. ⟨καὶ τὸ ἐξ αὐ⟩ edidit b, sed και legi potest in A | ηc litterae ab A² in rasura in initio versus | 3—4. τινα ἕτερα CWachsmuth, τὰ ἡμέτερα A b | 4. ὀνόματα pro cχήματα GUhlig | τι hinc sustulit et l. 5 post καί posuit GUhlig, ubi καὶ ⟨τὸ⟩ legi mavult RSchneider | 7. τὰ b, τω A | 8. αρcενικα A | 10. pro αὐτοὶ οἱ conicit καὶ ἕτεροι GUhlig, sed, si quid mutandum, καὶ ἄλλοι praetulerit RSchneider | 25. ἐθέλωμι b, εθεληιμι A | 27. ουτε A, οὐδὲ b | λέγωθα b, λεγωcθα A | 29. ἢ ὅτε οὕτωc φαμέν· τοιόc⟨δε, καὶ⟩ τοιουτόc⟨δε⟩; conicit RSchneider | 31. εἴγε] fol. 110 r.

ῥήμασι καὶ συνδέσμοις τὸ τοιοῦτον ἔστιν εὑρέσθαι. — Ἀλλ' οὐδὲ ἀρκτική ἐστι συλλαβή. πάλιν γὰρ πῶς πάσης λέξεως ἡ αὐτὴ συλλαβὴ ἀρκτική; πῶς τε ⟨ἐπὶ τοῦ⟩ ἐγὼ δὴ λέγω ἡ τῶν παρῳχημένων κλίσις οὐκ ἐγένετο κατὰ τὴν δή συλλαβήν; τὸ τοιοῦτον γὰρ παρέπεται ῥήμασιν. οὐ γὰρ δή γε οἱ παραπληρωματικοὶ σύνδεσμοι προθέσεις εἰσίν, ἵνα συντεθέντες προτακτικοὶ γίνωνται, καθότι τὸ καταβαίνω καὶ τὰ ὅμοια.»

Οὕτω μὲν οὖν συνάγει ὁ Τρύφων (p. 43 Velsen) ὡς οὐ συλλαβαί, ᾧ καὶ συνηγορήσωμεν, ἔτι τινὰ προσθέντες. συνάγει οὖν ὅτι λέξεις, παραλείπων τὸ ἀναγκαιότατον. ἐν γὰρ δὴ τῇ προτάσει φησὶ τοῦ λόγου, «εἰ λέξεις, ὀφείλουσί τι δηλοῦν». ὅπερ αὐτοὶ ἀναπληρώσωμεν. οἷς δὲ λόγοις ἐχρήσατο εἰς τὸ λέξεις εἶναι, πάλιν ἐκθετέον. — Σαφὲς μὲν οὖν ὅτι,
517 ἐν οἷς οὐ συλλαβαί, ἐν τούτῳ λέξεις. ἴδιόν τε λέξεων τὸ μεταλαμβάνεσθαι εἰς ὁμοιοσήμους, βροτός ἄνθρωπος, αὐτάρ δέ. τοιοῦτοι δὲ καὶ οἱ προκείμενοι σύνδεσμοι νύ δή ῥά. — πᾶν μόριον ἐγκλιτικὸν λέξις ἐστίν, ἦλθέ τις, ἄνθρωπός εἰμι· πάμπολλοι δέ εἰσιν οἱ παραπληρωματικοὶ ἐν ἐγκλίσει, ὡς ὁ γέ, ὁ ῥά, ὁ θήν, ⟨ὁ⟩ νύ. — δύο λέξεων ἢ τριῶν οὐσῶν ἀκώλυτον τὸ ἐπάλληλον τῆς ὀξείας· καὶ κατὰ τοῦτο οὖν λέξεις τὰ προκείμενα μόρια· ἰδοὺ γὰρ ἐν τῷ

ἤ νύ σέ που δέος ἴσχει (Ε 812)

καθ' ἓν ἕκαστον μέρος λόγου ἡ ὀξεῖα ἀνέστη.

Τῆς μὲν οὖν φωνῆς κανόνες οἵδε εἰσί· τοῦ δὲ δηλουμένου, ὅπερ καὶ μᾶλλον ἀναγκαῖον ἦν, παραθετέον. — οὐκ εἴ τι μέρος λόγου κατά τινα λόγον παρέλκεται, τοῦτο οὐχὶ πάντως λέξις, ἐπεὶ οἷόν τ' ἐστὶν εἰς τὸ τοιοῦτον παραθέσθαι πάντα τὰ μέρη τοῦ λόγου ἔν τισι συντάξεσι, μάλιστα ὑπὸ ποιητικῆς ἀδείας, πλεονάζοντα. ποίαν γὰρ ἔχει χώραν τὸ

πῇ ἔβη Ἀνδρομάχη λευκώλενος (Ζ 377),

λέγω τὸ κατὰ τὸ λευκώλενος; — ἀλλ' ἴσως πρὸς τὸ τοιοῦτον ἐκεῖνο εἰρήσεται· ἀλλ' ἐν ἑτέροις τὰ παρέλκοντα δηλοῦσί τι, ἐπεὶ πάλιν οὐ παρέλκει τὸ

λευκώλενος Ἥρη (Α 55),

δεδείξεται οὖν ὡς οὐ πάντοτε πλεονάζουσιν οἱ παραπληρωματικοί, ἀλλὰ

Argum. 7 Quibus haec addimus, quae *a*) ad formam pertinent. — 12 1) Vocum ea est natura, ut inter se commutari possint; ita commutantur expletivae. — 2) Quidquid inclinatur, vox est. Inclinantur autem expletivae permultae. — 3) Earum accentus ab altera in alteram transit. — 21 *b*) Quae ad notionem spectant. 1) Si qua vox interdum redundat, eam ob rem non desinit vocibus adnumerari. — 27 2) Est, ubi expletivae suam vim habeant;

Discr. script. 1. ἀρκτική ἐστι συλλαβή RSchneider, ἀρκτικόν ἐστι συλλαβῆς Ab | 3. ἐπὶ τοῦ add. b, om. A | 6. προτακτικοὶ b, προθέσεις μη A, ὑποτακτικοὶ μὴ GUhlig | 13. εισομο A^1, ante εις supra lineam o et post ομο in rasura ιοσημους scripsit A^2 | 16. ⟨ὁ⟩ b | η A^2 supra lin. b, om. A^1 | 18. λέξεις b, λεξις A | 22. οὐκ εἴ τι b, οὐκέτι A | 23. παρέλκεται b, παρακειται A | 24. πάντα τὰ μέρη b, παντι μερει A

καί ποτε τόπον ἴϲχουϲι τὸν ϲημαίνοντά τι. ἔϲτιν ὑποδείγματα παρέλκοντος μὲν τοῦ γέ

οὗτόϲ γ' Ἀτρείδηϲ, εὐρυκρείων Ἀγαμέμνων (Γ 178),

καὶ ἐν ϲυνδέϲμῳ ἆρά γε ἡμέρα ἐϲτί; καὶ ἐν τῷ ϲύ γε,

μὴ ϲύ γ' ἄνευθεν ἐμεῖο λιλαίεϲθαι (Π 89),

καὶ μέν τοί γε· οὐ μὴν ἔτι ἐν τῷ καλῶϲ γε· ἐπιτέταται γὰρ ἡ ἔκπληξιϲ. ἀλλὰ μὴν καὶ ἐν τῷ

τοῦτό γέ μοι χάριϲαι (lyr. gr. III³ p. 1356 Bergk),

τοῦτό ⟨γέ⟩ μοι λάληϲον ἔμφαϲιϲ ἱκανὴ μειότητος καὶ τοῦ μηδὲν ⟨ἄλλο⟩ ἀποφαινομένου. καὶ παντί γε προῦπτον, ὡϲ διαφέρει τὸ τοῦτο 518 εἰπέ ⟨τοῦ⟩ τοῦτό γε εἰπέ. πῶϲ οὖν ἔτι οὐδὲν πλ⟨η⟩ροῦϲιν οἱ παραπληρωματικοί; — Ἔτι ὁ δέ ϲύνδεϲμοϲ ὅπωϲ παραλαμβάνεται καὶ ἐπὶ ποίᾳ δυνάμει, ἐκτεθείμεθα. ἀλλὰ προϲλαβὼν τὸν γέ ἄλλο τι ἐπηγγείλατο. οὐ γὰρ ὡϲ ἐν τῷ ἆρά γε ἡμέρα; παρείλκετο ὁ γέ καὶ ἐν τῷ δέ γε. καλούμενον γοῦν ἔϲτιν εὑρέϲθαι παρὰ τοῖϲ Cτωικοῖϲ τὸν δέ γε ὄντα προϲληπτικόν. τοὺϲ γὰρ ἀπὸ ϲυναφῆϲ λόγουϲ εἰϲ ϲχηματιϲμὸν μετιόνταϲ ἡ τοιαύτη ϲύνταξιϲ ἡ τῶν ϲυνδέϲμων ὑπάγει, εἰ ἡμέρα ἐϲτί, φῶϲ ἐϲτιν· ἡμέρα δέ γέ ἐϲτιν· καὶ ἐπεὶ ἐν προϲλήψει ἐγένετο ὁ λόγοϲ, προϲληπτικοὶ οἱ τοιοῦτοι ϲύνδεϲμοι. — Τὸ δ' αὐτὸ ϲυμβέβηκε καὶ ἐπὶ τοῦ ἀλλά καὶ ἀλλὰ μήν. πάλιν γὰρ ὁ μήν παραπληρωματικόϲ, ϲυνὼν τῷ ἀλλά, τὴν αὐτὴν πρόϲληψιν ἀποτελεῖ, ἀλλὰ μὴν ἡμέρα ἐϲτί, καὶ ϲχεδὸν ἀμφοτέρων τῶν ϲυντάξεων μία δύναμιϲ· ἐκ γὰρ τῶν αὐτῶν εἰϲιν. ὁ γὰρ δέ ἰϲοδυναμεῖ τῷ ἀλλά (καὶ τοῦτο ἐδείχθη), ὃϲ προϲλαβὼν παραπληρωματικὸν τὸν γέ προϲληπτικὸϲ ἐγένετο· καὶ πάλιν ὁ ἀλλά, παραπληρωματικὸν προϲλαβὼν τὸν μήν, τὸ αὐτὸ ἐγένετο. πολλάκιϲ δὲ καὶ ὁ γάρ προϲέρχεται τῷ ἀλλά, ἀλλὰ γὰρ ἡμέρα ἐϲτί· καὶ εἰ ὁ γάρ ϲύνδεϲμοϲ, καὶ ὁ μήν καὶ ὁ γέ ϲύνδεϲμοι. — Ἔτι ὁ πέρ παρέλκει

Argum. 6 velut γε aut auget admirationis notionem; aut hoc indicat, praeter certam quandam rem de nulla alia agi; — 14 γε in δέ γε et μήν in ἀλλὰ μήν efficiunt, ut δέ γε et ἀλλὰ μήν in propositione, quam vocant, minori locum habeant (ἐν προϲλήψει);

Testim. 1 Schol. Dion. Thr, BA 971, 24 *Τούτων τινὲς ἐδείχθησαν σημαινόμενον ἔχοντες. ὁ γὲ ἐν τῷ 'οὗτός γε Ἀτρείδης' περιττός, ἀλλ' ἐν τῷ 'καλῶς γε' σημαίνει τὴν ἐπίτασιν τῆς τοῦ κάλλους ἐκπλήξεως. 'τοῦτό γέ μοι χάρισαι'· ἔμφασιν ὑπαγορεύει ποιότητος* (*μειότητος* scr. RSchneider) *κἀν τούτῳ.* ib. 971, 13 *καὶ ὁ γὲ ἐμφαντικός ἐστιν ἐκπλήξεως* (*ὡς ἐν τῷ 'καλῶς γε'* inseruit RSchneider), *σμικρότητα* (*σμικρότητος* scr. RSchneider) *δὲ ὡς ἐν τῷ 'τοῦτό γέ μοι χάρισαι'.* — 19—p. 251, 8 cf. Schol. Dion. Thr. BA 971, 29 — 972, 6.

Discr. script. 4. ἆρά γε] fol. 110 v. | 5. λιλεαιεϲθαι A | 9. ⟨γέ⟩ b, om. A | 10. ⟨ἄλλο b⟩ om. A | 11. ⟨τοῦ⟩ τοῦτό γε b, τουτο γε'A | πλ⟨η⟩ροῦϲιν RSchneider, π . ροῦϲιν b, sed in A est πλ . ρουϲιν | 13. ἐκτεθείμεθα b, εκτιθεμεθα A, quod fortasse servandum est | 15. 'Fortasse leg. ὄντοϲ' b in var. lect. | 16. εἰϲ ϲυλλογιϲμὸν pro εἰϲ ϲχηματιϲμὸν scribendum esse conicit RSchneider

ἐν τῷ εἴπερ ἡμέρα ἐστί (καὶ διότι, εἴρηται)· ἀλλ' οὐκέτι ἐν τῷ καίπερ ἀγαθὸς ὤν. ὑπεναντίωσιν γὰρ ἐδήλωσεν ὁ καί⟨περ⟩ καὶ δῆλον ὅτι διὰ τὸν πέρ, ὅπου γε καὶ κατ' ἰδίαν ὁ πέρ ἐναντιωματικός ἐστι μετ' αὐξήσεως,

ἀγαθός περ ἐών (Α 131),

σώφρων περ ὤν· τὸ γὰρ ἐναντίον τῷ

τοῦτό γέ μοι χάρισαι (lyr. gr. III³ p. 1356 Bergk),

ἀπειργάσατο. — Ἃς ἔχει δυνάμεις ὁ καί, εἴπομεν. ἀλλὰ προσλαβὼν τὸν μήν ἀποδεικτικὸς γίνεται, πάλιν ὑπαγομένης ἐναντιώσεως, οὐ
519 βλέπω, καὶ μὴν ἡμέρα ἐστίν· ἐψεύσατο, καὶ μὴν ἀγαθός ἐστι. πῶς γὰρ ἄν τις ἐπὶ τῶν τοιούτων συντάξεων παρέλκειν φαίη τοὺς συνδέσμους; ἕνεκα τούτου τὸ

ἀγαθός περ ἐών, θεοείκελ' Ἀχιλλεῦ (Α 131)

εἰς τὸν δή μεταλαμβάνεται, ὅτι μὴ κυρίως τὸ δηλούμενον αὐτοῦ ἀπαιτεῖ ὁ λόγος. — Ὁ ἤ διαζευκτικὸς ἐπηύξηται διὰ τοῦ τοί, οἷον ἐν τῷ ἤτοι. ἀλλ' οὐκέτι ἐν τῷ μέντοι οὐδὲ ἐν τῷ καίτοι. πάλιν γὰρ διαφέρει τὸ καί⟨τοι⟩ παρῃτήσατό με ⟨τοῦ καὶ παρῃτήσατό με.⟩ ὅ ⟨τε⟩ μέντοι οὐχ ὁ αὐτὸς τῷ μέν, τῷ δὲ δέ. ἐφ' οὗ πάλιν καὶ ὁ γέ πλεονάζει ἐν τῷ μέν τοί γε. — Ἔτι ὁ δή ὡς μὲν παρέλκει, παντὶ προὖπτον· ὡς δὲ καὶ πολλάκις μετάβασιν λόγου ποιεῖται, σαφὲς ἐκ τῶν τοιούτων

οἱ μὲν δὴ παρ' ὄχεσφιν ἐρητύοντο μένοντες (Ο 3),

καὶ τῶν παραπλησίων. νοοῦμεν γὰρ λόγου ἔκλειψιν καὶ ἀρχὴν ἑτέρου, ὡς εἰ καὶ ἐν περιγραφῇ κατελιμπάνετο ὁμοίως τῷ

ὣς οἱ μὲν Τρῶες φυλακὰς ἔχον (Ι 1),
ὣς ὁ μὲν ἔνθ' ἠρᾶτο (η 1).

Ἀλλὰ μὴν καὶ ἐν τοῖς καλουμένοις πρὸς ἡμῶν μὲν συλλογιστικοῖς, πρὸς δὲ τῶν Στωικῶν ἐπιφορικοῖς ἔστι παραδέξασθαι τὴν σημασίαν αὐτῶν. τὸν τοίνυν ἐκ δύο παραπληρωματικῶν συνεστῶτα, καὶ ἔτι μετὰ

Argvm. 2 περ in καίπερ oppositionem significat; — 8 μήν cum καί coniuncta demonstrandi notionem efficit, — 15 τοι in μέντοι et καίτοι facit ut notio mutetur simplicis; — 19 δή interdum indicat, procedere orationem. — 27 Etiam in collectivis vel rationalibus, quarum nonnullae ex compluribus expletivis coaluerunt, harum vis apparet.

Testim. 24 Schol. Dion. Thr. BA 971, 5 *ὁ μὲν γὰρ δή καὶ οἱ ἰσοδυναμοῦσιν* (*ἰσοδυναμοῦντες* Barocc.) *αὐτῷ ἐν συγκεφαλαιώσει καὶ περιγραφῇ λόγου παραλαμβάνεται* (*παραλαμβάνονται* Barocc.).

Discr. script. 2. καίπερ b in var. lect., καί Ab in textu | 8. δυναμις A | 10. καὶ μὴν] fol. 111 r. | 16. τῷ ἤτοι b, τω η̄ ητοι A | 17. τὸ καίτοι — ὅ τε μέντοι b, τω και παρητησατο με ο μεντοι A | 23. ἔκλειψιν b, ελλειψιν A | 24. περιγραφῇ b, παραγραφηι A, quod servari vult ESterk; margini haec adscripta sunt per compendia ab A¹ παραγραφη τουτεστι το εξωθεν νοουμενον του κειμενου | 29. 'Fortasse leg. λέγω δὲ τὸν τοίνυν' b in var. lect.

τοῦ γάρ ἐν τῷ τοιγάρτοι, καὶ μετὰ τοῦ οὖν τοιγαροῦν. δύναμιν γὰρ ἔχουσιν οἱ τοιοῦτοι ἴσην τῷ ἄρα συστελλομένῳ κατὰ τὸ ᾱ. καὶ εἴρηνται μὲν ἐπιφορικοί, καθὸ ἐπιφέρονται τοῖς λελημματισμένοις, ἀλλὰ μὴν ἡμέρα ἐστί, φῶς ἄρα ἐστί, τοιγαροῦν φῶς ἐστί, φῶς τοίνυν ἐστί· συλλογιστικοὶ δέ, καθότι ἐπί τισιν ἀποδείξεσιν, ἐπισυλλογιζόμενοι τὸ συναγόμενον, προσχρώμεθα τοῖς συνδέσμοις τοῖσδε, ἔχεις μου πέντε δραχμάς, ἔχεις δὲ καὶ τρεῖς, ἔχεις ἄρα ὀκτὼ δραχμάς, ἔχεις τοίνυν ὀκτὼ δραχμάς. ⟨Ἄπειρος⟩ ἡ καθ' ἕνα ἕκαστον σύνδεσμον ἀπόδειξις εἰς τὸ ὅτι καὶ δηλοῦσί τι οἱ παραπληρωματικοί. ἀλλ' ἐπεὶ πλείονες μέν εἰσι ταῖς φωναῖς, τοῖς δὲ δηλουμένοις ἐλάττονες, ἀρκετὴ ἡ ἐξ ἑνὸς ἑκάστου ἰσοδυναμοῦντος ἀπόδειξις. περισσὸν γὰρ τὸν ῥά παραλαμβάνειν τοῦ δή ἀποδειχθέντος, ἢ τὸν θήν ἢ τὸν νύ, ἐπεὶ τὸ αὐτὸ τὸ

ἄλλοι μέν ῥα θεοί τε (Β 1)

τῷ

οἱ μὲν δὴ παρ' ὄχεσφι (Ο 3)

καὶ τῷ . . . Ταῦτα μὲν ὡς δηλοῦσιν οἱ παραπληρωματικοί.

Κἀκεῖνο δὲ ὑποθησόμεθα, δι' ἣν αἰτίαν ἀπὸ τοῦ πλεονάσματος τὴν ὀνομασίαν ἔσχον. δέδοται γὰρ ὅτι σύνδεσμοι καὶ δηλοῦσί τι, τὸ δὲ πλεῖον ἀεὶ ἐπικρατεῖ τοῦ ἐλάττονος. καὶ περισσὸν εἰς τοῦτο παρατίθεσθαι, χωρὶς εἰ μὴ ἐπ' αὐτῶν τῶν συνδέσμων. ἀπειράκις ο⟨ἱ συμπλε-⟩κτικοὶ συμπλέκουσιν, ἵνα ἅπαξ ⟨καὶ⟩ αὐτοὶ πλεονάσωσι· καὶ ἕνεκα τούτου ἐπεκράτησε τὸ καλεῖσθαι αὐτοὺς συμπλεκτικούς. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ὑπολοίπων, εἰ καί που εὑρεθεῖεν πλεονάζοντες. ἔνθεν αἱ δέουσαι ὀνομασίαι ἔμενον. οἱ μέντοι παραπληρωματικοὶ σύνδεσμοι καλούμενοι, τὸ πλέον πλεονάσαντες ἤπερ δηλοῦντες, κατὰ τὴν ἐναντίαν παράθεσιν τοῦ συνδέσμου ἀπὸ τοῦ πλεονάσαντος τὴν ὀνομασίαν ἔσχον. οὕτως γοῦν ἐπλεόναζον, ὥστε καὶ τοὺς πλείστους λαθεῖν τὸ δηλούμενον τὸ ἐξ αὐτῶν. ἦν δὲ καὶ ὁ πλεονασμὸς αὐτῶν χρειώδης ἄγαν. ἥ τε γὰρ ἀνὰ χεῖρα ὁμιλία καὶ αἱ συντάξεις αἱ ἀρχαῖαι καὶ πᾶσα ποιητικὴ γραφὴ τρέπεται ἐπὶ τὴν εὐφωνίαν, καὶ διὰ τοῦτο εὔχρηστα τὰ προκείμενα μόρια, καθότι περ, ὡς πρόκειται, ἀπείκαζον αὐτά τινες τῇ προσκειμένῃ στοιβῇ τοῖς ἀμφορεῦσι. καὶ ὡς ἐπὶ στοιχείων οἷόν τέ ἐστιν ἀναγκαῖον εὑρέσθαι πλεονασμόν, ἐν ᾧ ⟨οὐ⟩ πάντως τὸ στοιχεῖον οὐ στοιχεῖον, καθὸ ἐπλεόναζε· πάλιν γὰρ παρελαμβάνετο εἰς δήλωσίν τινος

Argum. 18 Quoniam expletivae aliquid valent, quaeritur cur ab explendo vel redundando nomen invenerint. — 24 Sed saepius redundant quam aliquid significant, certe plerosque quid significent fugit, vel euphoniae causa ponuntur.

Discr. script. 3. λελειμματισμενοις A | 8. Ἄπειρος add. b, nullum lacunae indicium in A | 12. ἐπεὶ b, επι A | 17. τῷ . . . b, nullum lacunae indicium in A | 20. ἀεὶ b, καιει A | 21. χωρὶς εἰ] fol. 111 v. | lacunam expl. b | 22. καὶ add. b, κἂν ἅπαξ αὐτοὶ GUhlig | 30. ἥ τε b, ει τε A | ομηλια A | 33. προσκειμένῃ b, προκειμενη A | 34. οὐ add. RSchneider | pro τὸ στοιχεῖον conicit τι στοιχεῖον RSchneider

(καὶ ἐκκείcθω ὑπόδειγμα τὸ ἐπὶ τοῦ ν̄, ὃ μάλιστα πάμπολλόν ἐστιν ἐν τῷ πλεονασμῷ, ἕνεκα εὐφωνίας παραλαμβανόμενον ἐπὶ παντὸς βραχυκαταλήκτου ῥήματος, ἔλεγεν, ἔλαβεν, καὶ ἐπὶ δοτικῶν ⟨τῶν⟩ εἰς c̄ι ληγουσῶν, παισίν, χρή⟨μα⟩σιν· οὐ μὴν ἐν τῷ λέγει καὶ λέγειν. νῦν γὰρ ἐν λεκτῷ προσήει· ἐκ γὰρ ὁριστικοῦ ἀπαρέμφατον ἀκούομεν)· τὸν αὐτὸν δὴ τρόπον ἐδείχθη καὶ τὰ προκείμενα μόρια ὁτὲ μὲν ἕνεκα δηλουμένου παραλαμβανόμενα, ἅπερ ἦν καὶ σπανιώτατα, ὁτὲ δὲ ἕνεκα εὐφωνίας, ὅπερ πλέον καθειστήκει. καὶ, ὡς ἔφαμεν, ἕνεκα τούτου ἐπεκράτησεν ἡ ὀνομασία.

Προσθείην δ' ἂν καὶ τοῦτο, ὡς οὐδὲ ἀπὸ τοῦ δηλουμένου δυνατὸν ἦν τὴν ὀνομασίαν θέσθαι. οἱ μὲν γὰρ ἄλλοι τῶν συνδέσμων ἐν πλείοσιν ὄντες φωναῖς ἓν ἐπηγγέλλοντο, τὸ συμπλέκειν οἱ συμπλεκτικοί, τὸ δὲ διαζευγνύειν οἱ διαζευκτικοί, τὸ δὲ διαπορεῖν οἱ διαπορητικοί, καὶ ἐπὶ τῶν ὑπολοίπων τὸ αὐτό. οἱ μέντοι παραπληρωματικοὶ οὐχ ἓν ἐπηγγέλλοντο κατὰ τὸ δηλούμενον, εἴγε ὁ μὲν δὴ περιγραφήν τινα ἐδήλου, ὁ δὲ πέρ ἐναντιότητά τινα μετ' αὐξήσεως, καὶ ἔτι ὁ γέ μειότητα ἢ ἐπίτασιν θαυμασμοῦ. καὶ εἰ διάφοροι κατὰ τὸ δηλούμενον, πῶς ἦν δυνατὸν μίαν ὀνομασίαν ἀπὸ τοῦ δηλουμένου χωρίσαι; οὔτε γὰρ περιγραφικοί, ἐπεὶ οὐ πάντες, οὔτε ἐναντιωματικοί, ὡς πρόκειται. ὑγιῶς ἄρα ἀπὸ τοῦ πεπλεονακότος σχήματος ἐπ⟨ι⟩κοίνως κατὰ πάντων ἡ ὀνομασία ἐτέθη. — Καί μοι δοκεῖ παραπλήσιόν τι ἀναδεδέχθαι τῷ καλουμένῳ παρωνύμῳ ὀνόματι. τὰ μὲν γὰρ ἄλλα ἰδικά, ἔχοντα ἓν τὸ δηλούμενον, ἔλαβε τὴν θέσιν τοῦ ὀνόματος ἀπὸ τοῦ δηλουμένου, τὰ πατρωνυμικὰ ἀπὸ τοῦ τὸν πατέρα δηλοῦν, τὰ κτητικὰ τὰ ὑπὸ τὴν κτῆσιν πεπτωκότα, καὶ ἔτι τὰ συγκριτικὰ καὶ τὰ ὑπόλοιπα. καὶ ἐπεὶ τὰ καλούμενα παρώνυμα ἐν πλείστοις σημαινομένοις κατεγίνετο, πάλιν εἰς μίαν ὀνομασίαν μετετίθετο, λέγω τὴν κοινῶς πᾶσιν ἀκολουθήσασαν, καθὸ πάντα παρηγμένα
522 ἦν. ἔνθεν ἀπὸ τῆς φωνῆς ἡ θέσις τοῦ ὀνόματος. Καὶ τοσαῦτα μὲν τὰ περὶ ἐννοίας τῆς τῶν παραπληρωματικῶν.

Argum. 10 Fieri omnino non potuit, ut a notione nomen acciperent expletivae. Cetera enim coniunctionum genera certam quandam vim habent, expletivae diversas notiones. — 21 Itaque expletivis idem accidit quod paronymis, ut ab ea re, quae omnibus communis est, nomen ducerent.

Testim. 17 Schol. Dion. Thr. BA 971, 1 *οἱ παραπληρωματικοὶ καὶ αὐτοὶ σημαίνουσί τι, καθάπερ καὶ οἱ ἄλλοι σύνδεσμοι. ἀλλ' ἐπεὶ ποικίλη αὐτῶν ἡ σημασία, ἀπὸ τοῦ ἐπικοίνως ἐπισυμβαίνοντος παραπληρωματικοὶ εἴρηνται.*

Discr. script. 3. ⟨τῶν⟩ b, om. A | c̄ι A, ῑ b | 4. in μην est μ littera in rasura ab Ax scripta | 15. περιγραφήν b, παραγραφην A | 17. δυνατον, cuius litterae δυνατ non iam cerni possunt, prima vox est in fol. 112 r. | 18. ου litterae vocis ουτε evan. nunc in A | περιγραφικοὶ b, παραγραφικοι A | 20. ἐπικοίνως scripsit RSchneider, nisus schol. Dion. Thr., επ . κοινως A, . . . κοινῶς b in textu, ⟨πᾶσι⟩ κοινῶς b in var. lect. | 22. ιδικα A, εἰδικὰ b | 23. απο A[1] in marg. | 24. πατέρα in A per compendium π̄ρ̄ᾱ scriptum

Ἰτέον ἑξῆς ἐπὶ τὰς φωνάς.

Ποιητικὸν ὄντα τὸν αὖ καὶ ἔτι τὸν τάρ θεματικοὺς ἂν παραδεξαίμεθα. τινὲς γάρ φαςι τὸν αὐτάρ ςύνδεςμον ἀποκοπέντα μὲν εἶναι αὖ, ἀφαιρεθέντα δὲ τάρ. ἦν δὲ τὸ τοιοῦτον οὐκ ἀληθές. τί γὰρ οὐχὶ ὁ ἀτάρ τοῦτ' ἀνεδέχετο, ἐντελέςτερος ὤν; ἀλλ' εἰ οὐ καθολικὰ τὰ πάθη, ἐκεῖνό γε ςυνελέγξει τὸν λόγον. τὰ πάθη τῶν φωνῶν ἐςτιν, οὐ τῶν ςημαινομένων. τὸ δῶ δηλούμενον μὲν ἔχει τὸ δῶμα, οὐ μὴν λεγόμενον· τῆς γὰρ λεγομένης φωνῆς ἦν τὸ πάθος. καὶ ἔτι τὸ λῶ ἀφῃρημένον ἐκ τοῦ θέλω, ἢ καὶ τὸ βῆ ἐκ τοῦ ἔβη, πάλιν τὸ αὐτὸ ἔχει δηλούμενον. ἔςτι γοῦν καὶ ἐπὶ μιᾶς λέξεως τὸ αὐτὸ παραςτῆςαι. τὸ ἄβαλε ἐντελές ἐςτι, καὶ ςαφὲς ἐκ τῆς ἐκτάςεως τοῦ ᾱ. καὶ ἀφαιρεθὲν γὰρ τὸ αὐτὸ δηλοῖ,

βάλε δή, βάλε κηρύλος εἴην (Alcm. fr. 26 Bergk³).

ἀλλὰ μὴν καὶ ἀποκοπὲν τὸ ᾱ. . . . . . ὅπερ πάλιν μέγιςτον τεκμήριόν ἐςτι τοῦ τὸ ἄβαλε μὴ πεπλεονακέναι τῷ ᾱ. οὐ γὰρ εἰς τὸν πλεοναςμὸν καταντῶςιν ἀεὶ αἱ ἀποκοπαί, οὐδ' οἱ πλεοναςμοὶ τὸ δηλούμενον ἔχουςιν, ἐπεὶ οὐκέτι πλεοναςμοί. τὸ γοῦν ἀλαλητός οὐ διὰ τοῦ κατ' ἀρχὴν ᾱ τὸ λαλητός ποτε δηλώςει, οὐδὲ ἄλλο τι τῶν οὕτως πεπλεονακότων. εἴπερ οὖν ὁ αὐτάρ ςύνδεςμός ἐςτι ςυμπλεκτικός, καὶ ὁ τάρ ςυμπλεκτικὸς γενήςεται καὶ ὁ αὖ· εἰ δὲ παραπληρωματικὸς ὁ αὖ καὶ ὁ τάρ, τμῆμα ὄντες τοῦ αὐτάρ, καὶ ὁ αὐτάρ παραπληρωματικός.

Ἐπὶ γοῦν τοῦ ἄρα οὐκ ἔςτιν ἄντικρυς οὕτως ἀπώςαςθαι τὸν λόγον, καθὸ οὐ μόνον ἐπιφορικὸς π⟨αραλαμβάνεται,⟩ ἀλλ' ἀπειράκις καὶ παραπληρωματικός,

ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψε (Π 502),

καὶ

τὸν δ' ἄρα ⟨πάντες⟩ λαοὶ ἐπερχόμενον (β 13).

φαςὶ γὰρ καὶ ἐπὶ τούτων τὸν μὲν ῥά ἀφαιρεθῆναι τοῦ ᾱ, τὸν δὲ ἄρ 523

Argvm. 2 Falluntur, qui αὖ et τάρ ex αὐτάρ facta esse censent: notio enim mutata est. Praestat igitur illa pro primigeniis habere. — 22 Sed non prorsus reiciendum est, quod dicunt, ἄρ et ῥά ex ἄρα facta esse, quod etiam ἄρα ita usurpari possit, ut expletiva sit.

Testim. 10 Et. M. 186, 41 *Τοῦτο πλεονασμῷ τοῦ ᾱ (καὶ αὐτοῦ σχετλιαστικοῦ ὄντος ἐπιρρήματος, ὡς παρὰ τῷ ποιητῇ 'ἆ δειλέ' (Λ 441) γίνεται ἄβαλε. Ἀμφότερα μίαν σημασίαν ἔχουσι, τὸ ἆ καὶ τὸ βάλε, καὶ τὸ ἄβαλε κτλ.* Schol. Dion. Thr. BA 946, 14 *Διομήδους. Τινὲς δύο ὁμοιόσημα· τὸ ᾱ κατ' ἰδίαν ἐστὶν εὐκτικὸν ἐπίρρημα, ὡς τὸ αἴθε (ὡς τὸ ἆ δειλέ?), καὶ τὸ βάλε ὁμοίως κατ' ἰδίαν ἐπίρρημα εὐκτικόν.*

Discr. script. 10. post λέξεως GUhlig inserit ⟨δὶς⟩, RSchneider ⟨διςςῶς⟩ | 13. κηρύλος ThBergk, κήρυλος b | 14. post haec τὸ ᾱ dimidius versus in A vacuus relictus est, quam lacunam sic explendam esse censet RSchneider ⟨ὡς ἐν τῷ ἆ δειλέ⟩ | 15. τῷ ᾱ b, το α A | 22. ςαςθαι τὸν λόγον] fol. 115 v. | 23—25. lacunas explevit b, ne haec quidem ὡς ἄρα μιν nunc in cod. legi possunt

ἀποκοπῆναι. καὶ ἦν ἡ ἀποκοπὴ νομική, εἰς ἡμίφωνον καταντῶσα. καὶ πάνυ γε ⟨πιθανὸν⟩ παραδέξασθαι τὴν τοῦ ρ̄ μονὴν ἐπ' ἀμφοτέρων τῶν συν⟨δέσμων·⟩ αὕτη γὰρ ἦν διακριτικὴ τῆς ἀφαιρέσεως καὶ τῆς ἀποκοπῆς, ἐπεί, εἰ συναπεκέκοπτο τὸ ρ ἢ συναφῄρητο, ἄδηλον τὸ πάθος.

Η. Ἐν ἀρχῇ τιθέμενος περισπᾶται, ἐν δὲ ὑποτάξει ἐγκλίνεται,

ἦ μεγάλ' ἐβρόντησας (υ 113),

μεγάλα δὴ ἐβρόντησας·

τί ἤ δὲ σὺ νόσφιν ἀπ' ἄλλων (Ο 244)·

ἐν ἴσῳ γάρ ἐστι τῷ τί δή. φησὶν ὁ Τρύφων (p. 44 Velsen) τὸν λόγον ψευδῆ εἶναι, «ἐπεὶ οὐκ ἔστιν ἐπ' ἄλλων μερῶν λόγου τὸ τοιοῦτον ἐπιδεῖξαι. τὰ γὰρ οὕτω καὶ ⟨προτασσόμενα καὶ ὑποτασσόμενα⟩ ἐγκλιτικά ἐστι μόρια, καὶ [οὐ] πάντως τῷ δηλουμένῳ παρήλλακται, ὡς ἔχει τὰ ἀντωνυμικά, ἐμοῦ ἥρπασεν, ἥρπασέ μου· σοῦ ἥρπασεν, ἥρπασέ σου. προσθείημεν δ' ἂν καὶ τὰ πύσματα οὕτω λεγόμενα ποῦ ἀπῆλθες; ἀπῆλθές που· πῶς ἀπῆλθες; ἀπῆλθές πως. παρείπετο οὖν καὶ τῷ ῆ ταὐτόν». τῷ αὐτῷ λόγῳ πλέον ἐπεμέμφετο τοὺς ἐγκλίνοντας μὲν κατ' ἀρχὴν τὸ ω̄ς̄, ἐν δὲ μέσῃ τῇ φράσει περισπῶντας,

ἀλλ' οὐδ' ὣς ἑτάρους ἐρρύσατο (α 6).

πάλιν τῷ αὐτῷ λόγῳ, ὅτι μὴ τῶν ἐγκλιτικῶν τὸ ω̄ς̄, καθὼς τὸ ἐναντίον ἀνεδέξατο, ὅπου γε τὰ μὲν μεσαζόμενα ἀποβάλλει τὴν περισπωμένην, τὰ δὲ ἐν ἀρχῇ παραλαμβανόμενα εἰ ἐπιδέχοιτο τὴν περισπωμένην, πάντως τὴν αὐτὴν παραλαμβάνει, ὡς ἔχει ⟨τὸ⟩ ποῦ ἀπῆλθεν; ἀπῆλθέ που, καὶ τὰ ἄνω προκείμενα. κἀκεῖνο δὲ προσθήσομεν, ὡς καὶ ὁ ἰσοδυναμῶν αὐτῷ δή, κἂν ὑπὸ ποιητικῆς ἀδείας ἐν ἀρχῇ παραλαμβάνηται, οὐ μετατίθεται τοῦ τόνου,

524 δὴ τότε μητιόωντο (Μ 17)·

τὸ γὰρ αὐτὸ τῷ τότε δή. «ἦν οὖν», φησί, «πλεονασμὸς τοῦ ῆ ἐν τῷ τίη, ᾧ λόγῳ καὶ τὸ λεγοίη, φεροίη πλεονάζουσι τῷ ῆ, καὶ ὡς ἀπὸ τοῦ ἐγών τὸ ἐγώνη παρὰ Ταραντίνοις, καὶ ἐν μέσῃ λέξει τὸ πολεμήια, πολιήτης, μυθιήτης, καὶ ἐν ἀρχῇ τὸ ἠβαιόν.» καὶ ἦν συγκαταθέσθαι

Argvm. 5 H in initio sententiae posita circumflexo notatur, postposita gravi. Quod improbat Trypho; negat enim, aliarum orationis partium accentum mutari propter mutatum locum; et encliticarum mutata positione et tonosi etiam notionem variari dicit. Neque illud probat Trypho, ω̄ς̄ in initio barytonon, in media sententia perispomenon esse.

